ΙΕΡΟΣΟΛΥΜΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΗΤΟΙ

ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΕΝ ΤΑΙΣ ΒΙΒΛΙΟΘΗΚΑΙΣ

τοῦ ἁγιωτάτου ἀποστολικοῦ τε καὶ καθολικοῦ ὀρθοδόξου πατριαρχικοῦ θρόνου τῶν Ἱεροσολύμων καὶ πάσης Παλαιστίνης ἀποκειμένων

ΕΛΛΗΝΙΚΩΝ ΚΩΔΙΚΩΝ

ΣΥΝΤΑΧΘΕΙΣΑ ΜΕΝ ΚΑΙ ΦΩΤΟΤΥΠΙΚΟΙΣ ΚΟΣΜΗΘΕΙΣΑ ΠΙΝΑΞΙΝ

ὑπὸ

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΥ - ΚΕΡΑΜΕΩΣ

τύποις δ' ἐκδοθεῖσα ἀναλώμασι τοῦ

ΑΥΤΟΚΡΑΤΟΡΙΚΟΥ ΟΡΘΟΔΟΞΟΥ ΠΑΛΑΙΣΤΙΝΟΥ ΣΥΛΛΟΓΟΥ

ΤΟΜΟΣ ΤΡΙΤΟΣ

1897

impression anastatique

CULTURE ET CIVILISATION
115, AVENUE GABRIEL LEBON
BRUXELLES
1963





ΙΕΡΟΣΟΛΥΜΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΗΤΟΙ

ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΕΝ ΤΑΙΣ ΒΙΒΛΙΟΘΗΚΑΙΣ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΑΠΟΣΤΟΛΙΚΟΥ ΤΕ ΚΑΙ ΚΑΘΟΛΙΚΟΥ ΟΡΘΟΔΟΞΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΘΡΟΝΟΥ

ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΩΝ ΚΑΙ ΠΑΣΗΣ ΠΑΛΑΙΣΤΙΝΗΣ
ΑΠΟΚΕΙΜΕΝΩΝ

ΕΛΛΗΝΙΚΩΝ ΚΩΔΙΚΩΝ

ΠΡΟΛΟΓΟΣ.

Ἐν τῷδε τῷ τόμῳ, τρίτῳ τὸν ἀριθμόν, τὸ μὲν πρῶτον ἀναγράφεται βιβλία γραπτὰ ἐννέα καὶ ἑκατόν, ἃ πρότερον ἐν τῇ μονῇ κείμενα τοῦ Σταυροῦ εἰς τὴν κεντρικὴν ἔτει 1888-ῳ μετηνέχθη βιβλιοθήκην τοῦ Πατριαρχείου τῶν Ἱεροσολύμων, τὸ τρίτον αὐτῆς τμῆμα γραπτῶν ἐκεῖ συναποτελέσαντα βιβλίων ἑλληνικῶν (σ. 1-175)· εἶτα δὲ τοιαῦτα πέντε πάλιν ἀναγράφεται καὶ δέκα, ἅπερ αὐτῇ ταύτῃ τῇ βιβλιοθήκῃ Νικόδημος ὁ πατριάρχης ἀφιερώσατο σὺν τοῖς λοιποῖς αὐτοῦ βιβλίοις, τοῖς ἐντύποις (σ. 177-192)· μετὰ δὲ ταῦτα βιβλίων ὡσαύτως γραπτῶν εἴκοσι καὶ δύο, ἃ τὸ σκευοφυλακεῖον ἔχει τοῦ ναοῦ τῆς Ἀναστάσεως, προστίθεται περιγραφή (φ. 193-225)· ἑξῆς δὲ ἑτέρα περιγραφὴ δίδοται λειτουργικοῦ τινος Εὐαγγελίου, γραφέντος ἐπὶ βασιλείας Κωνσταντίνου τοῦ Δουκός (1061-1062), ἐκ δὲ χρόνων ἀμνημονεύτων ἐν τῷ μοναστηρίῳ πεφυλαγμένου τῆς Μεγάλης Παναγίας, τῷ ἐν αὐτῇ τῇ πόλει τῶν Ἱεροσολύμων (σ. 226-229), καί τινων ἑτέρων βιβλίων, γραπτῶν ὡσαύτως, ἀπαρίθμησις (σ. 230-238). Καὶ ταῦτα μὲν ὁ τόμος οὗτος ἐν ἑαυτῷ καθόλου περιέχει· κεκόσμηται δὲ οὗτος ἓξ πίναξι καὶ δέκα φωτοτυπικοῖς, ὧν τὸ κείμενον, τὸ πρῶτον ἐκείνου παράρτημα σχηματίζον, ἐν οἰκείῳ δεδήλωται τόπῳ (σελ. 239-249)· τῶν δὲ πινάκων αὖ τρεῖς (σ. 247-249), οἱ τελευταῖοι, προσήκουσι τῷ προτετυπωμένῳ δευτέρῳ τόμῳ. Μετὰ μὲν οὖν τὸ πρῶτον παράρτημα μαρτυρίας ἐθέμην ὅσας καὶ οἵας ἐσχάτως εὗρον περὶ τῶν ἱεροσολυμιτικῶν βιβλιοθηκῶν· ἐπειδὴ δὲ αἱ τοιαῦται μαρτυρίαι ποικίλην ἔχουσι τὴν αὐτῶν ὑπόθεσιν, ὡς εἰκὸς αἵδ' ἐμερίσθησαν καὶ



παραρτήματα συνεσχημάτισαν οὐκ ὀλίγα, ὧν τὸ δέκατον (σ. 273-323) γενέτην ἔχει τὸν πρεσβύτην ἀρχιμανδρίτην Κύριλλον τὸν Ἀθανασιάδην, ἀφηγηθέντα κατὰ λεπτὸν ἐν τούτῳ ἃ πρὸ τῆς ἐμῆς ἐγένετο διατριβῆς ἐν ταῖς βιβλιοθήκαις τοῦ Πατριαρχείου τῶν Ἱεροσολύμων· τοῦτο δὲ τὸ παράρτημα δείκνυσι καθόλου οἵα τις ἦν πρότερον ἡ τῶν βιβλιοθηκῶν ἐκείνων κατάστασις ἄχρι τοῦ 1881-ου ἔτους, οἷά τε διὰ ταύτας ἔπραξαν σωτηριώδη κατὰ καιροὺς οἱ πρὸ τοῦ Νικοδήμου πατριάρχαι καὶ τῶν Ἁγιοταφιτῶν πατέρων οὐκ ὀλίγοι. Τέλος δὲ συμπληρώματά τινα τοῦ πρώτου καὶ τοῦ δευτέρου συνῆψα τόμου τοῖς παραρτήμασιν (σ. 324-341), ὅσα τε ἐν τοῖς τρισὶ τόμοις ἐσχάτως εὑρέθη διορθώσεως ἄξια (σ. 343-345), ἄλλα τέ τινα σημειώματα, τόνδε συμπληροῦντα τὸν τρίτον τόμον (σ. 347-352), καὶ πίνακάς τινας τῶν ἐν αὐτῷ τούτῳ τῷ τόμῳ πραγμάτων, μάλιστα δὲ μακρὸν τῶν ὀνομάτων ἀλφαβητικὸν πίνακα. Καὶ τούτῳ μὲν οὕτω τῷ τόμῳ χάριτι θείᾳ πέρας δίδοται τῷ ἐμῷ πόνῳ τῷ ἐν τῇ πόλει τῶν Ἱεροσολύμων πατριαρχικῇ τε μερίμνῃ καὶ τῶν Ἁγιοταφιτῶν πατέρων εὐνουστάτῃ βοηθείᾳ πεποιημένῳ· ἀλλ' ἵνα τῆς Ἱεροσολυμιτικῆς Βιβλιοθήκης ὁ πόνος ᾖ τέλειος, χρή με τύποις ἀκμὴν δοῦναι καὶ τὸν αὐτῆς ἔσχατον τόμον, ὃς μείζων ἔσται σφόδρα, καθάπερ εἰκάζω, τούτου δὴ τοῦ ἐν χερσὶ τόμου· μέλλει γὰρ ἀναγράφειν ὀκτακόσια καὶ πλέον ἑλληνικὰ γραπτὰ βιβλία, ἅπερ ἡ διάσημος ἔχει τοῦ ἐν τῇ Κωνσταντίνου πόλει Μετοχίου τοῦ Παναγίου Τάφου βιβλιοθήκη, καὶ τούτων γὰρ τὴν ἀναγραφὴν οἱ ἁγιώτατοι πατριάρχαι Νικόδημος καὶ Γεράσιμος ἐκ πολλοῦ μοι διαδοχικῶς ἐνεπίστευσαν· πλὴν ἀλλὰ τὸ μὲν τούτων ἥμισυ καὶ πλέον φιλοτίμως ἐγὼ κατὰ λεπτὸν ἐν ὥρᾳ σχολῆς ἀναγραψάμενος εἰς τύποις ἔκδοσιν ἕτοιμον ἔχω, τὸν δὲ χρόνον τῆς ἀναγραφῆς τοῦ λοιποῦ Θεὸς μόνος οἶδεν ὁ τοῖς ἀνθρώποις τέλεια δωρούμενος δωρήματα καὶ τέλειον ἐκ τῆς ὑπομονῆς αὐτῶν ἔργον προσδοκῶν.

Ἔγραφον ἐν Πετρουπόλει τῇ ιη' μηνὸς ἰανουαρίου ἔτους ,αωϟζ'.

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΣ - ΚΕΡΑΜΕΥΣ.



ΜΕΡΟΣ ΤΡΙΤΟΝ

ΚΑΤΑΛΟΓΟΣ

τῶν ἐκ τοῦ μοναστηρίου τοῦ τιμίου Σταυροῦ μετακομισθέντων κωδίκων εἰς τὴν ἐν Ἱεροσολύμοις πατριαρχικὴν βιβλιοθήκην.

1. Τεῦχος ἐκ φύλλων χάρτου στιλπνοῦ 378 (μήκους 0,418, πλάτους 0,218), οὗ τὸ μὲν κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ γραμμῶν 36 (0,308 × 0,205), τὸ δὲ τελευταῖον φύλλον ἄγραφον ὅλως· ἐγράφη δὲ τὸ τεῦχος μεταξὺ τῆς ιδ' καὶ τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος ὑπὸ χειρὸς ἐπιτηδείου καλλιγράφου. Ἐν τῷ κρασπέδῳ τοῦ 1-ου φύλλου γέγραπται σημείωμα τῆς ις' ἑκατ., ἔχον ὧδε· «† Ἡ βίβλος αὕτη τῆς ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου» κτλ.


Σειρὰ ὑπομνηματιστῶν εἰς τοὺς ψαλμοὺς καὶ τὰς ᾠδὰς καὶ εἰς τὴν προσευχὴν Συμεὼν τοῦ θεοδόχου, φ. 25 - 377. Ὑπομνηματισταί: Ὠριγένης, Βασίλειος ὁ μέγας, Ἰωάννης ὁ Χρυσόστομος, Θεοδοτίων, Ἡσύχιος, Ἀθανάσιος ὁ μέγας, Δίδυμος, Κύριλλος Ἀλεξανδρείας, Διόδωρος, Ἰουστῖνος, Γρηγόριος ὁ Θεολόγος, Θεοδώριτος, Ἀστέριος Ἀρειανὸς ἢ Ἀστέριος Ἀμασείας, Ὑπάτιος, Ἀκύλας, Γρηγόριος Νύσσης, Εὐσέβιος, Γεώργιος, Σύμμαχος, Ἰσίδωρος Πηλουσιώτης, Διονύσιος Ἀλεξανδρείας, Θεόδοτος, Ἀπολλινάριος, Θεόδωρος ὁ Μοψουεστίας, Θεόδωρος Ἡρακλείας, Σεβῆρος ὁ Γαβάλων, Γεννάδιος, Νικόλαος πρεσβύτερος, Εὐδόξιος φιλόσοφος, Μάξιμος ὁμολογητής, Ἰωάννης Δαμασκηνός, Λεόντιος. Τοῦ κώδικος τούτου μέμνηται Διονύσιος ὁ Κλεόπας ἐν τῇ εἰσα-



γωγῇ (Ἑρμηνεία εἰς τοὺς ρν' ψαλμοὺς τοῦ προφητάνακτος Δαβίδ, συντεθεῖσα ὑπὸ τοῦ ἀοιδίμου πατριάρχου τῶν Ἱεροσολύμων Ἀνθίμου, ἧς προτέτακται βιογραφία τοῦ συγγραφέως καὶ εἰσαγωγὴ εἰς τὴν βίβλον τῶν Ψαλμῶν, ἀμφότερα συγγραφέντα ὑπὸ Διονυσίου Κλεόπα. Ἐν Ἱεροσολύμοις 1855, τ. I, σ. κζ'). Τῶν ἑρμηνειῶν ὁ καλλιγράφος προέταξέ τινα κείμενα, ὧν ἡ τάξις ἔχει ὧδε. α') Ταινιῶδες ἐρυθρὸν κόσμημα· μεθ' ὃ «Γνῶσις τοῦ διάψαλμα», ἧς ἡ ἀρχή· «Πολλάκις ζητησάντων τὴν αἰτίαν», φ. 1.—β') «Ὅπως ἀνεχθείσης τῆς κιβωτοῦ εἰς Ἱερουσαλὴμ συνέστη τὸ Ψαλτήριον». Ἀρχ. «Ἀνάγκης ἔχομεν, ἀγαπητοί, δεῖξαι τίς ἡ δύναμις τῶν ψαλμῶν», φ. 1β.—γ') «Περὶ τοῦ Ἀλληλούια, ὃ σημαίνει ἐκ τῆς ἑβραΐδος φωνῆς εἰς τὴν ἑλληνίδα» κτλ., φ. 2.—δ') «Περὶ τῶν ἀναβαθμῶν». Ἀρχ. «Πάλιν ἑτέρα ἐπιγραφή: ψαλμὸς τῶν ἀναβαθμῶν· τί δὲ βούλεται λέγειν» κτλ., φ. 3.—ε') Ἀθανασίου Ἀλεξανδρείας «πρὸς Μαρκελλῖνον· προοίμιον εἰς τὴν ἑρμηνείαν τῶν Ψαλμῶν», οὗ ἡ ἀρχή· «Ἄγαμαί σε τῆς ἐν Χριστῷ προαιρέσεως», φ. 3β [Migne τ. 26, σ. 12].—ς') «Διαίρεσις Εὐσεβίου εἰς τοὺς Ψαλμούς». Ἀρχ. «Τῆς βίβλου τῶν Ψαλμῶν ἥδε ἂν εἴη ἡ διαίρεσις», φ. 10 [Migne τ. 23, σ. 66].—ζ') «Κανόνες ψαλμῶν προγεγραμμένοι, δηλοῦντες τὴν ἐνέργειαν τοῦ ἁγίου πνεύματος, προφητευόμενοι περὶ τοῦ Χριστοῦ. Τοῦ αὐτοῦ Εὐσεβίου ἔκθεσις εἰς τοὺς ψαλμούς. α' Προτροπὴ θεοσεβείας» κτλ., φ. 10 [Migne τ. 23, σ. 68].—η') «Ποῖαι παραδόσεις εἰσὶ τῆς θείας Γραφῆς, ἤγουν ἀπὸ τοῦ ἑβραϊκοῦ εἰς τὸ ἑλληνικὸν ἑρμηνεῖαι, καὶ τίνες εἰσὶν οἱ ταύτην ἑρμηνεύσαντες καὶ πότε». Ἀρχ. «Πρώτη ἐστὶν ἡ τῶν ἑβδομήκοντα δύο ἑρμηνευτῶν», φ. 11 [Migne τ. 106, σ. 125].—θ') «Τοῦ ἁγίου Γρηγορίου Νύσσης, ὅτι ἀνακολούθως τῇ ζωῇ τοῦ Δαβὶδ ἡ τῶν ψαλμῶν ἀκολουθία». Ἀρχ. «Ἀλλὰ καὶ τοῦτο ἄν τις εἰκότως ἐπιζητήσειε», φ. 11β [Migne τ. 44, σ. 541].—ι') «Συλλογαὶ ἀπὸ βιβλίου διεφθορότος, ὑποβρυχίου γεγονότος, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου Νύσσης, εἰς τὰς ἐπιγραφὰς τῶν ψαλμῶν». Ἀρχ. «Χρὴ τοίνυν τὸν μέλλοντα πρὸς ἀρετὴν βλέπειν», φ. 12β .—ια') «Τοῦ ἁγίου Γρη-

γορίου ἐπισκόπου Νύσσης ἐκ τῆς ἑρμηνείας τῶν ἐπιγραφῶν τῶν ψαλμῶν». Ἀρχ. «Καιρὸς ἂν εἴη κατανοῆσαι πῶς διὰ τῆς θεωρηθείσης» κτλ., φ. 13 [πρβλ. Migne τ. 44, σ. 445].—ιβ') «Ὠριγένους ὑπόμνημα εἰς τοὺς ψαλμούς», οὗ ἡ ἀρχή· «Οἱ ἐπιγεγραμμένοι ψαλμοὶ ὑπὲρ τῶν ληνῶν τρεῖς ὄντες», φ. 14β. Τοῦτο δὲ τύποις ἐξέδωκε πλῆρες ἐντεῦθεν ἀντιγράψας Διονύσιος ὁ Κλεόπας [Ἑρμηνεία κτλ. τ. I, σ. ρζ' - ριγ'].—ιγ') «Ἰωσήπου ἐκ τοῦ ὑπομνηστικοῦ, κεφαλαίου ἑκατοστοῦ, τίνα ἐστὶ τὰ τῷ Δαβὶδ πεπραγμένα εἰς αὐτὸν θαύματος ἄξια, πραχθέντα πρὸς τῷ τέλει». Ἀρχ. «Πᾶσαν αὐτοῦ συγγραφὴν ἐφ' ἑκάστῳ τῶν συμπιπτόντων δι' ὕμνων συνεγράψατο», φ. 17β [Migne τ. 106, σ. 85D].—ιδ') «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου ἐπισκόπου Νύσσης εἰς τὸ διάψαλμα». Ἀρχ. «Χρὴ δὲ μηδὲ τὸ διάψαλμα παραδραμεῖν ἀθεώρητον», φ. 17β [Migne τ. 44, σ. 533].—ιε') «Ἱππολύτου ἐπισκόπου Ῥώμης ὑπόθεσις διηγήσεως εἰς τοὺς ψαλμούς», ἧς ἡ ἀρχή· «Ἡ βίβλος τῶν ψαλμῶν καινὴν διδασκαλίαν περιέχει», φ. 18 [Migne τ. 10, σ. 608].— ις') «Εὐσεβίου εἰς τὸ διάψαλμα». Ἀρχ. «Πολλάκις ζητήσας τὴν αἰτίαν», φ. 18 — ιζ') «Ἰσόψηφα· πῶς χρὴ μερίσαι τὰ εἰκοσιτέσσαρα γράμματα εἰς τρία μέρη ἰσόψηφα καὶ πῶς χρὴ κατορθοῦν ἐκφωνεῖσθαι αὐτὰ ἱστῶντα τὸν μυριάριθμον», φ. 18. — ιη') «Στίχοι εἰς τὸν θεῖον Δαβίδ». Ἀρχ. «Δαβὶδ μελῳδέοντι τῆς ἐκκλησίας», φ. 18β. — ιθ') Ἕτεροι στίχοι, ὧν αἱ ἀρχαί· «Ἄκουε Δαβὶδ τοῦ παρ' ἡμῖν Ὀρφέως», «Δαβιτικὴ πέφυκε δέλτος ᾀσμάτων», «Δῶρον Θεοῦ πέφυκε δέλτος ᾀσμάτων», «Σίγησον Ὀρφεῦ καὶ πεφίμωσο στόμα», «Ὥσπερ τὸ πνεῦμα τὸν Σαοὺλ τὸ συμπνῖγον», «Ἡ μουσικὴ μὲν Ὀρφέως πάλαι λύρα», φ. 18β. — κ') Ἀνεπίγραφον, οὗ ἡ ἀρχή· «Μετὰ Μωσέα καὶ τὸν τούτου διάδοχον», φ. 19.—κα') Ἕτερον, οὗ ἡ ἀρχή· «Δέον ἡμῖν ἐστιν, ὦ φιλολογώτατε, καὶ αὐτῶν τῶν ἑρμηνευτῶν τὴν ὑπόθεσιν δηλῶσαι», φ. 19β. — κβ') «Πρόλογος τῆς ἑρμηνείας τῶν ψαλμῶν», οὗ ἡ ἀρχή· «Πᾶσα γραφὴ θεόπνευστος», φ. 22.—κγ') «Διαίρεσις ψαλμῶν». Ἀρχ. «Ἡ μὲν οὖν καθόλου τῶν ψαλ-

*



μῶν ὑπόθεσις», φ. 22^{β}.—κδ') «Ἑτέρα ὑπόθεσις», ἧς ἡ ἀρχή· «Ἔστι καὶ ἑτέρα ὑπόθεσις τῶν ψαλμῶν, ἡ κατὰ Βαβυλῶνα αἰχμαλωσία», φ. 22^{β}.

2. Κῶδιξ μεμβράνινος ἐκ φύλλων 293 (μήκους 0,375, πλάτους 0,28), ὧν τέσσαρα χάρτινα (136, 137, 234, 235), γραφεὶς περὶ τὴν δεκάτην ἑκατονταετηρίδα· κείμενον δ' ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ δίστηλον ἐπεριέχει ἐκ γραμμῶν 43 (0,29×0,21) καὶ σῴζει, καθὰ φαίνεται, τὸ τέταρτον τῶν ἄχρι τοῦδε γνωστῶν ἡμῖν παλαιοτέρων ἀπογράφων τοῦ νομοκάνονος, ὃν ὁ πατριάρχης ἐπεθεώρησε Φώτιος, ἀναπληρώσας καὶ διατάξας αὐτὸν ὡς ἥρμοζεν [1], εἰ καὶ Ζαχαρίας ὁ Lingenthal ἐσχάτως ἠγωνίσθη, διὰ τὴν ἀγνωσίαν, ὡς ἔοικεν, ἀρχαιοτάτων ἀντιγράφων, ἵνα διαπιστώσῃ ὅτι ψευδῶς ἀποδίδοται τῷ Φωτίῳ νομοκάνονος ἀναθεώρησις ἢ συγγραφή [2]· ὅπερ ὅμως ἀπαράδεκτον, ἐπειδή τινες τῶν ὑπὸ τοῦ Ζαχαρίου προσκομισθεισῶν ἀποδείξεων ἀνατρέπονται νῦν καὶ τῇ παλαιότητι τοῦ κώδικος τούτου, ἐν ᾧ τὸ ὄνομα τοῦ Φωτίου φανερῶς ἐπὶ κεφαλῆς τοῦ δευτέρου φέρεται προλόγου, καὶ τῇ συναρμολογίᾳ πολλῶν ἐν τῷ κώδικι σχολίων, ὧν ἡ σύνταξις ὑπάρχει φωτιακή· ἀνατρέπονται δ' οὐχ ἧττον καὶ τῇ μαρτυρίᾳ Ἰωάννου μοναχοῦ τοῦ Ζωναρᾶ [ὅρα Ἱεροσολ. Βιβλιοθ. Ι, σ. 261-262], συγγραφέως μικρὸν ἀρχαιοτέρου τοῦ Βαλσαμῶνος, ὃν ὁ Ζαχαρίας ἀνέφερεν ὡς πρῶτον ἀποδόντα νομοκάνονα τῷ πατριάρχῃ Φωτίῳ. Ἀλλ' ἵνα τὸ πρᾶγμα βεβαιότατον ἀποβῇ, πάντως ἀναγκαία ἐστὶν ἡ τοῦ νο-

[1] J. Mortreuil, Histoire du droit byzantin, II, 416—419. Πρόσθες τοῖς ἐν τούτῳ τῷ βιβλίῳ κατηριθμημένοις ἀπογράφοις τὸν 24-ον κώδικα τῆς πατριαρχικῆς συλλογῆς (Ἱεροσολ. Βιβλιοθ. Ι, σ. 89—96), ἐν ᾧ εὕρηται καὶ ὁ πρόλογος τοῦ Φωτίου, ἀλλ' ἀνωνύμως ἐν τῷ κρασπέδῳ γεγραμμένος (φ. 30^{β}—31^{α}) διὰ τῆς χειρὸς αὐτοῦ τοῦ καλλιγράφου· ὑπάρχει δὲ καὶ ὅλον τὸ σύνταγμα (φ. 39β—217), περιέχον αὐτολεξεὶ τοὺς κανόνας καὶ τοὺς νόμους καὶ σχόλια καὶ παρατηρήματά τινα περὶ τῶν ἐπὶ Βασιλείου τοῦ Μακεδόνος ἀχρήστων διατάξεων· ἐν ἑτέρῳ δὲ τόπῳ τοῦ αὐτοῦ κώδικος (φ. 357α—367α) ὑπάρχει πάλιν ὁ ἐκ ιδ' τίτλων νομοκάνων ἄνευ τῶν κειμένων. Τὸ ἀπόγραφον τοῦτο καὶ τὸ παρ' ἡμῶν ἀνωτέρω περιγραφόμενον ἐμελέτησε κατ' ἔκτασιν ἐλλόγιμος ἡμῶν φίλος, ὁ ἐν Μόσχᾳ διατρίβων ἱεροδιάκονος Κάλλιστος Ἁγιοταφίτης ὁ ἐκ τῆς νήσου Κρήτης.

[2] Ueber den Verfassen und die Quellen des pseudo-photianischen Nomokanon in XIV Titeln. St-Petersb. 1885.



μοκάνονος ἐκμελέτησις καὶ τῶν ἀντιρρήσεων τοῦ Ζαχαρίου ἡ κατὰ λεπτὸν ἐπίκρισις· οὕτω γὰρ ἐμφανὲς γενήσεται τὸ τί προσέθηκεν ὁ Φώτιος ἀναθεωρήσας τὸν νομοκάνονα. Οὗτος μὲν οὖν ὁ κῶδιξ ἐστὶ μελέτης ἄξιος, εἰ καὶ χεῖρες ἁμαρτωλαὶ μέρη τινὰ τούτου κατέστρεψαν, ὡς ὁ κάτω δείξει λόγος· ἦν δὲ κτῆμα «Τοῦ ἁγίου Γεωργίου τοῦ Στύλου» περὶ τὴν ιβ' ἑκατ. (φύλλ. $105^β$ καὶ $197^β$), εἶτα τοῦ Παναγίου Τάφου καὶ μετέπειτα τῆς λαύρας τοῦ ἁγίου Σάβα· μετὰ δὲ τὴν ἐν αὐτῇ τῇ λαύρᾳ πρώτην ἐγκατοίκησιν Πορφυρίου τοῦ Οὐσπένσκη μετηνέχθη τὸ τεῦχος εἰς τὴν μονὴν τοῦ τιμίου Σταυρου, καὶ νέῳ δεσίματι συμπηχθὲν ἰσχυρῶς ἐφυλάχθη καλῶς ἄχρι τοῦ νῦν· διῄρηται δὲ εἰς μέρη κεχωρισμένα, ὧν ἕκαστον ἀριθμοὺς αὔξοντας ἔχει.

Μέρος πρῶτον· πρόλογοι καὶ τὸ σύνταγμα:

Α. Ἀδήλου «πρόλογος τοῦ κανονικοῦ καὶ θείου συντάγματος», οὗ ἡ ἀρχή· «Τὰ μὲν σώματα καταλλήλως ἐνύλου μεταλαμβάνοντα τροφῆς», φ. $1^α$ [Ῥάλλη καὶ Ποτλῆ σύνταγμα, Ι, σ. 5 - 7] Ἤκμαζε δ' ὁ τοῦ προλόγου τούτου συντάκτης, ὡς φαίνεται, περὶ τὸ 700-ὸν ἔτος.

Β. «Ἕτερος πρόλογος Φωτίου πατριάρχου Κωνσταντινουπόλεως», οὗ ἡ ἀρχή· «Ὁ μὲν παρὼν πρόλογος, ἀφ' οὗ τὸ χριστιανῶν δόγμα» κτλ., φ. 2 [Συντάγμ. Ι, σ. 7 - 9]· ταύτην δὲ τὴν ἐπιγραφὴν ἔγραψεν αὐτὸς ὁ τοῦ κώδικος ἀντιγραφεύς, οὔ τις ἄλλος ὕστερον αὐτοῦ.

Γ. «Παύλου τοῦ ἁγιωτάτου ἀποστόλου διατάξεις περὶ κανόνων ἐκκλησιαστικῶν ις'». Ἀρχ. «Οἱ πρώτως προσιόντες τῷ μυστηρίῳ», φ. $2^β$. Pitra, Juris eccles. graec. τ. Ι, σ. 64.— «Πέτρου καὶ Παύλου τῶν ἁγίων ἀποστόλων διατάξεις κανονικαί» (α' - ιη'). Ἀρχ. «Ἐγὼ Πέτρος καὶ Παῦλος διατάσσομεν», φ. 3 [Pitra Ι, σ. 67]. Σχόλιον διὰ τὴν ιη' διάταξιν, οὗ ἡ ἐπιγραφὴ ἐν τῷ κρασπέδῳ· «Περὶ τοῦ φυλάττειν ἀκριβῶς ἕκαστον τάξιν καὶ λειτουργίαν», φ. 4.

Δ. Ἀδέσποτον περὶ τῶν ἓξ οἰκουμενικῶν συνόδων, οὗ ἡ ἀρχή· «Χρὴ γινώσκειν ἀκριβῶς πάντα χριστιανὸν» κτλ., φ. 4 [Ῥάλλη



καὶ Ποτλῇ σύνταγμα I, σ. 370-374]. Προτέτακται δὲ τοῦ κειμένου τούτου σχόλιον, ἔχον ὧδε· «Ἰστέον ὅτι ἡ ἔκθεσις τῶν προκειμένων συνόδων οὐ γέγονε πρὸς τάξιν τῶν χρόνων, καθὼς συνῆλθον· ἡ μὲν γὰρ ἐν Νικαίᾳ μεταγενεστέρα κατὰ τὸν χρόνον οὖσα τῆς τε ἐν Ἀγκύρᾳ καὶ τῆς ἐν Νεοκαισαρείᾳ διὰ τὸ τῆς τιμῆς ἐξαίρετον προτέτακται· ἡ δὲ ἐν Σαρδικῇ καὶ ἐν Καρθαγένῃ τῷ χρόνῳ τινῶν τῶν λοιπῶν συνόδων προτερεύουσαι μετ' αὐτὰς ἐτέθησαν, διὰ τὸ πολλὰ περί τινων ἐπιχωρίων, ἤγουν τῶν δυτικῶν μερῶν διορίσασθαι· ὁμοίως δὲ καὶ ἡ ἐπὶ Ἀρκαδίου καὶ Ὠνωρίου τῶν βασιλέων ἐν Κωνσταντινουπόλει συνελθοῦσα πασῶν μεταγενεστέραν ἔλαχεν τάξιν, διὰ τὸ μὴ ζητήσεως ἐκκλησιαστικῆς, ἀλλ' ἐγκαινίων χάριν τοῦ ἐν Ῥουφινιαναῖς εὐκτηρίου οἴκου τῶν ἁγίων ἀποστόλων αὐτοὺς συνελθεῖν, οὕτω τε τινῶν παρεμπεσουσῶν ἀμφισβητήσεων τὴν τομὴν ποιήσασθαι».

Ε. «Τάξις προκαθεδρίας τῶν ὁσιωτάτων πατριαρχῶν» καὶ «τάξις προκαθεδρίας μητροπολιτῶν καὶ αὐτοκεφάλων, τελούντων ὑπὸ τὸν ἀποστολικὸν θρόνον ταύτης τῆς θεοφυλάκτου βασιλίδος πόλεως», φ. 5β-7. — «Ἐπαρχίαι ὑπὸ τὸν ἐνδοξότατον ἔπαρχον Ῥώμης, ἤτοι Ἰταλίας», φ. 7β-8β. Leonis Sapientis et Photii ordo παρὰ τῷ Parthey, Hier. Synecd. σ. 55 κέ.—Λείπει τοῦ καταλόγου τούτου ἡ ἀκολουθία διὰ τὸν ἐκπεσμὸν φύλλων τινῶν, ἐν οἷς ὑπῆρχε καὶ ἡ ἀρχὴ πίνακος τίτλων ἢ κεφαλαίων, ἐξ ὧν ἁρμόζεται ὁ τοῦ Φωτίου νομοκάνων.

[ϛ]. Πίναξ ἀκέφαλος τοῦ ῥηθέντος νομοκάνονος, φ. 9-12β.— Νομοκάνων εἰς τίτλους ιδ', φ. 12β-47β [Ῥάλλη καὶ Ποτλῇ σύνταγμα I, σ. 35-335]. Κατὰ τὸν κώδικα τοῦτον ὁ ιγ' τίτλος ἀριθμεῖ κεφάλαια μ'. Σχόλια τινὰ ἐν τοῖς κρασπέδοις, μικροῖς κεφαλαιώδεσι γράμμασι γεγραμμένα, τὰ μὲν ὑπὸ τοῦ Φωτίου, καθὰ φαίνεται, συντεταγμένα, τὰ δ' ὑπὸ τοῦ παλαιοῦ συντάκτου τῶν τίτλων· οἷόν ἐστι τὸ σχόλιον τόδε (φ. 25), ὅπερ ἁρμόζει τῷ πρώτῳ κεφαλαίῳ τοῦ θ' τίτλου: «Τοῦτο τὸ νόμιμον κεκαίνισται ἐκ τοῦ νῦν φοιτήσαντος νόμου τῶν πανευσεβῶν ἡμῶν βασιλέων Ἡρακλείου καὶ Κώνσταντος, τοῦ γραφέντος πρὸς Σέργιον τὸν ἁγιώτα-



τον πατριάρχην· κελεύει γὰρ μήτε ἐπίσκοπον μήτε κληρικὸν μήτε μοναχὸν χρηματικῆς ἢ ἐγκληματικῆς χάριν αἰτίας παρὰ πολιτικῷ ἢ στρατιωτικῷ ἐνάγεσθαι ἄρχοντι, ἀλλὰ παρὰ μόνοις τοῖς ἰδίοις ἐπισκόποις ἢ μητροπολίταις ἢ πατριάρχαις γενικῶς ἐν ὅλαις ταῖς πόλεσι τῆς φιλοχρίστου πολιτείας» [Πρβλ. Συντάγμ. Ι, σ. 15]. Καὶ πάλιν ἕτερον αὐτόθι σχόλιον, ὅπερ ἐστὶ φαίνεται τοῦ Φωτίου· «Οὐχ εὑρίσκομεν κανόνα κωλύοντα κληρικοὺς κληρικοῖς ὀμνύειν. Μήποτε οὖν ἡ παροῦσα νομοθεσία ἀπεῖδεν πρὸς τὸ ὑπὸ τοῦ Κυρίου ἐν εὐαγγελίῳ εἰρημένον περὶ τοῦ μὴ ὀμνύειν τινά, καὶ ἀντὶ τῆς ἁγίας Γραφῆς κανόνος ἐμνήσθη»; [Πρβλ. Συντάγμ. Ι, σ. 168]. Καὶ ταῦτα μὲν ἅπαντα τὰ κείμενα τὰ ἀπὸ τῆς ἀρχῆς τοῦ κώδικος ἀναγεγραμμένα, ἑνὸς ἑκάστου αὐτῶν ἔχοντος ἐν τῷ κρασπέδῳ ἀριθμὸν αὔξοντα (α - ϛ), τὸ πρῶτον ἀποτελεῖ μέρος τοῦ νομοκάνος.

Μέρος δεύτερον· συνοδικά:

Α. «Κανόνες τῶν ἁγίων ἀποστόλων πε'» μετὰ σχολίων τινῶν ἐν τοῖς κρασπέδοις ἐγγεγραμμένων, φ. 48.

Β. «Κανόνες τῶν τιη' ἁγίων καὶ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων ἐν ὑπατ(ε)ίᾳ Παυλίνου καὶ Ἰουλιανοῦ τῶν λαμπροτάτων, ἔτους χλϛ ἀπὸ Ἀλεξάνδρου, ἐν μηνὶ Δεσίῳ ιθ', πρὸ ιγ' καλανδῶν Ἰουλίων», φ. 51. Κανόνες εἴκοσιν, ὧν τὰς ἐπιγραφὰς καὶ τὰς ὑποθέσεις ὁ καλλιγράφος ἔγραφεν ἐν τοῖς κρασπέδοις, ἐπιπροσθεὶς ἅμα σχόλιά τινα καὶ διάφορα τῶν κανόνων ἀναγνώσματα, ὡς εὗρε δηλαδὴ ταῦτα πιθανῶς ἐν τῷ παλαιτέρῳ τοῦ νομοκάνονος ἀντιγράφῳ· ἓν δὲ τῶν σχολίων ἐπιγραφὴν ἔχει τοιαύτην (φ. 52)· «† Διονυσίου ἐ[πι]σκόπου Ἀλεξα[νδρείας] περὶ τῶν χρόνω[ν] τῆς ἐν Νικαίᾳ γε[νο]μένης συνόδο[υ ἐκ] τῆς πρὸς Κόνω[να] ἐπιστολῆς περὶ τῶν [πα]ραπεσόντων ἐν δι[ω]γμῷ καὶ πρὸς τῇ ἐ[κδημίᾳ] τοῦ βίου αἰτούντω[ν] τυχεῖν ἀφέσεω[ς], τουτέστι κοινω[νίας] μεταλαβεῖν, καὶ μετὰ τὸ λαβεῖν ζησάντων».

Γ. «Κανόνες τῶν ἐν Ἀγκύρᾳ συνελθόντων μακαρίων πατέρων, οἵτινες προγενέστεροι μέν εἰσι τῶν ἐν Νικαίᾳ ἐκτεθέντων κανόνων, δευτερεύουσι δὲ διὰ τὴν τῆς οἰκουμενικῆς συνόδου αὐθεντίαν», φ. 53. Κανόνες κε', ἔχοντες ἐπιγραφὰς ἐν τοῖς κρασπέδοις καί τινα σχόλια.



Δ. «Κανόνες τῶν ἐν Νεοκαισαρείᾳ συνελθόντων ἁγίων πατέρων, οἵτινες δεύτεροι μέν εἰσι τῶν ἐν Ἀγκύρᾳ, τῶν ἐν Νικαίᾳ προγενέστεροι, διὰ δὲ σεβασμιότητα προτέτακται αὐτῶν ἡ ἐν Νικαίᾳ», φ. 54β. Κανόνες ιε'.

Ε. «Κανόνες τῶν ἐν Γάγγρᾳ συνελθόντων ἁγίων πατέρων, οἵτινες μετὰ τὴν ἐν Νικαίᾳ σύνοδον ἐξετέθησαν: Κ:», φ. 55· προτέτακται δὲ τούτων ἐγκύκλιος ἐπιστολὴ καὶ περὶ τῆς συνόδου πρόλογος.

Ϛ. «Κανόνες τῶν ἐν Ἀντιοχείᾳ συνελθόντων ἁγίων πατέρων» κε', φ. 56.

Ζ. «Κανόνες τῶν ἐν Λαοδικείᾳ συνελθόντων μακαρίων πατέρων» ξ', φ. 59.

Η. «Κανόνες τῶν ἁγίων ρν' πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων ἐν ὑπατ(ε)ίᾳ Φλαβίου Εὐχερίου καὶ Φλαβίου Εὐαγρίου τῶν λαμπροτάτων, πρὸ ἑπτὰ ἰδῶν Ἰουλίων: Ζ», φ. 60β· προτέτακται δὲ τῶν κανόνων ὁ «προσφωνητικὸς (λόγος) τῆς ἁγίας συνόδου πρὸς τὸν εὐσεβέστατον βασιλέα τὸν μέγαν Θεοδόσιον».

Θ. «Κανόνες τῶν διακοσίων ἁγίων πατέρων τῶν ἐν Ἐφέσῳ συνελθόντων μετὰ τὴν ὑπατ(ε)ίαν Φλαβίου Θεοδοσίου τὸ ιγ' καὶ Φλαβίου Οὐαλεντινιανοῦ τὸ γ', τῶν αἰωνίων αὐγούστων, πρὸ δέκα καλανδῶν Ἰουλίων: Η», φ. 62. Ἕπεται τοῖς κανόσι γράμμα τῆς συνόδου πρὸς τὴν ἐν Παμφυλίᾳ σύνοδον.

Ι. «Κανόνες τῶν χλ' ἁγίων πατέρων τῶν ἐν Χαλκηδόνι συνελθόντων (ἐπὶ τῆς) ὑπατείας Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου καὶ τοῦ δηλωθησομένου τῇ πρὸ ὀκτὼ καλανδῶν Νοεμβρίων: ΚΖ», φ. 64.

ΙΑ. «Κανόνες τῶν ἐν Σαρδικῇ συνελθόντων ἁγίων πατέρων: - ΚΑ», φ. 67.

[ΙΒ]. «Κανόνες τῶν ἐν Καρθαγένῃ συνελθόντων σιζ' μακαρίων πατέρων», φ. 70β. Ἐπιστολαὶ καὶ πράξεις τῆς συνόδου ιγ'.— Φύλλ. 99-ῳ: «Οἰκουμενικὴ καὶ αὕτη ἡ σύνοδος. Ἐκ τῶν πραχθέντων ὑπομνημάτων ἐν Κ/πόλει περὶ Ἀγαπίου καὶ Βαγαδίου, ἑκατέρου ἀντεχομένου τῆς ἐπισκοπῆς Βόστρης».

ΙΓ. «Κανόνες τῶν ἐν Κωνσταντινουπόλει ἐν τῷ Τρούλλῳ τοῦ βασιλικοῦ παλατίου συνελθόντων ἁγίων ἐπὶ Ἰουστινιανοῦ τοῦ εὐσε-



βεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως. Προσφωνητικὸς τῆς αὐτῆς ἁγίας συνόδου πρὸς τὸν εὐσεβέστατον Ἰουστινιανόν, ᾧ ὑπέταξαν τοὺς ὑπ' αὐτῶν ἐκτεθέντας κανόνας: ΡΒ». Ἀρχ. «Τῆς ἀρρήκτου καὶ θείας χάριτος», φ. 100. Τῷ τελευταίῳ κανόνι τῶν συνοδικῶν ἁπάντων αἱ ὑπογραφαὶ σὺν ἀριθμοῖς αὔξουσιν ἕπονται, ὧν τινες ἐλλείπουσι ταῖς ἐκδόσεσιν, οἷον· «νς' Σισίννιος ἐλάχιστος ἐπίσκοπος τῆς Λαμψακηνῶν μητροπόλεως τῆς Ἑλλησποντίων ἐπαρχίας ὁρίσας ὑπέγραψα - - - ρμδ' Ἰωάννης ἀνάξιος ἐπίσκοπος πόλεως Γερμανοκολωνιτῶν τῆς β' τῶν Γαλατῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα - - - ρνε' Κωνσταντῖνος ἐπίσκοπος πόλεως Ἀλαβανδῶν ἐπαρχίας Καρίας ὑπέγραψα - - - ρνθ' Παῦλος ἀνάξιος ἐπίσκοπος πόλεως Κιβύρρας ἐπαρχίας Καρίας ὁρίσας ὑπέγραψα - - - ροη' Γεώργιος ἐλάχιστος ἐπίσκοπος πόλεως Ὀτροῦ ἐπαρχίας Σαλουταρίων ὁρίσας ὑπέγραψα - - - ροθ' Ἰωάννης ἐλέῳ Θεοῦ ἐπίσκοπος πόλεως Πολυβιτῶν ἐπαρχίας Σαλουταρίων ὁρίσας ὑπέγραψα - - - ρπ' Θεοφύλακτος ἐπίσκοπος Φυτείας ἐπαρχίας ὁρίσας ὑπέγραψα - - - ρϟα' Κωνσταντῖνος ἀνάξιος ἐπίσκοπος τῆς Τυμανδῶν πόλεως τῆς Πισιδῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα». Ἔχει δὲ τὸ κείμενον τοῦτο καὶ σχόλια τρία, τάδε· α') φύλλ. 100^α «Ὅτι ἐν τῇ ς' συνόδῳ οὐκ ἦσαν πατριάρχαι ἐν Ἀλεξανδρείᾳ οὐδὲ ἐν Ἱεροσολύμοις, τοποτηρηταὶ δὲ τῶν θρόνων ὑπῆρχον ἐν αὐτῇ καὶ ὁ Ἀντιοχείας· ἐν δὲ τῇ μεθέκτῃ αὐτοὶ οἱ τοποτηρηταὶ κυρωθέντες πατριάρχαι συνήδρευσαν ἅμα τοῖς καταλειφθεῖσιν ἐπισκόποις καὶ ἑτέροις πλείστοις, Θεοφάνους γεγονότος πατριάρχου Ἀντιοχείας διὰ τὸ καθαιρεθῆναι Μακάριον καὶ πεμφθῆναι εἰς Ῥώμην ὡς ἀπειθοῦντα. Ὑπῆρχον δὲ ἐν μὲν τῇ ἕκτῃ ρο', ἐν δὲ τῇ μεθέκτῃ σμ' πατέρες. Ὅτι ἡ ς' ἐπὶ Κωνσταντίνου γέγονεν ἔτει ιγ' τῆς αὐτοῦ βασιλείας, μηνὶ νοεμβρίῳ ἰνδ. θ', ἡ δὲ μεθέκτη ἤρχθη μηνὶ ἰανουαρίῳ ἰνδ. [sic], ὡς ἀπέχειν ἀπὸ τῆς ς' ἔτη κς'· ἡ μὲν γὰρ ς' γέγονεν ἔτους ἀπὸ κτίσεως κόσμου ,ςρογ', ἡ δὲ μεθέκτη ,ςρϟθ'». β') Φύλλ. 102-ῳ σχόλιον, ὃ φαίνεταί μοι Φωτίου εἶναι τοῦ πατριάρχου· «Σημ(είωσαι). Κἀντεῦθέν ἐστι καταφωρᾶσαι τῆς τῶν εἰκονομάχων κακουργίας τὸ ἀναίσχυντον, οἳ διαβάλλειν τὴν τῶν



προκειμένων κανόνων ἐπιχειροῦντες ἀκρίβειαν, διότι κατὰ τῆς ἐκφύλου αὐτῶν αἱρέσεως ἵστανται, φασὶ τοὺς ἐκθεμένους αὐτοὺς τῇ τῶν Μονοθελητῶν ἐνισχημένους νόσῳ καὶ κατὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ϛ' συνόδου ὑπογράψαι· οἳ δέ, ὡς ὁρᾶν ἐστι παντί, ταύτην λαμπραῖς ταῖς φωναῖς ἀνακηρύττοντες τοὺς ὑπ' αὐτῆς κατακριθέντας ἅμα τῷ αὐτῶν ἐναγεστάτῳ φρονήματι ταῖς αὐταῖς εὐθύναις καὶ ἀραῖς ὑποφέρουσιν. Ἔοικεν οὖν τὸ γένος τοῦτο τῶν εἰκονομάχων τοὺς προγόνους Εὐτυχιανιστὰς καὶ Διοσκόρους μιμεῖσθαι. Ὥσπερ ἐκεῖνοι τοὺς ἐν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ δ' συνόδῳ, ὅτι τὴν αὐτῶν λύσσαν καὶ ἐκκλησίαν τὰ Νεστορίου φρονεῖν, καίτοι λαμπρῶς αὐτὸν ἀναθεματίσαντας, συκοφαντῆσαι ἀπαναισχύντησαν [sic], οὕτως καὶ οἱ ἐκείνων ὡς ἀληθῶς γνήσιοι μαθηταὶ καὶ ἀπόγονοι τοὺς ἱεροὺς τούτους καὶ ἁγίους ἄνδρας λαμπρῶς μετὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου κατὰ τῶν δυσσεβῶν Μονοθελητῶν ἀνδραγαθιζομένους τὰ ἐκείνων τούτους φρονεῖν οὐκ ἐρυθριῶσι λοιδορούμενοι, ὅμοιόν τι τοῖς Ἰουδαίοις ποιοῦντες, οἳ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τῶν δαιμονίων τὸ πλάσμα καθαίροντα δαιμόνιόν τε ἔχειν οὐκ ἔφριττον ἐξυβρίζοντες (καὶ) ἐν τῷ ἄρχοντι τῶν δαιμονίων καθαίρειν αὐτοῦ τὴν δυναστείαν, ἤτοι ἀπελαύνειν τὰ δαιμόνια, τερατευόμενοι οὐκ ἐνεκαλύπτοντο». γ') Φύλ. $104^{β}$ σχόλιον εἰς τὸν ιβ' κανόνα· «Ὅτι ἕως τοῦ Ἰουστινιανοῦ τοῦ ῥινοκοπημένου τινὲς τῶν ἐν Ἀφρικῇ ἐπισκόπων ἃς προεῖχον ἐν λαϊκοῖς ἐξεταζόμενοι γυναῖκας, ταύτας καὶ μετὰ τὸ ἀρχιερατικὸν ἀξίωμα ἐγνωρίζοντο συνοικοῦντες· ὁ δὲ παρὼν κανὼν τὴν τοιαύτην παράλογον ἐκκόπτει πρᾶξιν».

ΙΔ. «Κανόνες τῶν ἐν Νικαίᾳ πατέρων συνελθόντων τὸ β' ἔτει ͵ςσϟς' τῆς τοῦ κόσμου κτίσεως, ἰνδικτ. ια', εὐσεβῶς βασιλευόντων Κωνσταντίνου καὶ Εἰρήνης τῆς αὐτοῦ μητρός», φ. 118β. Κανόνες κβ', ὧν ὁ β' ἔχει σχόλιον ἐν τῷ κρασπέδῳ τοιοῦτον, ὅπερ ἐστί, φαίνεται, τοῦ πατριάρχου Φωτίου· «Μηδὲν θαυμάσῃς, μηδὲ παράδοξόν σοι δόξῃ, ὅτι τὴν τῶν ψαλμῶν ἀπαιτεῖ γνῶσιν καὶ τὴν ἄλλην τῶν ἱερῶν μαθημάτων ἐπίγνωσιν τοὺς μέλλοντας εἰς ἀρχιερωσύνην (ἀνάγεσθαι) ὁ προκείμενος κανὼν οὗτος· τῆς γὰρ

Ἰσαύρων ἐπικρατούσης δυσσεβείας καὶ τῆς εἰκονομαχικῆς ἐμπλατυνομένης αἱρέσεως ἐπὶ τοσοῦτον ἐξ ἀνθρώπων ἀπῆλθεν τὰ θεῖα ταῦτα μαθήματα, ὥστε μόλις εὑρίσκεσθαί τινας τῶν ὑποδεδυκότων τὸ τῆς ἀρχιερωσύνης ὄνομα—αὐτὸ γὰρ τοῦτο μόνον ὁλόκληρον, μή τι γε ἄλλο — τοὺς δαυιτικοὺς ψαλμοὺς εἰδέναι· διὸ ἐξ ἀνάγκης γέγονεν, εἰ καὶ μὴ καταθύμιον, τῷ ἁγιωτάτῳ καὶ μεγάλῳ ἀρχιερεῖ Ταρασίῳ καὶ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ ζ′ συνόδῳ τοιοῦτόν τινα περὶ τῶν ἀρχιερέων διατυπῶσαι κανόνα· τὸ γὰρ παράδοξον τῆς διορθώσεως τὴν ὑπερβολὴν ἐλέγχει, οὐχ ὕβριν φέρει τοῖς διορθουμένοις τῆς προκατασχούσης ἀθεότητος». Καὶ πάλιν ἕτερον σχόλιον εἰς τὸν ιδ′ κανόνα (φ. 121)· «Τὸ μὲν εἰς ἀναγνώστας τινὰς χωρὶς εὐχῆς καὶ χειροθεσίας περικείρεσθαι νῦν οὐχ ὁρᾶται, τῶν δ' ἡγουμένων τινάς, κἂν πρεσβυτέρων βαθμὸν ἔχωσιν, χειροθετεῖν ἀναγνώστας, οὐδὲ τοῦτο νῦν ὁρῶμεν προβαῖνον».

ΙΕ. «Τῆς γενομένης συνόδου ἐπὶ Κυπριανοῦ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Καρχηδόνος, συναχθέντων ἐπισκόπων πδ′ εἰς τὴν αὐτὴν Καρχηδόνα, περὶ τοῦ δεῖν βαπτίζεσθαι τοὺς αἱρετικούς· ἥτις σύνοδος προγενεστέρα μέν ἐστι τῆς ἐν Νικαίᾳ, δευτερεύει δὲ διὰ τὴν τῆς οἰκουμενικῆς συνόδου αὐθεντίαν», φ. 123. Λείπει τὸ τέλος· ἀλλ' ἐν τῷ κρασπέδῳ τοῦ 127-ου φύλλου χεὶρ τῆς ιγ′ ἑκατ. ἔγραψε τοῦτο· «λήποι ἀπ(ὸ) τὴν αὐτ(ὴν) σύνοδων κεφάλεα λβ′ διὰ τὸ (νὰ) λήπουν τέτραδα» κτλ. Σημειωτέον ὅτι τὰ πρακτικὰ ταῦτα διάφορά ἐστι τῶν ἐκτετυπωμένων ἑλληνιστί.

Μέρος τρίτον· ἐπιστολαὶ κανονικαὶ καὶ ἄλλα τινά:

Α. Λέοντος ἐπισκόπου Ῥώμης ἀκέφαλος ἐπιστολὴ πρὸς Φλαβιανὸν ἀρχιεπίσκοπον Κ/πόλεως, ἥτις ἄρχεται νῦν ὧδε· «- - - ἢ Θεὸν μόνον ἄνευ ἀνθρώπου, ἢ δίχα Θεοῦ πιστεύειν ἄνθρωπον μόνον», φ. 128.—Ὅρος τῆς ἐν Χαλκηδόνι δ′ οἰκουμενικῆς συνόδου, οὗ ἡ ἀρχή· «Ὁ κύριος ἡμῶν καὶ σωτὴρ Ἰησοῦς ὁ Χριστος τῆς πίστεως τὴν γνῶσιν», φ. 129.—«Τὸ σύμβολον τῶν ἐν Νικαίᾳ τιη′ πατέρων», «καὶ τὸ αὐτὸ τῶν ρν′ ἁγίων πατέρων τῶν ἐν Κ/πόλει συναχθέντων», φ. $129^{β}$.

Β. «Τῷ τὰ πάντα ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀδελφῷ καὶ



συλλειτουργῷ ἡμῶν χυρῷ Λέοντι πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης, Νικηφόρος ἐλέῳ Θεοῦ ἐπίσκοπος Κ/πόλεως χαίρειν». Ἀρχ. «Μέγας μὲν ὡς ἀληθῶς καὶ ἀξιάγαστος», φ. 130β (Σπυρ. Μήλια, Τῶν ἁγίων συνόδων - - - συνάθροισις. Ἐν Παρισίοις [γρ. Βενετίᾳ] 1761 - 1762, τ. II, σ. 8, στήλη β', γραμμῇ 42 κέ). Μέρος τῆς ἐπιστολῆς ταύτης ἐλλείπει τῷ κώδικι· διὸ καὶ προσέθηκεν ὁ δέτης αὐτοῦ φύλλα δύο χάρτινα παντάπασιν ἄγραφα (φ. 136, 137).

Γ. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικηφόρου ἀρχιεπισκόπου Κ/πόλεως σύμβολον πίστεως. Κεφάλαια δι' ὧν ἐλέγχονται οἱ τῆς ἀποστασίας ἔξαρχοι προσκόψαντες εἰς τὴν ἀμώμητον καὶ ἱερὰν ἡμῶν τῶν χριστιανῶν πίστιν» κτλ., φ. 139. Ἐξ ἑτέρου κώδικος ἐξέδωκε ταῦτα Μάϊος ἐλλιπέστατα καὶ κάκιστα (Spicilegium Romanum X, σ. 152 - 156). Πλήρης ὅμως ἔκδοσις ἐγένετο διὰ τοῦ κώδικος τούτου [Ἀνάλεκτα Ἱεροσολυμ. Σταχυολογίας I, σ. 454-460].

Δ. «Τοῦ αὐτοῦ διαφορὰ εἰκόνος Χριστοῦ καὶ σταυροῦ ἐν δέκα ἀποδείξεων συλλογισμῶν τρόποις». Ἀρχ. «α' Ὅτι ἡ εἰκὼν τοῦ Χριστοῦ ὁμοίωμα αὐτοῦ ἐστι», φ. 141. Mai, Spicileg. Rom. X, σ. 157 - 160.

Ε. «Τοῦ μακαρίου Διονυσίου ἀρχιεπισκόπου Ἀλεξανδρείας» ἐπιστολὴ πρὸς Βασιλίδην, ἧς ἡ ἀρχή· «Ἐπέστειλάς με πιστότατε», φ. 142. Σύνταγμα τῶν θείων καὶ ἱερῶν κανόνων, τ. IV, σ. 1.

Ϛ. «Τοῦ ἁγιωτάτου Πέτρου Ἀλεξανδρείας καὶ μάρτυρος κανόνες φερόμενοι ἐν τῷ περὶ μετανοίας αὐτοῦ λόγῳ». Ἀρχ. «Ἐπεὶ τοίνυν τέταρτον ἤδη πάσχα», φ. 143β [Σύνταγμα, IV, σ. 14]. Χάσμα μετὰ τὴν ἀρχὴν τοῦ γ' κανόνος, ἕνεκα τῆς ἐκκοπῆς ἑνὸς ἐκ παλαιοῦ φύλλου.

Ζ. «Ἐπιστολὴ κανονικὴ τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου Νεοκαισαρείας τοῦ θαυματουργοῦ, περὶ τῶν ἐν τῇ καταδρομῇ τῶν Βαρβάρων εἰδωλόθυτα φαγόντων ἢ καὶ ἕτερά τινα πλημμελησάντων». Ἀρχ. «Οὐ τὰ βρώματα ἡμᾶς βαρεῖ», φ. 145β. Σύνταγμα, IV, σ. 45.

Η. «Τοῦ ἁγίου Ἀθανασίου ἐπισκόπου Ἀλεξανδρείας ἐπιστολὴ



πρὸς Ἀμοῦν μονάζοντα περὶ γονορυροῦς» [sic]. Ἀρχ. «Πάντα μὲν καλὰ καὶ καθαρά», φ. 147. Σύνταγμα, IV, σ. 67.

Θ. «Τοῦ αὐτοῦ ἐκ τῆς λθ' ἑορταστικῆς ἐπιστολῆς». Ἀρχ. «Ἀλλ' ἐπειδὴ περὶ τῶν αἱρετικῶν ἐμνήσθημεν», φ. 148. Σύνταγμα, IV, σ. 78.

Ι. «Τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς Ῥουφινιανὸν ἐπίσκοπον», ἧς ἡ ἀρχή· «Σὺ μὲν τὰ υἱῷ ἠγαπημένῳ πρέποντα», φ. 148^{β}. Σύνταγμα, IV, σ. 82.

ΙΑ. Ταρασίου Κωνσταντινουπόλεως ἐπιστολὴ πρὸς Ἀδριανὸν ἐπίσκοπον Ῥώμης «περὶ τῶν ἐπὶ χρήμασι χειροτονιῶν». Ἀρχ. «Πολυμερῶς καὶ πολυτρόπως», φ. 149. Σύνταγμα, IV, σ. 375.

ΙΒ. «Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου ἐπιστολὴ πρὸς Σέλευκον». Ἀρχ. «Χαίρειν κελεύω τὸν καλόν τε καὶ ἀγαθόν», φ. 151^{β}. Στίχοι τλγ' τύποις ἐκδοθέντες τὸ πρῶτον ὑπὸ Ἰωακεὶμ Zehner (Schlusingae 1609) ἐπ' ὀνόματι τοῦ Ἀμφιλοχίου· εἶτα δὲ συνανενέμιξαν αὐτοὺς οἱ ἐκδόται τοῖς ποιήμασι Γρηγορίου τοῦ Θεολόγου. Πρβλ. Fabrici, Bibl. Graeca VIII, σ. 377.

ΙΓ. «Θεοφίλου ἀρχιεπισκόπου Ἀλεξανδρείας τῶν Θεοφανείων ἐπιστάντων ἐν Κυριακῇ προσφώνησις», ἧς ἡ ἀρχή· «Καὶ τὸ ἔθος καὶ τὸ πρέπον», φ. 154. Migne τ. 65, σ. 33. Σύνταγμα, IV, σ. 342.

ΙΔ. «Τοῦ αὐτοῦ ὑπομνηστικόν, ὅπερ ἔλαβεν Ἀμὼν διὰ τὴν Λυκῶ». Ἀρχ. «Περὶ τῶν κοινωνησάντων τοῖς Ἀρειανοῖς», φ. 154. Migne τ. 65, σ. 36. Σύνταγμα, IV, σ. 343.

ΙΕ. «Τοῦ αὐτοῦ Ἀφυγγίῳ περὶ τῶν λεγομένων Καθαρῶν». Ἀρχ. «Δεδήλωκέν μοι ἡ σὴ εὐλάβεια», φ. 155.—«Τοῦ αὐτοῦ Ἀγάθῳ [sic] ἐπισκόπῳ». Ἀρχ. «Ἀγνοῶν τοὺς τῆς ἐκκλησίας νόμους», φ. 155^{β}.—«Τοῦ αὐτοῦ Μηνᾷ ἐπισκόπῳ». Ἀρχ. «Νόμιμον πρᾶγμα πεποιήκασι», φ. 155^{β}. Migne τ. 65, σ. 44-45. Σύνταγμα, IV, σ. 351-354.

ΙϚ. Κυρίλλου Ἀλεξανδρείας ἐπιστολὴ πρὸς Δόμνον, ἧς ἡ ἀρχή· «Ἕκαστα τῶν καθ' ἡμᾶς», φ. 155^{β}. Migne τ. 77, σ. 361. Σύνταγμα, IV, σ. 355.

ΙΖ. «Τοῦ αὐτοῦ τοῖς κατὰ Λιβύην καὶ Πεντάπολιν ἐπισκόποις». Ἀρχ. «Παντὸς τοῦ χρησίμου», φ. 156. Migne τ. 77, σ. 364. Σύνταγμα IV, σ. 361.

ΙΗ. «Ἐγκύκλιος ἐπιστολὴ Γενναδίου τοῦ ἁγιωτάτου πατριάρχου Κ/πόλεως καὶ τῆς σὺν αὐτῷ ἁγίας συνόδου πρὸς ἅπαντας τοὺς ὁσιωτάτους μητροπολίτας». Ἀρχ.· «Ὁ δεσπότης ἡμῶν καὶ θεός», φ. 156β. Σύνταγμα, IV, σ. 368 - 374. Ὁ κῶδιξ ὑπογραφὰς ἀριθμεῖ πβ'.

ΙΘ. «Ἐπιστολὴ γραφεῖσα ἀπὸ Κ/πόλεως Μαρτυρίῳ ἐπισκόπῳ Ἀντιοχείας, περὶ τοῦ ὅπως χρὴ δέχεσθαι τοὺς αἱρετικοὺς προσερχομένους τῇ ἁγίᾳ καὶ καθολικῇ ἐκκλησίᾳ». Ἀρχ. «Τινὰ διελέχθη μοι», φ. 158β. Pitra, Jur. eccles. Graec. τ. II, σ. 187.

Κ. «Μιχαὴλ συγκέλλου Ἱεροσολύμων, λίβελλος περὶ τῆς ὀρθοδόξου πίστεως». Ἀρχ. «Πιστεύω εἰς ἕνα Θεὸν» κτλ., φ. 159.

ΚΑ. «Διάγνωσις ἑτέρα περὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων», ἧς ἡ ἀρχή· «Πρώτη σύνοδος γέγονεν οἰκουμενικὴ ἐν Νικαίᾳ», φ. 160β.

ΚΒ. (Ἰωάννου Σχολαστικοῦ) πρόλογος ἀνεπίγραφος εἰς νομοκάνονα, διῃρημένον εἰς ἑξήκοντα τίτλους. Ἀρχ. «Οἱ τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος», φ. 162 - 163α [Pitra, Juris eccles. Graec. τ. II, σ. 368 κἑ]. Τὴν ὀπίσω σελίδα τοῦ 162-ου φύλλου, μείνασαν ἐξ ἀρχῆς ἄγραφον, ἐπλήρωσέ τις ὕστερον (τῇ ιγ' ἑκατ.) ἀποσπάσμασι μικροῖς, ἀκωλύτους ἢ κεκωλυμένους ἀναγράφουσι γάμους.

Μέρος τέταρτον· τεμάχη κανονικά:

Α. «Τοῦ ἁγίου Βασιλείου ἐπισκόπου Καισαρείας Καππαδοκίας Ἀμφιλοχίῳ ἐπισκόπῳ Ἰκονίου περὶ κανόνων ἐπιστολὴ πρώτη». Ἀρχ. «Ἀνοήτῳ φησὶν ἐπερωτήσαντι σοφίαν», φ. 164 [Σύνταγμα, IV, σ. 88. Migne τ. 32, σ. 664]. Σχόλιον μέγα ἐν τῷ 165-ῳ φύλλῳ διὰ τὸν δ' κανόνα, οὗ ἡ ἀρχή· «Τὸ "διὸ καὶ ὁ Κύριος" αἰτία τοῦ διὸ οὐκ ἠνέσχετο ἐπὶ τοῦ τῆς πολυγαμίας ὀνόματος τὸ τρίγαμον ἀφεῖναι» κτλ. Καὶ τοῦτο τὸ σχόλιον εἶναι φαίνεται τοῦ πατριάρχου Φωτίου.

Β. «Τοῦ αὐτοῦ περὶ κανόνων ἐπιστολὴ δευτέρα», ἧς ἡ ἀρχή·



«α' Πάλαι πρὸς τὰς παρὰ τῆς εὐλαβείας σου» κτλ., φ. 167 [Σύνταγμα, IV, σ. 138. Migne τ. 32, σ. 716]· διῄρησε δὲ ταύτην ὁ τοῦ νομοχάνονος συντάκτης εἰς κεφάλαια λε'.

Γ. «Τοῦ αὐτοῦ περὶ κανόνων ἐπιστολὴ γ', κεφάλαια λγ'». Ἀρχ. «Ἀπὸ ὁδοῦ μακρᾶς ἐπανελθὼν» κτλ., φ. 169β [Σύνταγμα, IV, σ. 206, ἔνθα λείπει τὸ προοίμιον. Migne τ. 32, σ. 792]. Καὶ διὰ τὴν ἐπιστολὴν ταύτην ὁ κῶδιξ ἐν τοῖς κρασπέδοις ἔχει τινὰ σχόλια.

Δ. «Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς τὸν αὐτὸν Ἀμφιλόχιον γραφείσης ἐπιστολῆς περὶ τοῦ μὴ ἀγνοεῖν τὸν Κύριον τὴν ἡμέραν τοῦ τέλους καὶ τὴν ὥραν». Ἀρχ. «Τοῖς δὲ κομψοῖς Ἐγκρατίταις», φ. 172. Σύνταγμα, IV, σ. 257. Migne τ. 32, σ. 881 c.

Ε. «Τοῦ αὐτοῦ πρὸς Διόδωρον τὸν Ταρσοῦ κατὰ τῶν δύο ἀδελφὰς γαμούντων ἢ ἀδελφοῖς δυσὶ γαμουμένων». Ἀρχ. «Ἀφίκετο ἡμῖν γράμματα», φ. 172. Σύνταγμα, IV, σ. 259. Migne τ. 32, σ. 621.

Ϛ. «Τοῦ αὐτοῦ πρὸς Γρηγόριον πρεσβύτερον, ὥστε χωρισθῆναι αὐτὸν τοῦ συνοίκου γυναίου». Ἀρχ. «Ἐνέτυχόν σου τοῖς γράμμασι», φ. 173. Σύνταγμα, IV, σ. 269. Migne τ. 32, σ. 401.

Ζ. «Τοῦ αὐτοῦ χωρεπισκόποις, ὥστε μὴ γίνεσθαι χωρὶς αὐτοῦ ὑπηρέτας παρὰ τοὺς κανόνας». Ἀρχ. «Πάνυ μοι λυπεῖ», φ. 173β. Σύνταγμα, IV, σ. 275. Migne τ. 32, σ. 400.

Η. «Τοῦ αὐτοῦ πρὸς τοὺς ὑφ' ἑαυτὸν ἐπισκόπους, ὥστε μὴ χειροτονεῖν ἐπὶ χρήμασιν». Ἀρχ. «Τὸ τοῦ πράγματος ἄτοπον», φ. 174. Σύνταγμα, IV, σ. 278. Migne τ. 32, σ. 396.

Θ. «Τοῦ ἁγίου Βασιλείου ἐκ τοῦ κζ' κεφαλαίου τῶν περὶ τοῦ ἁγίου πνεύματος πρὸς τὸν μακάριον Ἀμφιλόχιον γεγραμμένων». Ἀρχ. «Τῶν ἐν τῇ ἐκκλησίᾳ πεφυλαγμένων», φ. 174β. Σύνταγμα, IV, σ. 283. Migne τ. 32, σ. 188Α.

Ι. Τοῦ αὐτοῦ ἐκ τοῦ κθ' κεφαλαίου τῆς αὐτῆς πραγματείας». Ἀρχ. «Πρός γε μὴν τὸ ἄγραφον», φ. 175β. Σύνταγμα, IV, σ. 292. Migne τ. 32, σ. 200.

ΙΑ. «Ἐπιστολὴ κανονικὴ τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου



Νύσσης πρὸς τὸν ἐν ἁγίοις Λητόιον ἐπίσκοπον Μελιτινῆς, περὶ τοῦ ὅρου τῶν ἐπιτιμίων». Ἀρχ. «Ἓν καὶ τοῦτο», φ. 175β. Σύνταγμα, IV, σ. 295. Migne τ. 45, σ. 221.

ΙΒ. «Τοῦ Θεολόγου ἐκ τῶν ἐμμέτρων αὐτοῦ». Ἀρχ. «Θείοις ἐν λογίοισιν ἀεὶ γλώσσῃ τε νόῳ τε» κτλ., φ. 179.

ΙΓ. «Τοῦ ἁγίου Ἀμφιλοχίου ἐπισκόπου τοῦ Ἰκονίου ἐκ τῶν πρὸς Σέλευκον ἰάμβων». Ἀρχ. «Πλὴν ἀλλ' ἐκεῖνο προσμαθεῖν», φ. 179β. Σύνταγμα, IV, σ. 365.

[ΙΔ]. «Ἀποκρίσεις κανονικαὶ Τιμοθέου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Ἀλεξανδρείας, ἑνὸς τῶν ρν' ἁγίων πατέρων τῶν ἐν Κωνσταντινουπόλει, πρὸς τὰς ἐπενεχθείσας αὐτῷ ἐπερωτήσεις παρά τινων ἐπισκόπων καὶ κληρικῶν». Ἀρχ. «Ἐρώτησις. Ἐὰν παιδίον κατηχούμενον, φ. 180 [Σύνταγμα, IV, σ. 331]. Λείπει τὸ τέλος, ἀποκρίσεως ἐσχάτης οὔσης ἐν τῷ κώδικι τῆς ις', ἣ καὶ λήγει οὕτως· «περὶ τούτου τι ἀποκρίνασθαι οὐχ ἐφευρίσκω - - -».— Παρέπονται δὲ χωρὶς ἀριθμῶν ἕτερα μικρὰ κείμενα· α') «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου ἐκ τοῦ περὶ δογμάτων καὶ καταστάσεως ἐπισκόπων». Ἀρχ. «Οὐδὲν γάρ μοι δοκεῖ τοιοῦτον», φ. 181.—«Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Εὐνομιανούς». Ἀρχ. «Οὐ παντός, ὦ οὗτοι, τὸ περὶ Θεοῦ φιλοσοφεῖν», φ. 181. — «Τοῦ αὐτοῦ ἐκ τοῦ εἰρηνικοῦ α'». Ἀρχ. «Οὔτε νωθέστερον εἶναι τοῦ μετρίου», φ. 181β.—«Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς Ἀθανάσιον ἐπίσκοπον Ἀλεξανδρείας». Ἀρχ. «Ὥσπερ γὰρ οὐχ αἱ αὐταὶ λεόντων τε καὶ τῶν ἄλλων ζῴων ὁρμαί», φ. 181β.—«Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ ἱερωσύνης». Ἀρχ. «Οὐ γὰρ μὴ κακὸν εἶναι δεῖ μονον», φ. 181β-182α. Τὴν ὀπίσω τοῦ φύλλου τούτου σελίδα παντελῶς ἄγραφον εἴασεν ὁ καλλιγράφος.

Μέρος πέμπτον· παραρτήματα:

α') «Ἐκ τῶν μετὰ τὸν κώδικα θείων νεαρῶν διατάξεων τοῦ τῆς θείας λήξεως Ἰουστινιανοῦ διάφοροι διατάξεις συνᾴδουσαι ἐξαιρέτως τοῖς θείοις κανόσι καὶ ἐκ περιουσίας τὴν οἰκείαν ἰσχὺν νέμουσαι· αἷς τάξιν τινὰ καὶ ἀριθμὸν ἐπεθήκαμεν πρὸς σύντομον εὕρεσιν τοῦ ἐπιζητουμένου κεφαλαίου, διὰ τὸ ὡς εἴρηται ἐκ δια-



φόρων διατάξεων εἶναι τὰ συναχθέντα, ὡς ὑποτέτακται. Τῆς ἐγκειμένης μετὰ τοὺς κανόνας τῶν συνόδων διατάξεως τὰ κεφάλαια» (πζ'), φ. 183 [G. Heimbach Ἀνέκδοτα, τ. II, σ. 202 207]. Τὸ κείμενον ἀπὸ τοῦ 185-ου φύλλου, τοιαύτην ἔχον ἐπιγραφήν· «Εἰς δόξαν τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τὰ νῦν συντεθειμένα μετὰ τοὺς ἱεροὺς κανόνας τῶν τε ἁγίων καὶ μακαρίων ἀποστόλων καὶ τῶν τοῖς ἴχνεσιν αὐτῶν καθ' ἑκάστην σύνοδον ἀκολουθησάντων ὁσίων πατέρων μετεγράφη ἐκ τῶν σποράδην κειμένων καὶ ἐκφωνηθέντων ὑπὸ τοῦ τῆς θείας λήξεως Ἰουστινιανοῦ μετὰ τὸν κώδικα θείων νεαρῶν διατάξεων, αἵτινες οὐ μόνον τοῖς τῶν ὀρθοδόξων ἡμῶν πατέρων κανόσιν ἀκολουθοῦσιν, ἀλλὰ γὰρ καὶ τὴν ἐκ τῆς βασιλικῆς ἰσχύος αὐθεντίαν χαρίζονται μετὰ προσθήκης ἐννόμου τε καὶ θεαρέστου τὸ συμφέρον πάσῃ τῇ ἀνθρωπίνῃ κτίσει θεομιμήτως περισκοποῦσαι», φ. 185-213 [Heimbach Ἀνέκδοτα, II, σ. 208]. Χάσμα μέγα μετὰ τὸ 190-όν φύλλον. Τὸ ὅλον εἰσὶν ἠριθμημένα κεφάλαια πζ', κατὰ τὸν πίνακα· διὰ τὸν ἐκπεσμὸν ὅμως πολλῶν φύλλων ἀπωλέσθη τὰ πλείω, τοῦ κειμένου λήγοντος νῦν εἰς τὰς λέξεις ταύτας (κεφ. λε')· «καὶ ἐμφυτεύσεις ποιεῖν καὶ τοῖς κληρικοῖς ὁ - - -» [Heimbach, σ. 222]. Κατόπιν ὑπῆρχε παράρτημα δεύτερον, οὗτινος, ὡς εἰκός, ἐλλείπει νῦν ἡ ἀρχή· τούτου μέντοι τὴν ἐπιγραφὴν ἐγὼ προστίθημι, καθὼς αὐτὴν εὗρον ἐν τοῖς ἀνεκδότοις τοῦ Heimbach:

β') [Διατάξεις νόμων πολιτικῶν ἐκ τῶν νεαρῶν Ἰουστινιανοῦ βασιλέως, συνηγοροῦσαι καὶ ἐπικυροῦσαι τοὺς τῶν ἁγίων πατέρων ἐκκλησιαστικοὺς κανόνας]. Καθάπερ ἐρρήθη τοῦ κειμένου τούτου νόμους ἀριθμοῦντος κε' λείπει νῦν ἡ ἀρχή· λείπουσι δὲ καὶ οἱ μετ' αὐτὴν νόμοι μέχρι τῆς ἀρχῆς τοῦ ς' νόμου, πρώτας ἤδη λέξεις ἐν τῷ κώδικι ταύτας ἐμφανίζοντος αὐτοῦ· « - - - τινὶ κατολιγωρεῖσθαι μηδὲ τὰς ἐν αὐταῖς θείας λειτουργίας ἐκ τῆς τῶν θεοφιλεστάτων ἱερέων ἀπουσίας ἐμποδίζεσθαι» κτλ. [Heimbach II, σ. 152-201]. Κώδ. φ. 191-213, ἔνθα προσετέθη καὶ τὸ «τοῦ αὐτοῦ [Ἰουστινιανοῦ] ἴσον θείου νόμου».

γ') «Πίναξ τοῦ νόμ(ου) Ἰουστινια(νοῦ) ἐν ιγ' τίτλοις» [in



marg].—«Νόμος Ἰουστινιανοῦ τοῦ βασιλέως· ἀρχὴ τοῦ πρώτου βιβλίου τοῦ κώδικος». Ἕπεται τῇ ἐπιγραφῇ ταύτῃ πίναξ ιγ' τίτλων, φ. 214-216. — «Συναγωγὴ τῶν εἰρημένων ἐν τῷ κώδικι καὶ τοῖς διγέστοις καὶ ταῖς νεαραῖς διατάξεσιν», φ. 216-240. Τίτλοι ιγ' καὶ τὰ τούτων παράτιτλα [Voelli et Justelli, Bibl. juris canon. II, σ. 1223-1361]. Μετὰ τὸ 233-ον φύλλον ὑπάρχει χάσμα, Πορφυρίου τοῦ Οὐσπένσκη παραλαβόντος ἐκεῖθεν (ὅτε τὸν νομοκανόνα κατεῖχεν ἡ λαύρα τοῦ ἁγίου Σάβα) φύλλα δύο, ἅπερ ἔχει νῦν ἡ Πετρουπόλεως αὐτοκρατορικὴ βιβλιοθήκη (ἀριθ. 385. Отчетъ Импер. Публ. Библ. за 1883 г., σ. 141). Διὸ καὶ ὁ δέτης ἔπειτα προσέθηκεν ἐκεῖ χάρτινα φύλλα δύο παντάπασιν ἄγραφα (φ. 234, 235)· εἶχε δὲ τἀποκοπέντα φύλλα τοὺς ἀριθμοὺς σμβ' καὶ σμγ'.

δ') «Συναγωγὴ τῶν σποράδην ἐν τοῖς διγέστοις καὶ INSTITUTUIS κειμένων περὶ ἱερῶν τόπων τε καὶ πραγμάτων καὶ τῶν ἐν αὐτοῖς γινομένων τε καὶ πλημμελουμένων, καὶ περὶ ἱερέων, ἔτι δὲ καὶ Ἰουδαίων καὶ θυσιῶν καὶ τῶν ἀπαγόντων τινὰς πρὸς ἀπηγορευμένην θρησκείαν, καὶ περὶ ἀποτροφῆς παίδων γερόντων καὶ ἀσθενῶν», φ. $240^{β}$-$244^{α}$ [Voel. II, σ. 1302].

ε') «Καὶ ἐκ τῶν μετὰ τὸν κώδικα νεαρῶν διατάξεων» ἑτέρα συναγωγὴ διῃρημένη εἰς τίτλους τρεῖς, φ. 244-$259^{β}$ [Voel. II, σ. 1312]. Ἀρχ. «Τίτλος α' περὶ ἐπισκόπων καὶ κληρικῶν καὶ μοναχῶν τριῶν. Νόμος περὶ τοῦ πῶς δεῖ χειροτονεῖσθαι ἐπισκόπους» κτλ.—Φύλλ. $259^{β}$ «Νόμος (Ἡρακλείου) βεβαιῶν τὰ τοῖς ὁσιωτάτοις ἐπισκόποις καὶ τοῖς θεοφιλεστάτοις κληρικοῖς λαϊκοῖς καὶ μονάζουσι τὰ παρὰ τῶν προβεβασιλευκότων αὐτοῖς δεδωρημένα προνόμια περὶ τοῦ ἐνάγεσθαι χρηματικῶς, προστιθεὶς ἐκ κοινῆς, ὥστε μηδεμίαν πάροδον κατ' αὐτῶν ἔχειν πολιτικοὺς ἢ στρατιωτικοὺς ἄρχοντας» [Zachariae, Novellae constitutiones, σ. 44].— Φύλλ. $261^{β}$ Ἡρακλείου «περὶ τοῦ ὡρισμένον εἶναι τὸν ἀριθμὸν τῶν κληρικῶν τῆς μεγάλης ἐκκλησίας Κ/πόλεως» κτλ. Ἀρχ. «Καὶ τοῖς ἄλλοις κατάλληλον» κτλ. Zachariae ἔνθ. ἀνωτ. σ. 33. — Φύλ. 263 «Ὁ αὐτὸς βασιλεὺς Σεργίῳ» κτλ. Ἀρχ. «Καὶ τὰ



καλῶς τοῖς ἀνθρώποις». Zachariae ἔνθ. ἀνωτ. σ. 38. Σχόλιον ἐν τῷ 263^{β} φύλλῳ· «Αὕτη ἡ διάτ(αξις) καινίζει τὸν προλαβόντα τύπον, ἄδειαν παρέχουσα τῷ κατὰ καιρὸν πατριάρχῃ ὅσους ἂν συνείδῃ χειροτονεῖν κληρικούς».—Φύλ. 264. Τοῦ αὐτοῦ διάταξις ἑτέρα, ἧς ἡ ἀρχή· «Τὴν κοινὴν ἅπασιν εὐκοσμίαν». Zach. σ. 40.

ς') «Ἔκθεσις ἤτοι ἀνάμνησις τῆς γενομένης τῆς ἐκκλησίας ἑνώσεως ἐπὶ Κωνσταντίνου καὶ Ῥωμανοῦ, τοῦ μὲν βασιλεύοντος, τοῦ δὲ τὸ τηνικαῦτα τῷ τοῦ βασιλειοπάτορος ἀξιώματι διαπρέποντος». Ἀρχ. «Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ Θεὸς τοῖς ἑαυτοῦ μαθηταῖς» κτλ., φ. 265^{β} - 268^{β}. Τόμος τῆς ἑνώσεως [Zachariae ἔνθ. ἀνωτ. σ. 228 - 232], οὗ τὸ τέλος ὑποδείκνυσι καὶ τὸν χρόνον, ἐν ᾧ τὸ ἀπόγραφον ἐγένετο τοῦδε τοῦ νομοκάνονος· ἔξω δέ τινων ἄλλων ἀξιολόγων ἀναγνωσμάτων, ὁ τόμος ἔχει καὶ τάξιν τῶν ἐπιφωνημάτων διάφορον τῆς γνωστῆς· οἷον· « - - - περιισταμένου μέχρι τῆς συμπληρώσεως τοῦ ἑβδόμου ἔτους: Πολλὰ τὰ ἔτη τῶν βασιλέων:—Ῥωμανοῦ, Χριστοφόρου, Κωνσταντίνου, Στεφάνου καὶ Κωνσταντίνου μεγάλων βασιλέων καὶ αὐτοκρατόρων πολλὰ τὰ ἔτη: — Μιχαὴλ τοῦ πορφυρογεννήτου πολλὰ (τὰ ἔτη), Σοφίας καὶ Ἑλένης τῶν εὐσεβεστάτων αὐγούστων πολλὰ τὰ ἔτη:—Λέοντος καὶ Ἀλεξάνδρου τῶν τὴν οὐράνιον βασιλείαν τῆς ἐπιγείου ἀλλαξαμένων αἰωνία ἡ μνήμη:—Νικολάου τοῦ ἁγιωτάτου καὶ ἀοιδίμου πατριάρχου αἰωνία ἡ μνήμη:—Στεφάνου τοῦ ἁγιωτάτου καὶ ἀοιδίμου πατριάρχου αἰωνία ἡ μνήμη:—Τρύφωνος τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου πολλὰ τὰ ἔτη:—Θεοφυλάκτου τοῦ θεοφιλεστάτου ὑποδιακόνου καὶ συγκέλλου πολλὰ (τὰ ἔτη):—Ἅπαντα τὰ κατὰ τῶν ἁγίων πατριαρχῶν Γερμανοῦ Ταρασίου Νικηφόρου καὶ Μεθοδίου γραφέντα ἢ λαληθέντα ἀνάθεμα: — Ἅπαντα τὰ κατὰ τῶν ἁγίων πατριαρχῶν Ἰγνατίου Φωτίου καὶ Στεφάνου, Ἀντωνίου Νικολάου καὶ Στεφάνου, γραφέντα ἢ λαληθέντα ἀ(νάθεμα):—Ἅπαντα τὰ παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν καὶ τὴν διδασκαλίαν καὶ ὑποτύπωσιν» καὶ τὰ ἑξῆς ἄχρι τῶν «οἷς εὐαρεστούμενος ὤφθης ἅγιος· ἀμήν». Οὕτως ὁ κῶδιξ ἔχει τὰ ἐπιφωνήματα· ἐπεὶ δ' ἐν αὐτοῖς ὁμοῦ πέντε

*



πολυχρονίζονται βασιλεῖς τῷ πατριάρχῃ Τρύφωνι συνακμάσαντες, φανερὸν ἄρα, ὅτι μεταξὺ τοῦ 928-ου καὶ τοῦ 930-ου ἔτους τὸ ἀπόγραφον, ὅπερ ἤδη περιγράφω, τοῦ κώδικος ἐγένετο· εἰ γὰρ ἦσαν οὗτοι τεθνεῶτες, ὅτε τὸ παρὸν ἐγράφετο τεῦχος, πάντως ἔγραφεν ἂν ἐν τούτῳ τῶν ἐπιφωνημάτων ἑτέραν ἀπογραφὴν ὁ καλλιγράφος, μεταγενεστέραν ἐκείνων· καὶ τοῦτο πᾶς ἕκαστος οὕτως ἔχον παραδέξαιτο ἂν ὑπολαβών, ὅτι τὸν τόμον τῆς ἑνώσεως ἔδει κατὰ διαδοχὴν ἐπικυροῦσθαι παρὰ τῶν πατριαρχῶν ἄχρις οὗ τὰ σκάνδαλα τῆς τετραγαμίας ὁλοτελῶς ὁ χρόνος ἐξηφάνισε. Καὶ τῆς μὲν πρώτης τοῦ τόμου κυρώσεως ἐπὶ Νικολάου τοῦ Μυστικοῦ τὰ γενόμενα συνοδικὰ ἐπιφωνήματα, Κωνσταντίνου ἑβδόμου τοῦ πορφυρογεννήτου βασιλεύοντος (921), ἠγνόηται διὰ τὴν σπάνιν ἀρχαίων ἀντιγράφων· ὅσα γὰρ ἤδη συνοδικὰ τὰ τετυπωμένα σώζει βιβλία, τῆς ἐπὶ Βασιλείου καὶ Κωνσταντίνου τῶν βασιλέων ἐπικυρώσεως ἐπιφωνήματα περιέχει, Νικολάου τοῦ Χρυσοβέργου τότε πατριαρχοῦντος (996), ὅτε καὶ τὰ σκάνδαλα παντελῶς ἤρθη· ἃ δὲ νῦν ἐπιφωνήματα κατὰ τὸ σαβαϊτικὸν ἀπόγραφον ἐξεδόθη, ταῦτα τῶν ἐγνωσμένων ἀρχαιότερά ἐστι, κυρώσεως δὲ τάξιν, ὡς οἶμαι, τὴν τρίτην ἀποσώζει· δευτέρα γὰρ κύρωσις ἐγένετο πάντως ἐπὶ Στεφάνου πατριάρχου τοῦ ἐξ Ἀμασείας (925 - 928), οὗ τὴν μνήμην ἡ κατ' ἐμὲ τρίτη μακαρίζει κύρωσις· ταύτῃ δὲ πάλιν εἰκαστέον ὅτι τρεῖς ἕτεραι κυρώσεις ἐπηκολούθησαν, ἤδη Θεοφυλάκτου καὶ Πολυεύκτου καὶ Ἀντωνίου τρίτου πατριαρχησάντων, οὓς ἡ παρὰ τῷ Ζαχαρίᾳ κύρωσις ὀνομάζει [Novel. constit. σ. 233].

ζ') «Ἀκριβὴς διάγνωσις περὶ τῶν ἐπιτιμωμένων», ἔχουσα κατὰ λέξιν ὧδε (φ. 267β)· «α' Ἰστέον ὅτι πρόσκλαυσίς ἐστιν, ἡνίκα ἱστάμενος ἔξω τοῦ περιβόλου τῆς ἐκκλησίας ὁ ἁμαρτήσας, ἑκάστῳ τῶν εἰσερχομένων ἐπιλέγει προσκλαίων εὔχεσθαι ὑπὲρ αὐτοῦ, προσπίπτων καὶ τοῖς ποσὶν αὐτῶν:—β' Ἀκρόασίς ἐστι τὸ ἀκροᾶσθαι δηλονότι τῶν θείων Γραφῶν, ἑστῶτα τὸν αὐτὸν ἐν τοῖς λεγομένοις βασιλικοῖς πυλῶσι:—γ' Ὑποτύπωσίς ἐστιν ἡ ἔσω τοῦ περιβόλου τῆς ἐκκλησίας ἐν τῷ ὀπισθίῳ τοῦ ἄμβωνος μέρει στάσις, ἡνίκα ὁ αὐτὸς τῇ τῶν κατηχουμένων ἐκφωνήσει συνεξέρχεται:—



δ′ Σύστασις δὲ ἡ μέχρι τῶν κατηχουμένων τῆς θείας μυσταγωγίας τοῖς πιστοῖς στάσις:—ε′ Μετοχὴ δὲ τῶν ἁγιασμάτων ἡ τοῦ θείου καὶ ζωοποιοῦ ἄρτου κοινωνία καὶ μέθεξις».

η′) «Ἔτι παρασημειώσεις (α′-κγ′) ἐγκληματικῶν κανόνων, ἐμφαίνουσα τοὺς χρόνους ἑκάστου ἁμαρτήματος». Ἀρχ. «α′ Ὁ χειροτονῶν ὑπερορίᾳ καθαιρείσθω:—β′ Ὁ διὰ χρημάτων χειροτονούμενος καθαιρείσθω καὶ ὁ χειροτονήσας:—γ′ Ὁ ἐγγύας διδοὺς κληρικὸς καθαιρείσθω» κτλ.


θ′) [Προσθήκη γενομένη διὰ χειρὸς ἑτέρας περὶ τὸ τέλος ἴσως τῆς ι′ ἢ περὶ τὴν ἀρχὴν τῆς ια′ ἑκατ. Ἔστι δὲ ἡ γραφὴ ταύτης κεκλασμένη καὶ λεπτή, πολυαρίθμους ἔχουσα συγκεκομμένας λέξεις]. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου, ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, ἱστορία μυσταγωγικὴ ἐκκλησιαστική», ἧς ἡ ἀρχή· «Ἐκκλησία ἐστὶ ναὸς Θεοῦ, τέμενος ἅγιον, οἶκος προσευχῆς, συνάθροισις λαοῦ» κτλ. φ. 268 — 270 [Ἱεροσολυμιτ. Βιβλιοθ. Ι, σ. 118]. Τὴν ὀπίσθιον τοῦ 270-οῦ φύλλου σελίδα κατέλιπεν ὁ καλλιγράφος ἄγραφον· ἀλλ' ἐν αὐτῇ περιελήφθη τῇ ιζ′ ἑκατ. σημείωμα τοιοῦτον· «Τῶ παρὸν νόμημον ὑπάρχει τοῦ Ἁγίου Τάφου παλεῶν χρόνων κτλ. Παΐσιος ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλήμ».

ι′) «Συναγωγὴ κανόνων ἐκκλησιαστικῶν εἰς ν′ τίτλους διῃρημένη», φ. 271—293α. Τῶν ὀκτὼ πρώτων φύλλων ἀπεκόπη διὰ ψαλίδος, ὡς φαίνεται, τὸ ἥμισυ μέρος, ἀφεθέντος ἀβλαβοῦς τοῦ πρὸς τὰ κάτω μόνον μέρους αὐτῶν· ἀλλὰ καὶ μετὰ τὸ 278-ον φύλλον ὑπάρχει χάσμα μέγα, ὅ ἐστιν ἐξέπεσεν ἐκεῖθεν τετράδιον ἕν, οὗ τὰ φύλλα ἐκ παλαιοῦ ἀριθμοὺς εἶχεν ὀκτὼ (σπζ′—σϞδ′). Τίτλος α′ «Περὶ τῆς ὁρισθείσης τοῖς πατριάρχαις ἐκ τῶν κανόνων τιμῆς, καὶ (περὶ) τοῦ μὴ ἐξεῖναί τινι αὐτῶν ὑφαρπάζειν ἐπαρχίαν ἑτέρῳ προσήκουσαν ἐπὶ χειροτονίᾳ καὶ διοικήσεσιν, ἀλλὰ καὶ τὰς ὑφαρπαγείσας ἤδη τοῖς ἀδικηθεῖσιν ἀνταποδίδοσθαι». Τελευταῖος τίτλος ὁ «Περὶ κανόνος εὐχῶν καὶ ψαλμῳδίας καὶ ἀναγνώσεως καὶ (περὶ) τοῦ δεῖν ἐν Κυριακῇ καὶ Πεντηκοστῇ τὰ γόνατα κλίνειν τῶν προσευχομένων, καὶ περὶ τοῦ καιροῦ τοῦ πάσχα καὶ



τῶν κανονισθέντων βιβλίων». Καὶ ταῦτα μὲν ὁ κῶδιξ ὅλος, ὡς νῦν ἔχει, περιλαμβάνει, τοῦ γραφέως αὐτοῦ παντάπασιν ἄγραφον ἀφέντος τὴν ἐσχάτην αὐτοῦ σελίδα· ἔτι δὲ σημειωτέον, ὅτι ἔν τινι τῶν κρασπέδων (φ. 265β) διὰ χειρὸς τῆς ιγ' ἑκατ. ἐγράφη τὸ «† Θεοῦ θυτὴρ Θεόδωρος ο Καρβούνης», ὃς ἦν ἴσως ἀναγνώστης ἢ τῆς βίβλου κτήτωρ, καὶ ὅτι περὶ τὴν ις' ἑκατ. τὰ φύλλα τοῦ κώδικος ἦν 320, καθὼς ἐκδηλοῖ καὶ τῶν φύλλων αὐτῶν ἀρίθμησις ἀρχαία καὶ τὸ σημείωμα τοῦτο (φ. 293α)· «† ἐχὴ τῶ παρον βϊβλι(ον) τριἀκόσια εἰχωσι † † †» [=φύλλα].

3. Τεῦχος μεμβράνινον, ὅπερ εὑρεθὲν παραλελυμένον ἔτει 1858-ῳ ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα μετηνέχθη πρὸς φύλαξιν εἰς τὴν ἐν τῷ Σταυρῷ σχολήν· ἀλλὰ καὶ τότε βιβλιοδέτης Ἱεροσολυμίτης ἀτυχῶς οὐ μόνον ἀπροσέκτως τὰ συνιστῶντα τὸν κώδικα φύλλα συνέδησεν ἰσχυρῶς, δέρματι λευκοχρόῳ περικαλύψας αὐτά, ἀλλὰ καὶ τὰ τῶν φύλλων ἄκρα βαθέως οὕτως ἀπέκοψεν, ὥστε συμφθαρῆναι καὶ τῶν ἐπιγραφῶν οὐκ ὀλίγας, ἃς ἐν τοῖς κάτω κρασπέδοις ἐρυθροῖς γράμμασι περὶ τὸ τέλος τῆς ἑνδεκάτης ἑκατονταετηρίδος προσέθετο βιβλιογράφος ἕτερος, ὡς ἐγὼ νομίζω· δι' ὃ καὶ τὸ μῆκος καὶ τὸ πλάτος, ὅπερ ἐξ ἀρχῆς εἶχεν ὁ κῶδιξ, ἀδύνατον ὅλως ὑπολογίσασθαι· ὡς δὲ νῦν ἔχει, μήκους μὲν ἔστι 0,365, πλάτους δὲ 0,292· ἔστι δὲ τὸ κείμενον αὐτοῦ δίστηλον, μιᾶς ἑκάστης τῶν στηλῶν γραμμὰς ἀριθμούσης 41 (0,31 × 0,242). Ἔνδον τῆς πρώτης πινακίδος ὑπάρχει φύλλον ἐκ χάρτου, τὸ σημείωμα τοῦτο περιέχον· «Ἐπὶ τῆς πατριαρχείας τοῦ μακαριωτάτου Κυρίλλου τοῦ Β' ἐλήφθη καὶ ὁ παρὼν μεμβράϊνος κώδηξ μετ' ἄλλων βίβλων, ἐν ᾧ εἰσιν αἱ διαταγαὶ τῶν ἀποστόλων εἰς ὀκτὼ βιβλία, ἐκ τῆς ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάββα βιβλιοθήκης τῆς ἐν τῷ πύργῳ, διὰ τὴν βιβλιοθήκην τῆς μεγάλης πατριαρχικῆς σχολῆς (= τῆς ἐν τῷ μοναστηρίῳ τοῦ Σταυροῦ), ἧς καὶ τῇ σφραγῖδι ἐπεσφράγισται, πρὸς χρῆσιν μόνον τῶν ἐν αὐτῇ διδασκόντων καὶ διδασκομένων. ͵αωνη' αὐγούστου θ'». Ἐν δὲ τῷ κρασπέδῳ τοῦ πρώτου φύλλου τοῦ κώδικος ἕτερον σημείωμα τῆς ις' ἑκατ. «Βιβλ(ίον) Κλήμεντος Ἀγκύρας ἐξήγησις εἰς τὰς πράξεις τῶν ἀποστόλων» [!].



Ἐν τῷ φ. 65^α, εὐθὺς μετὰ τὸ τέλος τοῦ κειμένου: «Τοῦ παπ(ᾶ) Ἰωσήφ», ὃς ἔζη φαίνεται τῇ ις' ἑκατ. Κατόπιν· «† Ὡς θαυμαστὰ πάντα τὰ ὧδε γεγραμμένα. Κλήμεντος λόγοι, τὸ γλύκασμα τοῦ κόσμου | μᾶλλον δὲ πάντων τῶν σοφῶν ἀποστό(λων), | παρ' ὧν ὁ κόσμος ἀρδεύεται πλουσίως | καὶ τὸν χορηγὸν Χριστὸν ὑμνεῖ ἀξίως». Ἡ ὀπίσθιος τοῦ αὐτοῦ φύλλου σελὶς ἄγραφος· ἔχει μέντοι τὸ σημείωμα τοῦτο· «Τοῦ ἁγίου τάφου ὑπάρχει». Οὗτος μὲν οὖν ὁ κῶδιξ ἐμπεριλαμβάνει τὰς λεγομένας ἀποστολικὰς διαταγάς, εἰς ὀκτὼ βιβλία διῃρημένας, ὧν ἕκαστον διακρίνεται ταινιώδει κοσμήματι· ἐγράφη δὲ περὶ τὸ τέλος τῆς δεκάτης ἢ περὶ τὴν ἀρχὴν τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, καὶ διὰ γραμμάτων ἐρυθρῶν ἐν ταῖς κάτω τῶν σελίδων ᾤαις προσετέθησαν ὕστερον αἱ τῶν κεφαλαίων ἐπιγραφαί.—Φύλλ. 1 «[Ἀποστολ]ικὴ διδασκαλία. [περὶ] λαϊκῶν βιβλίον α'».—Φύλ. 4 «Περὶ ἐπισκόπων πρεσβυτέρων καὶ διακόνων βιβλίον β'».—Φύλλ. 17 «Περὶ χηρῶν βιβλίον γ'».—Φύλλ. 22 «Περὶ ὀρφανῶν βιβλίον δ'».—Φύλλ. 24^β «Περὶ μαρτύρων καὶ ἑορτῶν βιβλίον ε'».—Φύλλ. 33 «Περὶ σχισμάτων βιβλίον ς'».—Φύλλ. 43 «Περὶ πολιτείας καὶ εὐχαριστίας βιβλίον ζ'». — Φύλλ. 51^β-65^α «Βιβλίον η' τῶν ἁγίων ἀποστόλων», οὗ τὸ τέλος ἔχει ὧδε· «ἐπιχουρεῖτε οὖν αὐτοῖς τὰ πρὸς τὰς χρείας ἐντολὴν κυριακὴν πληροῦντες. Διαταγαὶ τῶν ἁγίων ἀποστόλων διὰ Κλήμεντος πρὸς ἔθν - - - σταλεῖ[σαι]». Σημειωτέον, ὅτι τὸν κώδικα τοῦτον ἐμελέτησεν ἐν αὐτοῖς τοῖς Ἱεροσολύμοις Albert ὁ Ehrhard (Centralblatt für Bibliothekswesen, τ. VIII, 1891, σ. 20-30. Histor. Jahrb. des Göresgesellschaft, τ. XIII, 1892, σ. 166-167).

4. Τεῦχος τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος, συνιστάμενον ἐκ φύλλων ἠριθμημένων 321, ὧν τὸ κείμενον κατὰ σελίδα πᾶσαν μονόστηλον καὶ ἐκ γραμμῶν 29 ($0,363 \times 0,255 = 0,222 \times 0,123$)· δέον ὅμως ἀριθμεῖσθαι τὰ φύλλα πάντα 324· τρία γὰρ αὐτῶν (126, 127 καὶ 181) δὶς ἠρίθμηνται· τὸ τεῦχος ὅμως ἔχει καί τινας ἐλλείψεις, ἀποκοπέντων, ὡς φαίνεται, διὰ κοπίδος τριῶν αὐτοῦ φύλλων (μετὰ τὸ νῦν 163-ον φύλλον) καὶ πάλιν ἑτέρων τινῶν,



ἅπερ αὐτοῦ τὸ τέλος ἐμπεριεῖχεν· ἦν δὲ πρότερον ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα. Περιέχεται μὲν οὖν ἐν αὐτῷ «Χρονικὸν Γεωργίου Παχυμέρι τοῦ πρωτεκδίκου καὶ δικαιοφύλακος», οὗ τὰ κεφάλαια τῶν πέντε πρώτων λόγων ἀνεγράφη μεταξὺ τοῦ 1-ου καὶ τοῦ 5-ου φύλλου· τούτου δὲ τοῦ τελευταίου φύλλου σελὶς ἡ ὀπίσθιος ἄγραφος ἀφέθη, ἵνα τὰ μὴ καταγεγραμμένα περιλάβῃ κεφάλαια τοῦ τετάρτου λόγου τοῦ χρονικοῦ· ἀνέγραψε γὰρ ὁ ἀντιγραφεὺς τὰ ἑπτακαίδεκα μόνα πρῶτα τούτου κεφάλαια. Τὸ δ' ἕκτον φύλλον ἐμπεριέχει πίνακα, οὗ ἡ ἐπιγραφή· «Περὶ τῶν ἐκκλησιαστικῶν ὀφφικίων»· μετὰ δὲ τοῦτο τὸ κείμενον ἄρχεται τὸ τοῦ χρονικοῦ, διῃρημένον εἰς βιβλία, ὧν τὸ πρῶτον ἐπιγράφεται ὧδε· «Ἱστοριῶν συγγραφικῶν πρώτη. Προοίμιον τοῦ συγγραφέως καὶ περὶ τῆς ἀληθείας τῶν λεγομένων», οὗ ἡ ἀρχή· «Γεώργιος Κωνσταντινουπολίτης μὲν τὸ ἀνέκαθεν», φ. 7^{α}. Οἵαν δὲ κριτικὴν ἀξίαν ἔχει τὸ τεῦχος τοῦτο διὰ τὸ κείμενον τοῦ χρονικοῦ, σημείωσις ἐκτενὴς ἐτράνωσε, γεγραμμένη μὲν ὑπ' ἐμοῦ, κατακεχωρισμένη δ' ἐν τῷ «Δελτίῳ τῆς ἱστορικῆς καὶ ἐθνολογικῆς ἑταιρίας τῆς Ἑλλάδος», τ. III, σ. 529—535.

5. Τεῦχος μεμβράνινον ἐκ τῆς λαύρας τοῦ ἁγίου Σάβα μετενηνεγμένον, ὅπερ ἀριθμεῖ φύλλα συνηριθμημένα 263· δέον ὅμως ἅπαντα ταῦτα λογίζεσθαι 268, διὰ τὸ τὸν ἀριθμήσαντα ταῦτα παραδραμεῖν φύλλα πέντε, ἅπερ ἐγὼ κατόπιν οὕτως ἠρίθμησα: 74^{α}, 87^{α}, 88^{α}, 94^{α}, 113^{α}. Τοῦτο μὲν οὖν τὸ τεῦχος, ὅπερ ἐγράφη, καθὰ φαίνεται, μεταξὺ τῆς δεκάτης καὶ τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ἐκ παλαιοῦ φθοράς τινας ὑπέστη, πολλῶν ἄκρων τῶν φύλλων αὐτοῦ βλαβέντων ὑφ' ὕδατος· ταύτας δ' ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα βιβλιοδέτης ἐπεδιώρθωσε, ἐπιθεὶς τοῖς ἄκροις αὐτοῖς τεμάχη μεμβράνινα βιβλίων ἑτέρων, ἅπερ αὐτὸς κατέστρεψεν· οἷον εἱλητὸν λειτουργίας τοῦ ἁγίου Βασιλείου, γεγραμμένον τῇ ιγ' ἑκατ., τρία σλαβικὰ βιβλία τῆς αὐτῆς ἐποχῆς, λατινικὸν κώδικα, μηναῖον τῆς ια' ἑκατ., εὐαγγέλιον τῆς ι' ἑκατ., ὅπερ ἦν γεγραμμένον γράμμασι κεφαλαιώδεσι μεγάλοις, καὶ πάλιν ἕτερον εὐαγγέλιον μικροῖς κεφαλαιώδεσιν ὡσαύτως γράμμασι γεγραμμένον. Περιέχει δὲ τὸ τεῦχος ταῦτα·



1. Βίος τοῦ ὁσίου Θεοδοσίου τοῦ κοινοβιάρχου ἀκέφαλος, ἀρχόμενος ἀπὸ τῶν λέξεων τούτων· «[Γαστρὸς δὲ τίς] οὕτω κρατῶν ἦν, ἢ πρὸς νόμους ἐγκρατείας ὑπείκουσαν ἔχων» κτλ., φ. 1. Κείμενον τοῦ Μεταφράστου. Migne τ. 114, σ. 481, § ιδ'.

2. Μαρτύριον τῶν ἁγίων Ἑρμύλου καὶ Στρατονίκου, οὗ ἡ ἀρχή· «Βασιλεύοντος Λικιννίου τοῦ δυσσεβοῦς», φ. 28. Migne τ. 114, σ. 553.

3. «Νείλου μοναχοῦ εἰς τὴν ἀναίρεσιν τῶν ἁγίων ἀββάδων, τῶν ἐν τῷ Σινᾶ ὄρει». Ἀρχ. «Ἁλώμενος ἐγὼ μετὰ τὴν ἔφοδον», φ. 33. Migne τ. 79, σ. 589.

4. Βίος καὶ πολιτεία τοῦ ἁγίου Ἰωάννου τοῦ διὰ Χριστὸν πτωχοῦ. Ἀρχ. «Τυραννικόν τι χρῆμα», φ. 57. Λατινιστὶ ἐν τοῖς Act. Sanct. μηνὸς ἰανουαρίου τ. I, σ. 1029 κέ. Ἕτερα ἀντίγραφα τοῦ ἑλληνικοῦ κειμένου, τύποις ἔτι ἀνεκδότου, ὅρα παρὰ τῷ Matthaei, Accurat. cod. graec. bibl. Mosquensium Sanct. Synodi notitia et recensio, σ. 87, 88, 100. Ἀ. Π. Κεραμέως, Μαυρογ. Βιβλιοθ. I, σ. 41, 43, 148. Fabrici-Harles, Bibl. Graeca X, σ. 262. Ἱεροσολ. Βιβλιοθ. I, σ. 37. II, σ. 224β.

5. Βίος καὶ πολιτεία τοῦ ὁσίου Παύλου τοῦ Θηβαίου. Ἀρχ. «Καὶ ζωγράφοις ἐκεῖνα τῶν ἀρχετύπων», φ. 66. Κείμενον τύποις ἀνέκδοτον. Ἱεροσολ. Βιβλιοθ. I, σ. 36. Matthaei, Accurata - - - notitia, σ. 86, 88, 100. Μαυρογορδ. Βιβλιοθ. I, σ. 40, 43.

6. Βίος καὶ πολιτεία καὶ ἄσκησις τοῦ ἁγίου Ἀντωνίου. Ἀρχ. «Ἀγαθὴν ἅμιλλαν ἐνεστήσασθε», φ. 74β. Migne τ. 26, σ. 835.

7. Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου, οὗ ἡ ἀρχή· «Καὶ παντὸς μὲν ἄλλου πράγματος», φ. 125β. Migne τ. 114, σ. 596.

8. Ὑπόμνημα εἰς τὸν ἅγιον ἀπόστολον Τιμόθεον, οὗ ἡ ἀρχή· «Τιμόθεον τὸν μέγαν», φ. 170β. Migne τ. 114, σ. 761.

9. Μαρτύριον τοῦ ἁγίου Ἀναστασίου τοῦ Πέρσου. Ἀρχ. «Τῆς μεγάλης πόλεως Ἱεροσολύμων», φ. 175. Migne αὐτόθι, σελ. 773.

10. Βίος καὶ μαρτύριον τοῦ ἁγίου Κλήμεντος ἐπισκόπου Ἀγκύ-



ρας. Ἀρχ. «Μετὰ διακοσιοστὸν καὶ πεντηκοστὸν ἔτος», φ. 189β. Migne αὐτ. σ. 816.

11. Βίος καὶ πολιτεία τῆς ὁσίας Ξένης. Ἀρχ. «Ὁ καινὸς καὶ ξένος τῆς θαυμασίας», φ. 217. Migne τ. 114, σ. 981.

12. Βίος καὶ πολιτεία τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου. Ἀρχ. «Συγκαλεῖ μὲν ἡμᾶς ὦ ἄνδρες», φ. 223β. Migne τ. 35, σ. 244.

13. Βίος τοῦ ὁσίου Ξενοφῶντος καὶ τῶν υἱῶν αὐτοῦ. Ἀρχ. «Ξενοφῶν ὁ θαυμάσιος», φ. 240. Migne τ. 114, σ. 1014.


14. Λόγος εἰς τὴν ἀνακομιδὴν τῶν λειψάνων Ἰωάννου τοῦ Χρυσοστόμου. Ἀρχ. «Ἀλλὰ πῶς ἄν τις αἰτίας», φ. 250β. Κείμενον τύποις ἀνέκδοτον. Fabrici, Bibl. Graec. X, σ. 211. E. Miller, Catalogue des MSS grecs de l' Escurial, σ. 268.

15. Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἐφραίμ. Ἀρχ. «Ἐφραὶμ ὁ θαυμάσιος», φ. 256β. Ἐκδόσεως Assemani τῶν συγγραμμάτων Ἐφραὶμ τ. I, σ. xx-xxix. Migne τ. 114, σ. 1253.

16. Βίος καὶ πολιτεία τῶν ἁγίων ἀναργύρων Κύρου καὶ Ἰωάννου. Ἀρχ. «Κύρος ὁ περιφανὴς τῶν μαρτύρων», φ. 261β. Κείμενον ἀτελές. Migne τ. 114, σ. 1232.

17. Δύο φύλλων μεμβρανίνων ἑτέρου κώδικος τῆς ιβ' ἑκατονταετηρίδος λείψανα, περιέχοντα μέρη λόγου τινὸς Ἰωάννου τοῦ Χρυσοστόμου.

6. Τεῦχος μεμβράνινον ἐκ τῶν τῆς λαύρας τοῦ ἁγίου Σάβα, οὗ τὸ πρῶτον φύλλον πρόσθετον, ἐμπεριέχον τινὰ σημειώματα· οἷον, ἐν μὲν τῇ προσθίῳ σελίδι περιέχεται δυσανάγνωστον σημείωμα παλαιότατον, γράμμασι γεγραμμένον ἀραβικοῖς, ἐν ᾧ διακρίνεται τὸ ὅτι τὸν κώδικα τοῦτον ἀφιέρωσε τῷ ἐν Ἀλεξανδρείᾳ μοναστηρίῳ τοῦ ἁγίου μικροῦ Μάρκου μοναχὸς Ἀρσένιος ὀνομαζόμενος, ὑπηρέτης τοῦ αὐτοῦ μοναστηρίου· ἐν δὲ τῇ ὀπισθίῳ σελίδι σημείωμα πάλιν ἀραβικὸν ὑπάρχει, οὗ τὸ ἔτος ἀτυχῶς δυσξύμβλητον [7093? = 1585?]· λέγει μέντοι τὸ σημείωμα τοῦτο, ὅτι τὸ βιβλίον ἀφιερώθη παρά τινος ἀββᾶ διδασκάλου, Ἀρσενίου καλουμένου, τῷ ἐν Ἄκρῃ μετοχίῳ τοῦ ἁγίου Ἰωάννου, ὅπερ ἐπονομάζεται Τίρε, καὶ ὅτι προσκαίρως ἐν τῷ μοναστηρίῳ παραφυ-



λάττεται Παναγίας τῆς ἐν Καφτίν, ἄχρις οὗ τὸ ῥηθὲν ἐν Ἄχρῃ μοναστήριον οἰκοδομηθῇ· τοῦτο δὲ τὸ σημείωμα καὶ μάρτυρες ταῖς ὑπογραφαῖς αὐτῶν ἐβεβαίωσαν, ὧν εἷς τὸ γένος Ἕλλην ὑπέγραψεν ὧδε· «† Ὁ εὐτελὴς ἐν μοναχοῖς ἐλάχιστος καὶ ταπεινὸς ἱερομόναχος Ἰωάννης μαρτυρῶν ὑπέγραψα». Ἐν τῇ αὐτῇ σελίδι περιέχονται καὶ δύο σημειώσεις ἑλληνικαί, μνημονεύουσαι τὰ ὀνόματα «κῦρ Κωχῆ Μηνᾶ» καὶ «Φωτεινῆς μοναχῆς». Ταῦτα μὲν οὖν ἐμπεριέχει τὸ πρόσθετον φύλλον· μετὰ δὲ τοῦτο τὸ κύριον ὑπάρχει βιβλίον, φύλλα περιλαμβάνον 277, ὧν τὸ κείμενόν ἐστι δίστηλον, γραμμὰς τῶν στηλῶν ἑκάστης ἀριθμούσης 28 ($0,345 \times 0,263 = 0,23 \times 0,165$)· ἐγράφη δὲ τοῦτο τῇ ἑνδεκάτῃ ἑκατονταετηρίδι· σημείωμα δὲ τῆς ιδ' ἑκατ. ταῦτα λέγει (φ. 277β)· «† αὐτὶ ἡ βίβλος ηγωραστη ἐξημῶν τοῦ ταπεινοῦ Γερμανοῦ ἱερο(μον)άχ(ου) εἰστὴν μωνὴν τοῦ ἁγίου Ἰω(άννου) τοῦ Προδρόμου εἰς τὸν ἅγιον Ἰορδάνην». Ἐπιγραφή· «Μηνὸς δεκεμβρίου τὸ β'. Πίναξ ἀκριβὴς τοῦ παρόντος βιβλίου», φ. 1.

1. Ἀκέφαλον ὑπόμνημα εἰς τὸν προφήτην Δανιὴλ καὶ εἰς τοὺς τρεῖς ἐν τῇ καμίνῳ παῖδας, οὗ ἡ ἀρχὴ κατὰ τὸν πίνακα· «Ἄρτι Ναβουχοδονόσορ» [Migne τ. 115, σ. 372]· νῦν δὲ τὸ κείμενον ἄρχεται τῶν λέξεων τούτων· « - - - προειρημένα· οἱ δὲ ὡς καὶ τῶν ψυχῶν αὐτοῖς διὰ τοῦτο καθαρῶν καὶ πρὸς τὴν τῶν μαθημάτων ἀνάληψιν ἐπιτηδείων» κτλ., φ. 2.

2. «Τῇ Κυριακῇ τῶν Προπατόρων». Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὸ μὴ πλησιάζειν θεάτροις καὶ εἰς τὸν Ἀβραάμ, οὗ ἡ ἀρχή· «Πολλοὺς οἶμαι τῶν πρώην», φ. 24. Migne τ. 56, σ. 541.

3. Μαρτύριον τοῦ ἁγίου Βονιφατίου, οὗ ἡ μνήμη τῇ ιη' τοῦ δεκεμβρίου μηνός. Ἀρχ. «Καὶ τὰ τῶν ἄλλων μὲν τοῦ Χριστοῦ», φ. 47. Acta Sanct. μαΐου τ. III, σ. 19*-22*. Migne τ. 115, σ. 241.

4. Μαρτύριον τῶν ἁγίων Σεβαστιανοῦ Νικοστράτου Κλαυδίου Τραγκυλίνου καὶ τῆς συνοδίας αὐτῶν. Ἀρχ. «Πολλῶν κατὰ διαφόρους καιροὺς» κτλ., φ. 58β. Migne τ. 116, σ. 793.

5. Μαρτύριον τοῦ ἁγίου Ἰγνατίου τοῦ θεοφόρου, οὗ ἡ ἀρχή·



«Ἄρτι Τραϊανοῦ τὰ τῆς Ῥωμαίων», φ. 77. Migne τ. 114, σελ. 1269.

6. «Πρὸ πέντε ἡμερῶν τῆς Χριστοῦ γεννήσεως». Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὸν μακάριον Φιλογόνιον, οὗ ἡ ἀρχή· «Ἐγὼ μὲν καὶ τήμερον παρεσκευαζόμην», φ. 89. Migne τ. 48, σ. 747.

7. Μαρτύριον τῆς ἁγίας Ἰουλιανῆς, οὗ ἡ ἀρχή· «Καὶ ἡ καλλίστη τῶν πόλεων», φ. 101. Migne τ. 114, σ. 1437.

8. Μαρτύριον τῆς ἁγίας Ἀναστασίας τῆς Ῥωμαίας, οὗ ἡ ἀρχή· «Ἀναστασία γυναικῶν ἡ καλλίστη», φ. 110β. Migne τ. 116, σελ. 573.

9. Μαρτύριον τῶν ἐν Κρήτῃ δέκα μαρτύρων, οὗ ἡ ἀρχή· «Ἄλλος μὲν ἄλλο τι», φ. 135. Migne τ. 116, σ. 565.

10. Μαρτύριον τῆς ἁγίας Εὐγενίας, οὗ ἡ ἀρχή· «Κομμόδου μετὰ Μᾶρκον», φ. 139β. Migne τ. 116, σ. 609.

11. Βίος καὶ πολιτεία τοῦ ὁσίου Θεοδώρου τοῦ Γραπτοῦ καὶ Θεοφάνους τοῦ ἀδελφοῦ αὐτοῦ. Ἀρχ. «Τῶν ὑπὲρ Χριστοῦ τὴν ἄθλησιν ἑλομένων», φ. 168. Migne τ. 116, σ. 653.

12. Ἰωάννου τοῦ Χρυσοστόμου ἐγκώμιον εἰς τὸν ἅγιον Στέφανον τὸν πρωτομάρτυρα, οὗ ἡ ἀρχή· «Πάντες μὲν οἱ τῶν μαρτύρων ἀγῶνες», φ. 185. Migne τ. 63, σ. 931.

13. «Μαρτύριον τῶν ἁγίων μαρτύρων Ἴνδης καὶ Δόμνας καὶ τοῦ πλήθους τῶν δισμυρίων, τῶν ἐν Νικομηδείᾳ μαρτυρησάντων». Ἀρχ. «Ἄρτι Μαξιμιανοῦ», φ. 188β. Migne τ. 116, σ. 1037.

14. Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν ἀρχιμανδρίτου Μαρκέλλου, μονῆς τῶν Ἀκοιμήτων. Ἀρχ. «Ἔννοιά μοι πολλάκις γέγονε», φ. 220β. Migne τ. 116, σ. 705.

15. Βίος καὶ πολιτεία τῆς ὁσίας Μελάνης τῆς Ῥωμαίας. Ἀρχ. «Ἦν ἄρα καὶ τοῦτο τῆς μεγίστης», φ. 249β. Migne τ. 116, σ. 753.

7. Τεῦχος μεμβράνινον τῆς δυοκαιδεκάτης ἑκατονταετηρίδος, ἀκέφαλον, ἀρχόμενον ἀπὸ τοῦ δευτέρου φύλλου τοῦ δευτέρου τετραδίου· τελευταῖον δ' αὐτοῦ τετράδιον τὸ μ', οὗ τὸ ἔσχατον φύλλον ἄγραφον. Φύλλα τινὰ μέντοι παλαιόθεν ἐκπεσόντα ἀνεπληρώθη τῇ



τρισκαιδεκάτη ἑκατονταετηρίδι, οἷον τὰ ἓξ πρῶτα, τὸ 79-ον κα τὸ 86-ον, ἅπερ ὡσαύτως ἐστὶ μεμβράνινα· τούτων δὲ τὸ πρώτιστον ἐν τῷ κρασπέδῳ περιλαμβάνει τὸ σημείωμα τοῦτο, γεγραμμένον διὰ τῆς χειρὸς Ἰωαννικίου τοῦ Σαβαΐτου· «Ἡ ἀρχὴ λύπη [= λείπει]· καθὼς τὸ ηὗρα, ἔτζη τὸ ἐστάχωσα, καὶ ἂς ἔχω συγγνώμην». Καὶ πάλιν ἕτερον· «τοῦτο ἔχει τὸ βιβλίῳ ἀπὸ τὸν νοέμβριον μήνα, ἕως ὅλον τὸν μήναν»· ἦν δὲ πρότερον ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα. Τὸ κείμενον ἐν ἑκάστῃ σελίδι δίστηλον ἐκ γραμμῶν 29 ($0,345 \times 0,26 = 0,225 \times 0,165$).

1. Βίος ἀκέφαλος Γρηγορίου τοῦ Θαυματουργοῦ, τὴν ἀρχὴν αὐτοῦ νῦν ἔχων ἀπὸ τῶν λέξεων τούτων· « - - - τῆς κτίσεως γίνεσθαι. ἡ μὲν οὖν ὑπόθεσις τῶν λόγων τοιαύτη», φ. 1.

2. Μαρτύριον τοῦ ἁγίου Πλάτωνος, οὗ ἡ ἀρχή· «Οὐ ξένα Γαλατῶν τὰ παρόντα», φ. 35. Migne τ. 115, σ. 404.

3. Γεωργίου Νικομηδείας «λόγος εἰς τὴν εἴσοδον τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου, ὅτε προσηνέχθη ἐν τῷ ναῷ». Ἀρχ. «Καλὰς ἡμῖν ὑποθέσεων», φ. 43β. Migne τ. 100, σ. 1420.

4. Βίος καὶ πολιτεία τοῦ ἁγίου Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου. Ἀρχ. «Καὶ τί τῶν καλῶν ἔσται», φ. 54β. Migne τ. 116, σελ. 950.

5. Βίος καὶ πολιτεία τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου Ἀκραγαντίνων. Ἀρχ. «Κάλλιστόν τι χρῆμα ἡ ἀρετή», φ. 63. Migne τ. 116, σ. 189.

6. Μαρτύριον τῆς ἁγίας Αἰκατερίνης, οὗ ἡ ἀρχή· «Βασιλεύοντος τοῦ ἀσεβεστάτου Μαξεντίου», φ. 110β. Migne τ. 116, σελ. 276.

7. «Κλήμεντος ἐπισκόπου Ῥώμης Ἰακώβῳ ἐπισκόπῳ Ἱεροσολύμων, περὶ τῶν πράξεων καὶ περιόδων τοῦ ἁγίου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου· αἷς καὶ ὁ αὐτοῦ συμπεριείληπται βίος. Κλήμεντος τῶν Πέτρου ἐπιδημιῶν κηρυγμάτων ἐπιτομή». Ἀρχ. «Κλήμης Ἰακώβῳ τῷ κυρίῳ», φ. 126β [Migne τ. 2, σ. 469]. Λείπει τὸ κ' τετράδιον, ὅπερ ἦν μετὰ τὸ νῦν 150-ὸν φύλλον.

8. Μαρτύριον τοῦ ἱερομάρτυρος Κλήμεντος, οὗ ἡ ἀρχή· «Αὕτη μὲν οὖν ἡ πλήρης», φ. 179^{β}. Migne τ. 2, σ. 617.

9. Μαρτύριον τοῦ ἁγίου Πέτρου, ἐπισκόπου Ἀλεξανδρείας. Ἀρχ. «Εἶχε μὲν ἡ ἐπιφανὴς Νικομήδεια», φ. 193^{β}. Fr. Combefis, Illustrium Christi martyrum lecti triumphi, vetustis Graecarum monimentis consignati. Parisiis 1660, σ. 189.

10. Μαρτύριον τοῦ ἁγίου Μερκουρίου, οὗ ἡ ἀρχή· «Δέκιος ἡνίκα καὶ Βαλεριανός», φ. 205. Ἱεροσολ. Βιβλιοθ. II, σ. 224.

11. Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἀλυπίου τοῦ κιονίτου. Ἀρχ. «Καλοὶ μὲν καὶ οἱ τῶν μαρτύρων ἆθλοι», φ. 264. Ἱεροσολυμ. Βιβλιοθ. II, σ. 224.


12. Μαρτύριον τοῦ ἁγίου Ἰακώβου τοῦ Πέρσου. Ἀρχ. «Ἀρκαδίου τὰ Ῥωμαίων διέποντος», φ. 230^{β}. Ἱεροσολ. Βιβλιοθ. II, σ. 50, 224.

13. Βίος καὶ πολιτεία τοῦ ὁσίου Στεφάνου τοῦ νέου. Ἀρχ. «Θεῖόν τι χρῆμα», φ. 241. Ἱεροσ. Βιβλιοθ. II, σ. 50, 224.

14. Ὑπόμνημα εἰς τὸν ἀπόστολον Ἀνδρέαν, οὗ ἡ ἀρχή· «Ἄρτι τοῦ παιδὸς Ζαχαρίου», φ. 291^{β}. C. Tischendorf, Acta apostolorum apocrypha, σ. 132.

8. Τεῦχος μεμβράνινον ἐκ τῶν τῆς λαύρας τοῦ ἁγίου Σάβα, γεγραμμένον τῇ ἑνδεκάτῃ ἑκατονταετηρίδι φιλοκάλως· ὅπερ ἐμπεριέχει καὶ κοσμήματα τέσσαρα καὶ δέκα, προσόμοια τῷ γράμματι Π, κεχρωματισμένα τε καὶ κεχρυσωμένα, καὶ τῶν λόγων ἐπιγραφὰς ὁλοχρύσους· ἔστι δὲ τὸ κείμενον κατὰ σελίδα πᾶσαν δίστηλον ἐξ 28 γραμμῶν $(0{,}34 \times 0{,}255 = 0{,}233 \times 0{,}158)$· φύλλα δὲ συναριθμεῖ τὸ τεῦχος 281, ὧν ἔνια μεταγενέστερα (1, 8, 24, 278 καὶ 279), προστεθέντα περὶ τὴν ιδʹ ἑκατ., πρὸς ἀναπλήρωσιν ἰσαρίθμων, ὡς φαίνεται, φύλλων προαπολεσθέντων [1]· ὕστερον δὲ φύλλα τρία προέταξεν ὁ βιβλιοδέτης, ὧν τὸ μὲν τρίτον ἐμπεριέχει τὸν πίνακα τῶν ἐν τῷ τεύχει λόγων, γεγραμμένον τῇ ιδʹ ἑκατ., τὰ δὲ πρὸ τούτου δύο ἑτέρῳ τινὶ προσήκει κώδικι τῆς

[1] Ἔγραψε δὲ τὰ προστεθειμένα Δανιὴλ ἱεροδιάκονος· ὅρα φ. 279β.



ια' ἑκατ., λόγον ἀτελῆ περιλαμβάνοντα Γρηγορίου τοῦ Θεολόγου, τὸν εἰς τὸ πάσχα καὶ τὴν βραδυτῆτα, ὃν ὅμως ἐντελῆ τὸ κύριον ἔχει τεῦχος (φ. 1 — 3)· τοῦτο γὰρ αὐτὸ λόγους ἐγκλείει Γρηγορίου τοῦ Θεολόγου δέκα καὶ ἕξ, ὧν ἔσχατος ὁ περὶ φιλοπτωχίας. Σημειωτέον, ὅτι λόγος ἕβδομος ἀναγράφεται ὁ πρὸς τὸν μέγαν Βασίλειον ἐκφωνηθεὶς ἐπιτάφιος, καὶ ὅτι τούτου φύλλα δύο, ἅπερ ἦν μετὰ τὸ νῦν ἠριθμημένον 107-ον φύλλον, ἔχει τῆς Πετρουπόλεως ἡ μεγάλη βιβλιοθήκη· δέδωκε δὲ ταῦτα ταύτῃ Πορφύριος ὁ Οὐσπένσκης (ἀριθ. 333. Отчетъ Импер. Публ. Библ. за 1883 г., σ. 131.

9. Εὐαγγέλιον ἐκ χάρτου, γραφὲν ἔτει 1535-ῳ καὶ φύλλα συναριθμοῦν 296· τῇ ἀληθείᾳ μέντοι φύλλα περιλαμβάνει 298· ὁ ταῦτα γὰρ ἀριθμήσας τὸ μὲν 291-ον ἠρίθμησε δίς, τὸν δὲ 42-ον ἀριθμὸν παρέδραμε, φύλλα δὲ δύο παντελῶς ἀφῆκεν ἀναρίθμητα (τὸ νῦν 31^{β} καὶ τὸ 165^{α}). Τοῦτο μὲν οὖν τὸ εὐαγγέλιον ἀριθμεῖ τετράδια λζ' καὶ δύο φύλλα περιπλέον· ἔστι δὲ μήκους μὲν 0,35, πλάτους δὲ 0,238· τὸ δὲ κείμενον αὐτοῦ χῶρον ἐν μιᾷ ἑκάστῃ τῶν σελίδων ἔχει ὡς $0{,}235 \times 0{,}155$· περιέχει δὲ τὸ εὐαγγέλιον καὶ μεγάλα κεφαλαιώδη κόκκινα γράμματα φανταστικῶς περικεκοσμημένα, τὰς ἀρχὰς τῶν ἀναγνωσμάτων ἐπικοσμοῦντα, καί τινα ταινιοειδῆ κοσμήματα, καὶ πάλιν ἐν αὐτῇ τῇ ἀρχῇ τοῦ τεύχους ἕτερον τριχρώματον κόσμημα, παρεμφερὲς πρὸς τὸ Π γράμμα· τοῦ δὲ καλλιγράφου σφαλερὸν ἐπίγραμμα ταῦτα λέγει (φ. 295-296)·

Τίμιοι πάντες ἀδελφοὶ καὶ πατέρες
εὔξασθαι ἅμα καὶ σύγγνωταί μοι φίλ(οι)
ἥτι ἐσφάλην ἐν γνώσει καὶ ἀγνοία
εἴς τε γραμμάτων τὴν θέσιν καὶ τὴν λέξιν,
καὶ προσοδιῶν ἅμα καὶ ἀντιστίχων·
ἰδιοτεύω γὰρ λόγω καὶ τῇ γνώσει,
καὶ ὡς νομίζω οὔτε μιᾶ ἡμέρα
ἢ ἡμίωρον ἢ στιγμῇ τῇ τελεία
ἔμεινεν ἔνδων σύννους ὁ λογισμός μου·
ἀλλὰ μὴν τοῦτο μεθ' ὁμιλίας πάσης
μοναχῶν ἅμα καὶ κόσμου δηλονότι



καὶ παντόμεμπτον εὖ οἶδ' ὅτι τυγχάνει·
ὅμως σύγγνωτε, πατέρες οἱ ἐν τῷ κλήρῳ,
καὶ συγχωρεῖτε οἱ νῦν κατηλεγμένοι·
μᾶλλον δέησιν ὑπὲρ ἐμοῦ ποιεῖσθαι,
πρεσβείαις νυνὶ τῆς ἀχράντου παρθένου
εὑρεῖν αὐτὴν ἐν τῇ μελλούσῃ κρίσει
βοηθὸν μέγα(ν) προστάτην τε καὶ ῥύστην·
σὺν αὐτῷ ἄμφω Γερασίμῳ τὰς πρεσβείας,
Γεράσιμον λέγω ἡμέτερον πατέρα,
τὸν ἐκλάμψαντος δίκην πυρσοῦ φωστῆρος,
οὗ τῶν εὐχῶν δέομαι ἐγὼ ὁ τάλας,
ὅτι ἄσωτος τυγχάνω καὶ παντλήμων·
διὸ καὶ συχνῶς μνήσκεσθαί μου, πατέρες,
οὐ δι' ἀρετήν, οὔτε δι' ἡσυχίαν,
ἀλλὰ δωρεάν, ὡς ὁ Χριστὸς κελεύει,
καὶ δι' ἀγάπην ἀρχαίαν καὶ φιλίαν,
ἵνα δώῃ μοι συγγνώμην ὁ δεσπότης
καὶ συγχώρησιν τῶν πολλῶν μου σφαλμάτων
ἐν τῇ μελλούσῃ αὐτοῦ δικαίᾳ κρίσει.

Καὶ μετὰ τοῦτο τὸ σφαλερὸν ἐπίγραμμα κεῖται σημείωμα, ὅπερ οὕτως αὐτολεξεὶ ἔχει· «Μνήσθητι, Κύριε, τῆς δούλης σου Ξένης (μον)αχ(ῆς) τῆς Κυπριότησσας, τῆς πόθῳ κτισαμένης τὴν ἁγίαν βίβλον ταύτην· ἐγράφει δὲ χειρὶ Ἀμβροσίῳ ἱερο(μον)άχ(ου) τάχα καὶ ἀνάξιος ποιμὴν τῆς μονῆς τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου τῶν Ἀνδρείων ἐν πόλει Λευκουσίᾳ· καὶ εἴτις βουληθῇ συλῆσαι τὸ ἅγιον εὐαγγέλιον τοῦτον ἀποῦ τὴν ἁγίαν Ἰερουσαλήμ, ναἔχει ἀντίδικον τὸν δεσπότην ἐν ἡμέρα κρίσεως· ἐχρονίας τῆς ἐνσάρκου οἰκονομίας ͵αφλε Χ(ριστο)ῦ. Μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου. Τέλος».

10. «Ἧδε βίβλος κυρίου Θεοφίλου Κορυδαλέως, εἰς φιλοσοφίαν προδιοίκησις, μεταγραφεῖσα παρὰ ἐλαχίστου κὲ εὐτελοῦς Γρηγορίου ἱεροδιακόνου». Ἀρχ. «Τῶν ὅσα θηράσιμα πέφυκε» κτλ. Τεῦχος ἐκ φύλλων χάρτου 252, γραφὲν περὶ τὴν ἀρχὴν τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος· ἔστι δὲ μήκους μὲν 0,335, πλάτους δὲ 0,22.

11. Κῶδιξ ἐκ φύλλων χάρτου ἠριθμημένων κδ'+970, γραφεὶς ἐπιμελῶς περὶ τὸ μέσον τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος,



οὗ τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον, ἐκ γραμμῶν 37 ($0,33 \times 0,225 = 0,27 \times 0,165$)· περιέχει δὲ ὁ κῶδιξ οὗτος τὴν ἱεροσολυμιτικὴν ἱστορίαν τοῦ πατριάρχου Δοσιθέου, κατὰ τὴν πρωτότυπον τοῦ συγγραφέως γλῶσσαν, καὶ πρότερον ἦν ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα.

1. Χρυσάνθου πατριάρχου τῶν Ἱεροσολύμων πρόλογος, οὗ ἡ ἀρχή· «Οἱ δόκιμοι τῶν ἰατρῶν», φ. α'.

2. Τοῦ αὐτοῦ γράμμα πρὸς Νεόφυτον τὸν Νοταρᾶν, ἀρχιμανδρίτην Ἱεροσολυμίτην, οὗ ἡ ἀρχή· «Πολλὴ καὶ μεγάλη ὠφέλεια», φ. ε'-θ'. Μετὰ τὴν ἐπιστολὴν σημειώματα δύο καὶ τρία φύλλα (ι'-ιβ') παντάπασιν ἄγραφα· τὰ δὲ σημειώματα ταῦτα λέγει· «Ὁ ταπεινὸς Ἰωὴλ ἀρχιμανδρίτης ἀνέγνων τὰ ἐν τῇ βίβλῳ ταύτῃ, καὶ ἐχάρην πνευματικῶς. ͵αωμβ', ὀκτωβρίου ιθ'».—«Ὁ ταπεινὸς ἱεροδιάκονος Θεόκλητος ἦλθον καὶ ἀνέγνων τὰ ἐν τῇ βίβλῳ ταύτῃ, καὶ ἐχάρην πνευματικῶς. ͵αωμζ' φευρουαρίου κβ'».

3. «Πίναξ καθολικώτερος τῆς βίβλου ταύτης», φ. ιγ'-κδ'.

4. «Δοσιθέου πατριάρχου Ἱεροσολύμων περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων» βιβλία τρισκαίδεκα, φ. 1-962. Μέρη τινὰ τοῦ χρονικοῦ τούτου, τέως ἀτύπωτα, περιέλαβεν ὁ πρῶτος τόμος τῶν Ἀναλέκτων Ἱεροσολυμιτικῆς Σταχυολογίας, σ. 231-307.

5. Γεωργίου Κωνσταντινίδου λόγος ἀνεπίγραφος (φ. $963^{β}$-$965^{β}$), ὃν αὐτὸς ὁ Κωνσταντινίδης ἔγραψεν ἐνταῦθα τῇ ε' τοῦ μαΐου μηνὸς ἔτους ͵αωμε'· ἐξεφώνησε δὲ τοῦτον ἐν αὐτῇ τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα, ἵνα τὸν ἐκεῖ τότε λειτουργήσαντα πατριάρχην Κύριλλον τὸν δεύτερον ἐγκωμιάσῃ. Τὸ 966-ον φύλλον ἄγραφον.

6. Ἰωάσαφ ἱερομονάχου καὶ ἡγουμένου τῆς λαύρας τοῦ ἁγίου Σάβα προσφώνησις εἰς τοὺς προσκυνητὰς αὐτῆς (φ. 967-970), προσελθόντας τῇ 2-ᾳ τοῦ δεκεμβρίου μηνὸς ἔτους 1836-ου· ἱστορεῖ δὲ ὁ λόγος τὰς ἐν τῇ λαύρᾳ γενομένας διακοσμήσεις ὑπὸ Μισαὴλ μητροπολίτου Πέτρας καὶ Ἀνθίμου τοῦ ἀρχιγραμματέως.

7. Ἀνθίμου Χίου, ἱερομονάχου τοῦ Ἁγίου Τάφου, ἑξάστιχον ἐπίγραμμα εἰς Μισαὴλ μητροπολίτην Πέτρας καὶ Ἄνθιμον τὸν ἀρχιγραμματέα τοῦ Ἁγίου Τάφου, ποιηθὲν τῇ 10-ῃ δεκεμβρίου



μηνὸς ἔτους 1836-ου, φ. 970β. Αὐτόθι τοῦ αὐτοῦ ἕτερον ἐγκωμιαστικὸν ἐπίγραμμα εἰς τὸν αὐτὸν Ἄνθιμον, ἀριθμοῦν στίχους δέκα καὶ τέσσαρας.

12. Τεῦχος ἐκ χάρτου, μήκους 0,34, πλάτους 0,228, ὅπερ ἀριθμεῖ φύλλα δ' καὶ σελίδας 147. Τὸ α' φύλλον ἔχει τὴν ἐπιγραφὴν ταύτην· «Χρυσάνθου τοῦ μακαριωτάτου πατριάρχου Ἱεροσολύμων ἱστορία καὶ περιγραφὴ τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ, ἐν ᾗ καὶ περὶ τῆς ἀρχαίας οἰκοδομῆς τῆς ἐν αὐτῇ μεγάλης ἐκκλησίας, ἤτοι τοῦ σεβασμίου καὶ θείου ναοῦ τῆς τοῦ Κυρίου ἡμῶν Ἀναστάσεως, κοινῶς ἤδη λεγομένης τοῦ Ἁγίου Τάφου, καὶ τῶν μετὰ ταῦτα ἀνακαινισμῶν τοῦ αὐτοῦ κατὰ διαφόρους καιρούς». Τὸ β' καὶ τὸ γ' φύλλον ἔχει τὸν εἰς τοῦτο τὸ βιβλίον πρόλογον Κωνσταντίνου τοῦ Γορδάτου, γεγραμμένον ἐν Χίῳ, μηνὶ ἰανουαρίῳ ἔτους 1726-ου, καὶ τρία τοῦ αὐτοῦ ἐπιγράμματα, τὸ πρῶτον εἰς τὴν ὑπόθεσιν τῆς βίβλου, τὸ δεύτερον εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλὴμ, τὸ τρίτον ὡς ἀπὸ τῆς βίβλου. Μεθ' ὃ τὸ κείμενον ὑπάρχει τῆς ἱστορίας τοῦ Χρυσάνθου· τοῦτο δέ, καθὰ φαίνεται, δεύτερόν ἐστι πρωτότυπον τοῦ συγγραφέως, ἐπειδὴ καὶ προσθήκας καὶ ἀφαιρέσεις καὶ ἀποσβέσεις ἐμπεριέχει. Πρβλ. Ἱεροσολ. Βιβλιοθ. Ι, σ. 173-175. Περὶ τῶν ἐκδόσεων ὅρα καὶ R. Röhricht, Bibliotheca geographica Palestinae. Berlin 1890, σ. 305.

13. Ἐφραὶμ τοῦ Σύρου πονημάτια. Τεῦχος μεμβράνινον ἀκέφαλον καὶ τέλους ἄνευ, μετενηνεγμένον ἐκ τῆς λαύρας τοῦ ἁγίου Σάβα· ἐγράφη δὲ τῇ ἑνδεκάτῃ ἑκατονταετηρίδι. Τὸ κείμενον δίστηλον ἐκ γραμμῶν 36 $(0{,}33 \times 0{,}255 = 0{,}25 \times 0{,}175)$. Φύλλα συνηριθμημένα 278· τούτων ὅμως ἡ ἀρίθμησις ἐσφαλμένη· καὶ γὰρ τὸ τεῦχος ὄντως ἀριθμεῖ φύλλα 282, καθὰ δείκνυσι τὸ παρατήρημα τοῦτο· ὅτι δηλαδὴ 97-ος ἀριθμὸς φύλλου παντάπασιν οὐχ ὑπάρχει, τοῦ τὴν ἀρίθμησιν ἐκπονήσαντος αὐτὸν ὑπερπηδήσαντος· πέντε δὲ φύλλα παντελῶς ἦν ἀναρίθμητα, ἅπερ ἐγὼ τοῖς ἀριθμοῖς ἐδήλωσα τοῖσδε: 35α, 63α, 212α, 231α, 267. Σημειωτέον ἔτι, ὅτι τὸ 211-ον φύλλον ἐστὶν ἐκ χάρτου βαμβακεροῦ, προστεθὲν ἐν τῷ κώδικι πρὸς ἀναπλήρωσιν ἐκπεσόντος κειμένου τῇ ιδ' ἑκατ.

1. Ἐφραὶμ τοῦ Σύρου λόγος ἀκέφαλος: «- - - τύχωμεν τῆς μακαρίας ἐκείνης φωνῆς», φ. 1.

2. «Τοῦ αὐτοῦ κατὰ μίμησιν τῶν παροιμιῶν, ἐν ᾧ καὶ περὶ θείου φόβου». Ἀρχ. «Ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ Θεοῦ», φ. 18β. Assem. I, σ. 70.

3. «Τοῦ αὐτοῦ παραίνεσις πρὸς διόρθωσιν τῶν ἐμπαθῶς διαγόντων καὶ τιμὰς ἀπαιτούντων». Ἀρχ. «Ἀγωνιῶ ἀδελφοί μου», φ. 46. Assem. I, σ. 111.

4. «Τοῦ αὐτοῦ ἔλεγχος εἰς ἑαυτὸν καὶ εἰς ἐξομολόγησιν». Ἀρχ. «Ἐν πολλοῖς ὑμῖν ἀδελφοί», φ. 51. Ass. I, σ. 119.

5. «Τοῦ αὐτοῦ περὶ παθῶν ἀνάμνησις μετ' ἐξομολογήσεως καὶ εὐχαριστίας». Ἀρχ. «Θέλω εἰπεῖν ἐνώπιον», φ. 67. Ass. I, σ. 144.

6. «Τοῦ αὐτοῦ προτρεπτικὸς εἰς μετάνοιαν». Ἀρχ. «Ὁ κατελθὼν Κύριος ἐκ τοῦ κόλπου», φ. 69β. Assem. I, σ. 148.

7. «Τοῦ αὐτοῦ εὐχαριστία πρὸς Κύριον μετὰ κατανύξεως». Ἀρχ. «Δοτὴρ πάντων τῶν ἀγαθῶν», φ. 73β. Ass. I, σ. 154.

8. «Τοῦ αὐτοῦ λόγος παραινετικός», οὗ ἡ ἀρχή· «Πρόσεχε σεαυτῷ, ὦ νεότης», φ. 76β. Ass. I, σ. 166.

9. «Τοῦ αὐτοῦ λόγος πολλὴν ἔχων κατάνυξιν», οὗ ἡ ἀρχή· «Ἐν μιᾷ τῶν ἡμερῶν», φ. 77β. Ass. I, σ. 158.

10. Τοῦ αὐτοῦ λόγος εἰς πατέρας τελειωθέντας», οὗ ἡ ἀρχή· «Τὴν καρδίαν μου ἀλγῶ», φ. 79β. Ass. I, σ. 172.

11. «Τοῦ αὐτοῦ ἕτερος λόγος εἰς πατέρας τελειωθέντας», οὗ ἡ ἀρχή· «Ἐν ταύτῃ τῇ ἡμέρᾳ τῇ πρώτῃ», φ. 82. Ass. I, σ. 175.

12. «Τοῦ αὐτοῦ περὶ ψυχῆς, ὅταν πειράζηται ὑπὸ τοῦ ἐχθροῦ, πῶς ὀφείλει τῷ Θεῷ μετὰ δακρύων προσεύχεσθαι». Ἀρχ. «Ψυχὴ τεθλιμμένη», φ. 86β. Ass. I, σ. 193.

13. «Τοῦ αὐτοῦ περὶ κρίσεως καὶ κατανύξεως ψυχῆς». Ἀρχ. «Δεῦτε πάντες ἀδελφοί», φ. 90. Ass. II, σ. 50.

14. «Τοῦ αὐτοῦ περὶ ὑπομονῆς καὶ συντελείας καὶ παρουσίας τοῦ Χριστοῦ, ἀδιαδόχου τε τῶν δικαίων βασιλείας καὶ ἀτελευτήτου τῶν ἁμαρτωλῶν κολάσεως, ὑπόθεσίς τε ἐξομολογήσεως καὶ προ-

*



τροπὴ μελέτης τῶν θείων Γραφῶν, τίνες τε αἱ μεθοδεῖαι τοῦ ἐχθροῦ καὶ τί τὸ τῆς ἡσυχίας ὠφέλιμον». Ἀρχ. «Λαμπρὸς ὁ βίος τῶν δικαίων», φ. 95. Ass. III, σ. 93.

15. «Τοῦ αὐτοῦ παραίνεσις πρὸς Εὐλόγιον», ἧς ἡ ἀρχή· «Εἰς τὸν καρπὸν τῆς ὑπακοῆς», φ. 103β. Ass. II, σ. 170.

16. «Τοῦ αὐτοῦ, ὅτι οὐ δεῖ μετεωρίζεσθαι καὶ γελᾶν, ἀλλὰ μᾶλλον πενθεῖν». Ἀρχ. «Ἀρχὴ καταστροφῆς ψυχῆς», φ. 106β. Ass. I, σ. 254.

17. «Τοῦ αὐτοῦ εἰς τὴν δευτέραν παρουσίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Προσέλθετε καὶ δεῦτε», φ. 109β. Ass. I, σ. 167.

18. «Τοῦ αὐτοῦ μακαρισμοί», ὧν ἡ ἀρχή· «Μακάριος ὃς μισήσας», φ. 112β. Ass. I, σ. 292.

19. «Τοῦ αὐτοῦ περὶ παρθενίας». Ἀρχ. «Περὶ παρθενίας καὶ ἁγιασμοῦ ψυχῆς», φ. 116. Ass. III, σ. 74.

20. «Τοῦ αὐτοῦ ἐξομολόγησις μετὰ προσευχῆς», ἧς ἡ ἀρχή· «Ἴασαί με, Κύριε, καὶ ἰαθήσομαι», φ. 120β. Ass. I, σ. 199.

21. «Τοῦ αὐτοῦ πρὸς ἀνυποτάκτους καὶ περὶ καταστάσεως καὶ φόβου Θεοῦ καὶ τοῦ κρίματος τοῦ μέλλοντος» Ἀρχ. «Ἀγαπητέ, ἐὰν ἐλθὼν ἀδελφός», φ. 122. Ass. II, σ. 138.

22. «Παραίνεσις περὶ εὐλαβείας», ἧς ἡ ἀρχή· «Ἀδελφέ, πρόσεχε σφοδρῶς», φ. 126β. Ass. II, σ. 145.


23. «Τοῦ αὐτοῦ περὶ τῶν ἐκπιπτόντων ἐξ οἰκείας ἀμελείας καὶ προφασιζομένων προφάσεις ἐν ἁμαρτίαις». Ἀρχ. «Ἀδελφέ, τὸν μονήρη βίον», φ. 128. Ass. II, σ. 148.

24. «Τοῦ αὐτοῦ πρὸς ἀδελφὸν ἐκπεσόντα καὶ περὶ μετανοίας». Ἀρχ. «Τοῖς ἐν ὑποταγῇ καθεζομένοις», φ. 132. Ass. II, σ. 154.

25. «Τοῦ αὐτοῦ πρὸς ἀδελφὸν αἰτήσαντα πρὸς αὐτὸν πῶς εἴρηται κρεῖσσον γαμεῖν ἢ πυροῦσθαι; ἀπόκρισις», ἧς ἡ ἀρχή· «Ἄκουε τοῦ ἀποστόλου», φ 137. Ass. II, σ. 164.

26. «Παραίνεσις περὶ ἀγάπης, ἧς ἡ ἀρχή· «Ἀγαπητέ, ἐὰν ἀξιωθῇς γνώσεως», φ. 138. Ass. II, σ. 169.

27. «Τοῦ αὐτοῦ πρὸς ἀκηδιαστὴν μοναχὸν λέγοντα: ἀφίημι



τὸ μοναστήριον καὶ εἰς τὸν κόσμον ὑπάγω». Ἀρχ. «Ἔφη ὁ Κύριος τῆς δόξης», φ. 139. Ass. II, σ. 174.

28. Τοῦ αὐτοῦ περὶ κακοηθείας καὶ ἀμελείας». Ἀρχ. «Ὃν τρόπον ξίφος νευροκοπεῖ», φ. 144β. Ass. II, σ. 183.

29. «Τοῦ αὐτοῦ περὶ διαφορᾶς τοῦ τε μοναδικοῦ βίου καὶ τοῦ κοσμικοῦ». Ἀρχ. «Ἀγαπητέ, ἀδελφέ, ἐὰν ἀποταξάμενος», φ. 145β. Ass. II, σ. 185.

30. «Τοῦ αὐτοῦ περὶ κρίσεως καὶ ἀναστάσεως». Ἀρχ. «Δεῦτε πάντες ἀδελφοί», φ. 149β. Ass. III, σ. 148.

31. «Τοῦ αὐτοῦ λόγος πρὸς ἄσκησιν ἐπαλείφων τὸν ἀγωνιζόμενον», οὗ ἡ ἀρχή· «Οἱ βουλόμενοι κατὰ ἀλήθειαν», φ. 151. Ass. III, σ. 38.

32. «Τοῦ αὐτοῦ περὶ ὑπομονῆς καὶ κατανύξεως». Ἀρχ. «Ὁ βουλόμενος Θεῷ εὐαρεστῆσαι», φ. 154. Ass. II, σ. 326.

33. «Τοῦ αὐτοῦ περὶ ὑπομονῆς καὶ κατανύξεως λόγος παραινετικός», οὗ ἡ ἀρχή· «Ὁ πλάσας ἡμᾶς Θεός», φ. 157. Ass. III, σ. 86.

34. «Τοῦ αὐτοῦ περὶ ἀναστάσεως νεκρῶν. Ἐρώτησις: τί ἐστιν ὁ λόγος ὁ γεγραμμένος "οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον"; δῆλον, ὅτι οὐδὲ ἐξενεγκεῖν δυνάμεθα. Ἀπόκρισις», ἧς ἡ ἀρχή· «Δοκῶ, ὅτι ὃ λέγει, τοιοῦτόν ἐστιν», φ. 161β. Ass. III, σ. 119.

35. «Τοῦ αὐτοῦ πρὸς ἀδελφὸν ἀντιλέγοντα περὶ Ἠλεὶ τοῦ ἱερέως». Ἀρχ. «Πρόσεχε σεαυτῷ μήποτε πολλὰ περιεργαζόμενος» κτλ., φ. 172. Ass. III, σ. 6.

36. «Τοῦ αὐτοῦ κεφάλαια ἑκατόν, ἔχοντα καὶ διηγήματα καὶ ἀποφθέγματα καὶ διδασκαλίαν μετὰ νουθεσίας, καὶ πῶς κτᾶταί τις ταπεινοφροσύνην». Ἀρχ. «Ἀρχὴ καρποφορίας ἄνθος», φ. 175β. Ass. I, σ. 299.

37. «Τοῦ αὐτοῦ περὶ Ἰουλιανοῦ τοῦ ἀσκητοῦ». Ἀρχ. «Οὗτος ὁ ἄριστος τῶν ἀσκητῶν», φ. 194β. Ass. III, σ. 254.

38. «Κεφάλαια τοῦ ἀββᾶ Ἀμμωνᾶ παραινετικά», ὧν ἡ ἀρχή· «Τήρει σαυτὸν ἀκριβῶς», φ. 198β.

39. «Τοῦ αὐτοῦ περὶ μνήμης θανάτου καὶ περὶ ἀρετῆς καὶ



περὶ πλούτου». Ἀρχ. «Πειθαρχεῖν δεῖ τῷ λέγοντι», φ. 203. Ass. III, σ. 114.

40. «Τοῦ αὐτοῦ ὑπομνηστικόν, ὡς ἐν εἴδει ἐπιστολῆς», οὗ ἡ ἀρχή· «Πᾶσαν ὥραν ἐν νῷ ἔχω», φ. 206β. Ass.

41. «Τοῦ αὐτοῦ περὶ ἀρετῶν καὶ κακιῶν κεφάλαια ἐν ἐπιτόμῳ κγ'», ὧν ἡ ἀρχή· «Μακαρίζω τὴν ὑμῶν ζωήν», φ. 210. Ass. I, σ. 1.

42. «Τοῦ αὐτοῦ συμβουλία περὶ πνευματικοῦ βίου πρὸς Νεόφυτον μοναχόν», ἧς ἡ ἀρχή· «Ἐπῄνεσά σου τὴν πίστιν», φ. 219. Ass. I, σ. 258.

43. «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐφραὶμ τοῦ Σύρου». Ἀρχ. «Ἐφραὶμ ὁ θαυμάσιος», φ. 231. Ass. I, σ. xx. Migne τ. 114, σ. 1253.

44. «Τοῦ μακαρίου Ἐφραὶμ διδασκαλία πολιτείας ἀκριβοῦς καὶ ὑποτύπωσις ἀσκητικῆς ἀγωγῆς». Ἀρχ. «Παραίνεσις α'. Δόξα σοι ὁ Θεός», φ. 236β [Ass. II, σ. 72]. Τελευταία παραίνεσις ἡ περὶ τοῦ ὅτι δεῖ τὸν μοναχὸν μακρόθυμον εἶναι καὶ ἀμνησίκακον.

45. «Τοῦ αὐτοῦ περὶ παθῶν καὶ ὅτι ὁ ἐν ἀμελείᾳ διάγων ἑαυτὸν ἀπατᾷ». Ἀρχ. «Ἀνὴρ ἐν ἀμελείᾳ διάγων», φ. 271. Assem. II, σ. 123.

46. «Πῶς δεῖ παρακαλεῖν τοὺς ὀλιγωροῦντας». Ἀρχ. «Ἀδελφὸς ἐζήτα τὸν ἑαυτοῦ ἀδελφόν», φ. 272. Ass. II, σ. 124.

47. «Ὅτι δεῖ τὸν ἀναγινώσκοντα ἐν ὠσὶν ἀδελφῶν φιλοπόνως ἀναγινώσκειν». Ἀρχ. «Ἀδελφέ, ἐὰν προσταχθῇ σοι τοῦ ἀναγνῶναι», φ. 274β. Ass. II, σ. 128.

48. «Ἀντιρρητικὸς περὶ παρθενίας καὶ σωφροσύνης», οὗ ἡ ἀρχή· «Τῷ ἀδελφῷ ἢ τῇ ἀδελφῇ», φ. 276. Ass. II, σ. 129.

49. «Παραίνεσις περὶ ἁγνείας ἀτελής, ἧς ἡ ἀρχή· «Παρείκαζε τὴν ἁγνείαν», φ. 277. Ass. II, σ. 132.


14. [Θεολογικὸν Ἀνθίμου πατριάρχου τῶν Ἱεροσολύμων]. Τεῦχος ἐκ χάρτου (0,32 × 223) γραφὲν περὶ τὸ τέλος τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος, οὗ τὸ κείμενον μονόστηλον· ἀριθμεῖ δὲ σελίδας ἠριθμημένας 689. Ἐν τῇ ἀρχῇ σημείωμα· «Ἐκ τῶν



τῆς βιβλιοθήκης τοῦ Παναγίου Τάφου. Ἐν Κωνσταντινουπόλει ͵αωλθ'».—Σελ. 1-143. Βιβλίον πρῶτον, διῃρημένον εἰς κεφάλαια μγ', ὧν τὸ πρῶτον περὶ τοῦ τί ἐστι γνῶσις· μετὰ δὲ τὸ τελευταῖον κεφάλαιον γέγραπται τὸ "δέξατο ὧδε πέρας θείων λόγων ἱερὰ βίβλος, | Ἄνθιμος ἥν γε πόνῳ εὖ ὕφαν' ἀρχιθύτης".—Σελ. 144-221. Βιβλίον β' ἐκ κεφαλαίων νθ', ὃ πραγματεύεται "περὶ τῆς ἐξαημέρου δημιουργίας"· ἔχει δὲ καὶ τοῦτο σημείωμα τοιοῦτον ἔμμετρον εἰς τὸ πέρας αὐτοῦ· «Ἄθρει αὖ γε τέλος κοσμογονίας πέρι ὧδε,| ἧς γ' ἐπόνησε βίβλου Ἄνθιμος ἱροθύτης».—Σελ. 223-440. «Βιβλίον τρίτον περὶ τῆς ἐνσάρκου οἰκονομίας» καὶ κατὰ αἱρέσεων, ἐκ κεφαλαίων μ'.—Σελ. 441-446 ἄγραφοι.—Σελ. 447-612 «Βιβλίον δ' περί τινων ἀναγκαίων ζητημάτων» ἐκ κεφαλαίων κθ'.—Σελ. 613-689 «Βιβλίον πέμπτον περὶ μυστηρίων», διῃρημένον εἰς κεφάλαια κβ'.

15. Τριῴδιον καὶ Πεντηκοστάριον τῆς δυοκαιδεκάτης ἑκατονταετηρίδος, ἐμπεριλαμβάνοντα καὶ στιχηρὰ καὶ κανόνας τινὰς τύποις ἀνεκδότους, καὶ πάλιν στιχηρά τινα μετὰ παρασημάνσεως, καὶ ἀναγνώσματα καθ' ἑκάστην ἀκολουθίαν ἐκ τῶν ἱερῶν Γραφῶν, ἰδίᾳ δὲ τὸν ἀπόστολον καὶ τὸ εὐαγγέλιον. Τεῦχος μεμβράνινον ἀκέφαλον καὶ ἀτελές, ἐκ φύλλων 217 (0,322×0,23), οὗ τὸ κείμενον δίστηλον· πολλὰ δὲ τούτου φύλλα μεταγενέστερα (159-217), ὧν οὐκ ὀλίγα παλίμψηστα, προστεθέντα τῇ ιγ' ἑκατ. πρὸς ἀναπλήρωσιν τοῦ κώδικος· ταῦτα μέντοι τὰ παλίμψηστα φύλλα οὕτω σφοδρῶς ἀπεσπογγίσθη, ὥστε σήμερον οὐδὲ λέξις τις ἐν αὐτοῖς τοῦ προτέρου διακρίνεται κειμένου. Σημείωμα τῆς ιε' ἑκατ. (φ. $77^{β}$-$78^{α}$) λέγει, ὅτι τὸν κώδικα τοῦτον ἔφερε Ζαχαρίας τις καὶ ὅτι ἀφιερώθη τῇ μονῇ τοῦ τιμίου Σταυροῦ· ἕτερον δὲ σημείωμα, γεγραμμένον περὶ τὴν ἀρχὴν τῆς ιθ' ἑκατ., λέγει τοῦτο· «Ἐκ τῆς τοῦ Παναγίου Τάφου βιβλιοθήκης». Ὑπάρχει δὲ καὶ σημείωμα γεωργιανὸν ἔν τινι κρασπέδῳ (φ. $147^{β}$).

16. Συναξάρια τῶν μηνῶν ἰουνίου τε καὶ ἰουλίου καὶ αὐγούστου, μεταγεγραμμένα φιλοκάλως ὑπὸ δύο καλλιγράφων ἐκ τοῦ 17-ου κώδικος τῆς πατριαρχικῆς συλλογῆς [Ἱεροσολυμ. Βιβλιοθ. Ι, σ. 69-



77], ὡς δὲ νομίζω, τῇ ἑκκαιδεκάτῃ ἑκατονταετηρίδι. Τεῦχος ἀκέφαλον ἐκ χάρτου, ληφθὲν ἐκ τῆς λαύρας τοῦ ἁγίου Σάβα· τὰ πρῶτα τρία τετράδια λείπει· φύλλα δὲ νῦν ἀριθμεῖ 340· τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 20 ἢ 21 (0,322×0,218=0,21×0,135).

1. Μαρτύριον ἀκέφαλον τοῦ ἁγίου Παύλου τοῦ ἐν τοῖς Καϊουμᾶ (η' ἰουνίου). Ἀρχ. « - - - παράπαν εἰκόνα μὴ τῆς σῆς κατὰ σάρκα μητρός», φ. 1.

2. Μαρτύριον τῶν ἁγίων Νικάνδρου καὶ Μαρκιανοῦ, ὧν ἡ μνήμη τῇ θ' μηνὸς ἰουνίου. Ἀρχ. «Στρατιωτικῆς ἑταιρείας καὶ φάλαγγος», φ. 4.

3. Μαρτύριον τῶν ἁγίων Ἀλεξάνδρου καὶ Ἀντωνίνης (ι' ἰουνίου). Ἀρχ. «Τὰ κατὰ τὴν παρθένον Ἀντωνίναν», φ. 7.

4. «Περίοδοι καὶ μαρτύριον τῶν ἁγίων ἀποστόλων Βαρθολομαίου καὶ Βαρνάβα» (ια' ἰουνίου). Ἀρχ. «Καὶ τὸ τῶν ἄλλων ἁγίων», φ. 12β.

5. Βίος καὶ πολιτεία τοῦ ὁσίου Ὀνουφρίου (ιβ' ἰουνίου). Ἀρχ. «Τὰ κατὰ τὸν μέγαν καὶ θαυμαστόν», φ. 20.

6. Μαρτύριον τῆς ἁγίας Ἀκυλίνης (ιγ' ἰουνίου). Ἀρχ. «Καὶ γυναιξὶ τὸ τοῦ μαρτυρίου», φ. 27β.

7. Ὑπόμνημα εἰς τὸν προφήτην Ἐλισσαῖον (ιδ' ἰουν.). Ἀρχ. «Καὶ τίς οὐκ ἂν ἀγάσαιτο», φ. 31β.

8. Μαρτύριον τοῦ ἁγίου Δουλᾶ (ιε' ἰουν.). Ἀρχ. «Διοκλητιανοῦ τοῦ δυσσεβοῦς βασιλεύοντος», φ. 45.

9. Βίος καὶ πολιτεία τοῦ ἁγίου Τύχωνος, ἐπισκόπου Ἀμαθοῦντος Κύπρου (ιϛ' ἰουν.). Ἀρχ. «Φιλόχριστοι τῷ Τύχωνι», φ. 48β.

10. Μαρτύριον τῶν ἁγίων Μανουὴλ Σαβὲλ καὶ Ἰσμαὴλ (ιζ' ἰουν.). Ἀρχ. «Οἱ τρεῖς τῆς τριάδος προσκυνηταί», φ. 51.

11. Μαρτύριον τοῦ ἁγίου Λεοντίου (ιη' ἰουν.). Ἀρχ. «Οὐεσπασιανοῦ τοῦ δυσσεβοῦς», φ. 58.

12. Ὑπόμνημα εἰς τὸν ἀπόστολον Ἰούδαν (ιθ' ἰουν.). Ἀρχ. «Υἱὸς ἄρα καὶ Ἰούδας Ἰωσήφ», φ. 63β.

13. Μαρτύριον τοῦ ἁγίου Ζωσίμου (κ' ἰουν.). Ἀρχ. «Τραϊανοῦ τὰ Ῥωμαίων σκῆπτρα διέποντος», φ. 65β.



14. Μαρτύριον τοῦ ἁγίου Ἰουλιανοῦ (κα' ἰουν.). Ἀρχ. «Διοκλητιανοῦ τοῦ τυράννου», φ. 69.

15. Ἄθλησις τοῦ ἱερομάρτυρος Εὐσεβίου Σαμοσάτων (κβ' ἰουν.). Ἀρχ. «Σαμόσατα πόλις ἐστὶ τῆς Συρίας», φ. 74.

16. Ἄθλησις τῆς ἁγίας Ἀγριππίνης (κγ' ἰουν.). Ἀρχ. Σὺν ἄλλοις ὅτι πλείστοις ἁγίοις», φ. 76β.

17. Λόγος εἰς τὴν γέννησιν τοῦ προφήτου καὶ βαπτιστοῦ Ἰωάννου (κδ' ἰουν.). Ἀρχ. «Ἰωάννην τὸν πάνυ, τὸ μέγα κλέος», φ. 81.

18. Βίος καὶ μαρτύριον τῆς ἁγίας Φεβρωνίας (κε' ἰουν.). Ἀρχ. «Διοκλητιανὸς ὁ πάντων βασιλέων» κτλ., φ. 86.

19. «Βίος ἐν ἐπιτομῇ τοῦ ὁσίου πατρὸς ἡμῶν Δαυὶδ τοῦ ἐν Θεσσαλονίκῃ» (κς' ἰουν). Ἀρχ. «Ἤνεγκε μὲν σὺν ἄλλοις», φ. 92.

20. Βίος καὶ πολιτεία τοῦ ὁσίου Σαμψὼν τοῦ Ξενοδόχου (κζ' ἰουν.). Ἀρχ. «Σαμψὼν τοῦ μεγάλου», φ. 94.

21. «Ὑπόμνημα ἐν ἐπιτομῇ εἰς τὸν μέγαν ἀπόστολον τοῦ Χριστοῦ Πέτρον καὶ Παῦλον τὸ σκεῦος τῆς ἐκλογῆς» (κθ' ἰουνίου). Ἀρχ. «Ὁ πρωτόθρονος τῶν ἀποστόλων Πέτρος», φ. 103.

22. «Λόγος εἰς τὴν σύναξιν τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων τῶν ιβ'», οὗ ἡ ἀρχή· «Τὰς τοῦ καθ' ἕκαστον», φ. 112.

23. Ἄθλησις τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, ὧν ἡ μνήμη τῇ α' μηνὸς ἰουλίου Ἀρχ. «Σὺν ἄλλοις οὐκ ὀλίγοις ἁγίοις», φ. 115.

24. «Ἡ ἐν Βλαχέρναις κατάθεσις τῆς τιμίας ἐσθῆτος τῆς ὑπεραγίας Θεοτόκου» (β' ἰουλίου). Ἀρχ. «Λέοντος τοῦ μεγάλου», φ. 117β.

25. Μαρτύριον τοῦ ἁγίου Ὑακίνθου τοῦ κουβικουλαρίου (γ'). Ἀρχ. «Τραϊανοῦ τοῦ δυσσεβοῦς», φ. 123.

26. Βίος καὶ πολιτεία τοῦ ἁγίου Ἀνδρέου Κρήτης (δ'). Ἀρχ. «Δαμασκὸς ἡ πατρὶς τῷ μεγάλῳ», φ. 126β.

27. Μαρτύριον τοῦ ἁγίου Θεοδώρου ἐπισκόπου Κυρήνης (ε'). Ἀρχ. «Καὶ τὰ περὶ Θεοδώρου τοῦ κλεινοῦ», φ. 128.

28. Μαρτύριον τοῦ ἁγίου Κοΐντου (ς'). Ἀρχ. Αὐρηλιανοῦ τοῦ ἀσεβεστάτου», φ. 131.



29. Βίος καὶ πολιτεία τοῦ ἁγίου Ἀνατολίου Κωνσταντινουπόλεως (ζ'). Ἀρχ. «Ἤνεγκε μὲν τὸ καλὸν τοῦτο φυτόν», φ. 133.

30. Μαρτύριον τοῦ ἁγίου Προκοπίου (η'). Ἀρχ. «Ὁ κλεινὸς ἐν μάρτυσι καὶ μέγας Προκόπιος», φ. 135.

31. Μαρτύριον τοῦ ἁγίου Προκοπίου ἐπισκόπου Ταυρομενίας (θ'). Ἀρχ. «Ἄρτι τοῦ τῶν ἀποστόλων ἐκκρίτου», φ. 147^{β}.

32. Μαρτύριον τῶν ἐν Νικοπόλει μαρτυρησάντων (ι'). Ἀρχ. «Βασιλεύοντος τοῦ δυσσεβοῦς», φ. 149^{β}.

33. Θαῦμα τὸ τελεσθὲν διὰ τοῦ τόμου τῆς μεγαλομάρτυρος Εὐφημίας (ια'). Ἀρχ. «Μαρκιανὸς ὅτε καὶ Πουλχερία», φ. 152.

34. Μαρτύριον τῶν ἁγίων Πρόκλου καὶ Ἱλαρίωνος (ιβ'). Ἀρχ. «Πολλῇ τῇ λύσσῃ κατὰ χριστιανῶν», φ. 154.

35. Μαρτύριον τῆς ἁγίας Γολινδοὺχ τῆς μετονομασθείσης Μαρίας (ιγ'). Ἀρχ. «Ἡνίκα Μαυρίκιος», φ. 156^{β}.

36. Μαρτύριον τῆς ἁγίας Μυρώπης (ιδ'). Ἀρχ. «Ἡ μυρεπώνυμος αὕτη», φ. 159^{β}.

37. Μαρτύριον τῶν ἁγίων Κηρύκου καὶ Ἰουλίττης (ιε'). Ἀρχ. «Διοκλητιανοῦ τοῦ τυράννου», φ. 161^{β}.

38. Μαρτύριον τοῦ ἁγίου Ἀθηνογένους καὶ τῶν δέκα μαθητῶν αὐτοῦ (ις'). Ἀρχ. «Τοῦ κακόφρονος καὶ δυσσεβεστάτου Διοκλητιανοῦ», φ. 164.

39. Μαρτύριον τῆς ἁγίας Μαρίνης (ιζ'). Ἀρχ. «Ὀλύβριος ὁ δεινός», φ. 166.

40. Μαρτύριον τοῦ ἁγίου Αἰμιλιανοῦ (ιη'). Ἀρχ. «Τοῦ δυσσεβοῦς Ἰουλιανοῦ τοῦ παραβάτου», φ. 170.

41. Μαρτύριον τῆς ἁγίας Θεοδοσίας (ιθ'). Ἀρχ. «Ἡμεδαπὴ καὶ ἐγχώριος», φ. 171^{β}.

42. Ὑπόμνημα εἰς τὸν προφήτην Ἠλίαν (κ'). Ἀρχ. «Ὁ μέγας ἐν προφήταις», φ. 173^{β}.

43. Βίος καὶ πολιτεία τοῦ ὁσίου Συμεὼν τοῦ σαλοῦ καὶ Ἰωάννου τοῦ συνασκητοῦ (κα'). Ἀρχ. «Συμεώνην τὸν πάνυ», φ. 181.

44. Ὑπόμνημα εἰς Μαρίαν τὴν Μαγδαληνὴν (κβ'). Ἀρχ. «Ἄρτι τοῦ ἐμοῦ Χριστοῦ», φ. 191.



45. Μαρτύριον τοῦ ἁγίου Φωκᾶ (κγ'). Ἀρχ. «Τραϊανοῦ τοῦ βασιλέως», φ. 163.

46. Μαρτύριον τῆς ἁγίας Χρηστίνης (κδ'). Ἀρχ. «Τὴν χριστεπώνυμον μεγάλην» κτλ., φ. 194β.

47. Βίος καὶ πολιτεία τῆς ὁσίας Εὐπραξίας (κε'). Ἀρχ. «Ἡ καλλίστη γυναικῶν Εὐπραξία», φ. 200.

48. Μαρτύριον τῶν ἁγίων Ἑρμολάου Ἑρμίππου καὶ Ἑρμοκράτους (κς'). Ἀρχ. «Τῆς ἐπιφανοῦς Νικομήδους», φ. 304.

49. Μαρτύριον τοῦ ἁγίου Παντελεήμονος (κζ'). Ἀρχ. «Εἶχε μὲν τὴν Νικομήδους», φ. 206.

50. Μαρτύριον τοῦ ἁγίου Εὐσταθίου τοῦ ἐν Ἀγκύρᾳ (κς'). Ἀρχ. «Σὺν ἄλλοις οὐκ ὀλίγοις ἁγίοις», φ. 214.

51. Μαρτύριον τοῦ ἁγίου Καλλινίκου (κθ'). Ἀρχ. «Ὁ θεῖος καὶ μέγας Καλλίνικος», φ. 216.

52. Μαρτύριον τῆς ἁγίας Ἰουλίττης (λ'). Ἀρχ. «Ἰουλίτταν γυναικῶν τὴν καλλίστην», φ. 218β.

53. Βίος καὶ πολιτεία τοῦ ἁγίου Εὐδοκίμου τοῦ νέου (λα'). Ἀρχ. «Εὐδοκίμου τοῦ κατὰ Θεὸν φερωνύμως», φ. 210β. Τύποις ἐξεδόθη παρὰ Χρυσάνθου Λοπαρέβου, προσθέντος καὶ τὴν παλαιὰν σλαβικὴν ἑρμηνείαν τοῦ ἑλληνικοῦ κειμένου. Памятники древней письменности, τεῦχος XCVI, ἐν Πετρουπόλει 1893.

54. Μαρτύριον τῶν ἁγίων Μακκαβαίων (α' αὐγούστου). Ἀρχ. «Ὅτι τῶν παθῶν αὐτοκράτωρ ὁ λογισμός», φ. 226.

55. Διήγησις περὶ τῆς ἀνακομιδῆς τῶν λειψάνων τοῦ πρωτομάρτυρος Στεφάνου (β'). Ἀρχ. «Καὶ πῶς ἄν τις αἰτίας», φ. 232.

56. Βίος καὶ πολιτεία τῶν ὁσίων Ἰσαακίου Φαύστου καὶ Δαλμάτου (γ'). Ἀρχ. «Ὁ μέγας οὗτος καὶ θαυμαστός», φ. 235β.

57. Μαρτύριον τοῦ ἁγίου Ἐλευθερίου τοῦ κουβικουλαρίου (ιδ'). Ἀρχ. «Ἡμεδαπὸς ὁ Ἐλευθέριος», φ. 239β.

58. Μαρτύριον τοῦ ἁγίου Εὐσιγνίου (ε'). Ἀρχ. «Ἀντιοχείας τῆς κατὰ Συρίαν βλαστός», φ. 241β.

59. Λόγος εἰς τὴν μεταμόρφωσιν τοῦ Ἰησοῦ Χριστοῦ (ς'). Ἀρχ. «Ἐχρῆν μὲν ἡμᾶς», φ. 244.



60. Βίος καὶ μαρτύριον τοῦ ἁγίου Δομετίου τοῦ Πέρσου (ζ'). Ἀρχ. «Ἤνεγκεν ἡ Περσῶν χώρα», φ. 248.

61. Βίος τοῦ ἁγίου Μύρωνος ἐπισκόπου Κρήτης (η'). Ἀρχ. «Τῆς Κρήτης βλαστὸς ὁ θαυμαστός», φ. 252.

62. Μαρτύριον τοῦ ἁγίου Στεφάνου πάπα Ῥώμης καὶ τῶν σὺν αὐτῷ (θ'). Ἀρχ. «Κατὰ τοὺς χρόνους Οὐαλεριανοῦ», φ. 255.

63. Μαρτύριον τῶν ἁγίων Λαυρεντίου Ξύστου καὶ Ἱππολύτου (ι'). Ἀρχ. «Δεκίου τοῦ δυσσεβοῦς», φ. 259β.

64. Μαρτύριον τοῦ ἁγίου Εὔπλου (ια'). Ἀρχ. «Διοκλητιανὸς ἡνίκα καὶ Μαξιμιανός», φ. 262β.

65. Μαρτύριον τῶν ἁγίων Φωτίου καὶ Ἀνικήτου (ιβ'). Ἀρχ. «Διοκλητιανοῦ τοῦ δυσσεβοῦς», φ. 265β.

66. Βίος καὶ μαρτύριον τοῦ ἁγίου Μαξίμου τοῦ ὁμολογητοῦ (ιγ'). Ἀρχ. «Καὶ πῶς ἂν τὴν παρὰ τῶν φιλοκάλων», φ. 270.

67. Μαρτύριον τοῦ ἁγίου Μαρκέλλου ἐπισκόπου Ἀπαμείας Συρίας (ιδ'). Ἀρχ. «Ὅτε Θεοδόσιος ὁ μέγας», φ. 273.

68. Ὑπόμνημα εἰς τὴν κοίμησιν τῆς Θεοτόκου (ιε'), οὗ ἡ ἀρχή· «Ἄρτι τῆς δεσποτικῆς οἰκονομίας», φ. 275.

69. Ὑπόμνημα εἰς τὴν ἐξ Ἐδέσσης ἀνακομιδὴν πρὸς τὴν Κωνσταντινούπολιν τῆς ἀχειροποιήτου μορφῆς τοῦ Ἰησοῦ Χριστοῦ (ις'). Ἀρχ. «Ἄρτι τοῦ ἐμοῦ Χριστοῦ», φ. 279.

70. Μαρτύριον τοῦ ἁγίου Διομήδους (τῇ αὐτῇ ις' αὐγούστου). Ἀρχ. «Καὶ τὸν κλεινὸν Διομήδην», φ. 282β. Acta Sanct. τ. III αὐγ. σ. 268.

71. Μαρτύριον τῶν ἁγίων Στράτωνος Φιλίππου Εὐτυχιανοῦ (ιζ'). Ἀρχ. «Τῆς Νικομήδους τὰ κάλλιστα», φ. 286.

72. Μαρτύριον τῶν ἁγίων Φλώρου καὶ Λαύρου (ιη'). Ἀρχ. «Καὶ τὰ τῆς καλῆς ξυνωρίδος», φ. 288β. Acta Sanct. τ. III αὐγ. σ. 522.

73. Μαρτύριον τοῦ ἁγίου Ἀνδρέου τοῦ στρατηλάτου (ιθ'). Ἀρχ. «Τὸν θαυμαστὸν Ἀνδρέαν», φ. 291β.

74. Μαρτύριον τῆς ἁγίας Βάσσης καὶ τῶν τέκνων αὐτῆς Ἀγαπίου Θεογνίου καὶ Πιστοῦ (κ'). Ἀρχ. «Τὰ κατὰ τὴν μεγάλην μάρτυρα», φ. 295β. Acta Sanct. τ. IV αὐγ. σ. 419.



75. Μαρτύριον τοῦ ἁγίου Μύρωνος τοῦ ἐν Κυζίκῳ (κα'). Ἀρχ. «Τῆς ἐπιφανείας τοῦ μεγάλου», φ. 299β. Acta Sanct. τ. III αὐγ. σ. 421.

76. Μαρτύριον τοῦ ἁγίου Ἀγαθονίκου (κβ'). Ἀρχ. «Μαξιμιανοῦ τοῦ τυράννου τὴν βασίλειον ἀρχήν», φ. 302β.

77. Μαρτύριον τῶν ἁγίων Εἰρηναίου Ὧρ καὶ Ὀρέψιω (κγ'). Ἀρχ. «Τὸν τῆς εἰρήνης ἐπώνυμον», φ. 305.

78. Μαρτύριον τῶν ἁγίων Ἀθανασίου Χαρισίμου καὶ Νεοφύτου, καὶ βίος τῆς ὁσίας Ἀνθούσης (κδ'). Ἀρχ. «Οὐαλεριανοῦ τοῦ δυσσεβοῦς», φ. 397. Acta Sanct. τ. IV αὐγ. σ. 502.

79. Ὑπόμνημα εἰς τὸν ἅγιον ἀπόστολον Τίτον (κε'). Ἀρχ. «Τίτος ὁ περιφανής», φ. 310β.

80. Μαρτύριον τῶν ἁγίων Ἀνδρέου καὶ Ναταλίας (κϛ'). Ἀρχ. «Μαξιμιανοῦ τοῦ τυράννου», φ. 313.

81. Βίος καὶ πολιτεία τοῦ ὁσίου Ποιμένος τοῦ ἀναχωρητοῦ (κζ'). Ἀρχ. «Πολλοὺς καὶ ἄλλους ἤνεγκεν», φ. 321. Acta Sanct. τ. V αὐγ. σ. 30.


82. Βίος καὶ πολιτεία τοῦ ὁσίου Μωυσέως τοῦ Αἰθίοπος (κη'). Ἀρχ. «Οὐδὲ δούλοις οὐδὲ κακούργοις», φ. 324β. Acta Sanct. τ. V αὐγ. σ. 209.

83. Ὑπόμνημα εἰς τὴν ἀποτομὴν τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου (κθ'). Ἀρχ. «Ἄρτι τοῦ προδρόμου», φ. 327β.

84. Βίος καὶ πολιτεία τοῦ ἁγίου Καλλινίκου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως (λ'). Ἀρχ. «Ἡμεδαπὸς ὁ Καλλίνικος», φ. 333β.

85. Ὑπόμνημα εἰς τὴν κατάθεσιν τῆς τιμίας ζώνης τῆς Θεοτόκου (λα'). Ἀρχ. «Φαιδρὰ καὶ πανεύσημος», φ. 836β.

17. Τεῦχος ἐκ χάρτου, μετενεχθὲν ἐκ τῆς λαύρας τοῦ ἁγίου Σάβα, γεγραμμένον περὶ τὸ μέσον τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος ὑπὸ τριῶν, ὡς φαίνεται, καλλιγράφων, καὶ συνιστάμενον ἐκ φύλλων ἠριθμημένων 454 καὶ ἓξ ἑτέρων φύλλων· δέον ὅμως ἅπαντα τὰ φύλλα λογίζεσθαι 466, διὰ τὸ ἓξ τούτων ἔχειν ἀριθμούς, οὓς καὶ τὰ πρότερα φύλλα (τὸ 21, τὸ 67, τὸ 213, τὸ 225, τὸ 411, καὶ τὸ 436)· ἔστι δὲ τὸ τεῦχος ὕψους μὲν 0,318,



πλάτους δὲ 0,218, οὗ τὸ κείμενον δίστηλον· ὀλίγων δέ τινων φύλλων τὸ κείμενον ὑπάρχει μονόστηλον.

1. Λόγος, οὗ ἡ ἐπιγραφή· «Τοῦ ὄρθρου· εἰς τὰς ἑορτὰς τῆς ὑπεραγίας Θεοτόκου». Ἀρχ. «Ἐν ταῖς ἡμέραις ἐκείναις», φ. 1.

2. Ἕτερος λόγος, οὗ ἡ ἐπιγραφὴ «Τῆς λειτουργίας». Ἀρχ. «Ὥσπερ παράδεισος ἄλλος ἀγαπητοί», φ. $36^{β}$.

3. «Περὶ προσευχῆς καὶ νηστείας καὶ μετανοίας». Ἀρχ. «Ἡ τῶν νηστειῶν ἀρχὴ ἀγαπητοί», φ. 10.

4, «Βίος τοῦ ὁσίου Ἰωάννου Δαμασκηνοῦ, συγγραφεὶς παρὰ Ἰωάννου πατριάρχου Ἱεροσολύμων». Ἀρχ. «Τοῖς τετηρηκόσι τὸ κατ' εἰκόνα Θεοῦ», φ. 14. Migne τ. 94, σ. 429.

5. Ἰωάννου πατριάρχου τοῦ Γλυκῆ «λόγος περὶ προσευχῆς μνησικακίας καὶ μετανοίας». Ἀρχ. «Ἡ τοῦ παναγίου πνεύματος χάρις», φ. 40.

6. «Ἰωάννου πατριάρχου Κωνσταντινουπόλεως, τοῦ Γλυκῆ, ὁμιλίαι τοῦ ἁγίου εὐαγγελίου εἰς καθὴν [sic] Κυριακὴν τοῦ ὅλου ἐνιαυτοῦ· ἃς ἐκλεξάμενος συνέθετο ἀπό τε διαφόρων ἁγίων πατέρων καὶ ἑτέρων σοφῶν ἀνδρῶν», φ. $44^{β}$-125, 159-$213^{α}$, 231-$293^{α}$, 325-454.

7. «Μάρκου μοναχοῦ κατὰ Λατίνων»· κείμενον ἀτελές, οὗ ἡ ἀρχή· «Ὄντως κατὰ μέθεξιν Θεοῦ ἐστιν», φ. 126-155.

8. «Συναξάριον τῇ Δευτέρᾳ τοῦ ἁγίου πνεύματος». Ἀρχ. «Τῇ αὐτῇ ἡμέρᾳ, ἤγουν τῇ Δευτέρᾳ τῆς Πεντηκοστῆς», φ. 213.

9. Ἰωάννου τοῦ Χρυσοστόμου ἐγκώμιον εἰς τοὺς ἁγίους πάντας, οὗ ἡ ἀρχή· «Ἐξ οὗ τὴν ἱερὰν πανήγυριν», φ. $216^{β}$. Migne τ .50, σ. 705.

10. Βίος καὶ πολιτεία ἐν ἐπιτομῇ τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου. Ἀρχ. «Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν», φ. 222. Ἱεροσ. Βιβλιοθ. Ι, σ. 79.

11. Μαρτύριον τῆς ἁγίας Ἁγνῆς, οὗ ἡ ἀρχή· «Τῆς ἀειπαρθένου καὶ καλλίπαιδος Ἁγνῆς», φ. $227^{β}$.

12. Θεοδώρου τοῦ Στουδίτου «ἐγκώμιον εἰς τὴν εὕρεσιν τῆς τιμίας κεφαλῆς τοῦ προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου». Ἀρχ.



«Τρίτον μήνυμα», φ. 293β. Acta Sanct. τ. V ἰουνίου, σ. 631. Ἱεροσ. Βιβλιοθ. Ι, σ. 234, 240.

13. (Μαρκέλλου ἀρχιμανδρίτου) «ἐξήγησις ἐκ παραδόσεως, ὅπως ἡ τιμία κεφαλὴ τοῦ ἁγίου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου εἰς τὴν Ἐμεσηνῶν ἀνεδείχθη πόλιν». Ἀρχ. «Μοναχοὶ δύο», φ. 298. Acta Sanct. τ. V ἰουνίου, σ. 615. Ἱεροσ. Βιβλιοθ. Ι, σ. 234.

14. Μαρτύριον τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Μάρκου. Ἀρχ. «Κατ' ἐκεῖνον τὸν καιρὸν τῶν ἀποστόλων διαμερισθέντων», φ. 305β. Migne τ. 115, σ. 164.

15. Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἀλεξίου. Ἀρχ. «Ἐγένετο ἀνὴρ εὐσεβής», φ. 310. Fabrici-Harles, Bibl. Graeca, τ. X, σ. 191.


16. «Κοσμᾶ βεστήτορος λόγος εἰς τὴν ἀνακομιδὴν τοῦ τιμίου καὶ ἁγίου λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ οἰκουμενικοῦ διδασκάλου Ἰωάννου τοῦ Χρυσοστόμου». Ἀρχ. «Ἤκουσται πάντως», φ. 315β. Ἱεροσολ. Βιβλιοθ. Ι, σ. 79. II, σ. 329.

18. Τεῦχος ἐκ χάρτου τῆς ιζ' ἑκατ., συνιστάμενον ἐκ σελίδων 358, μήκους 0,325, πλάτους 0,215. Ἐπιγραφή· «Τοῦ μακαριωτάτου Αὐγουστίνου ἐπισκόπου Ἱππῶνος περὶ τριάδος βιβλία πέντε πρὸς τοῖς δέκα, ἅπερ ἐκ τῆς λατίνων διαλέκτου εἰς τὴν ἑλλάδα μετήνεγκεν ὁ σοφώτατος καὶ τιμιώτατος μοναχῶν κῦρ Μάξιμος ὁ Πλανούδης». Ἀρχ. «Δεῖν εἶναι φημὶ τὸν τάδε ἀναγνωσόμενον» [Fabrici-Harles, Bibl. Graeca. τ. XI, σ. 684]. Σελ. 358 «Τέλος τοῦ περὶ τριάδος βιβλίου Αὐρηλίου Αὐγουστίνου: — εἴληφε τέρμα βίβλος ἡ Αὐγουστίνου: — Θεοῦ διδόντος οὐδὲν ἰσχύει φθόνος: καὶ μὴ διδόντος οὐδὲν ἰσχύει πόνος». Ἕτερον σημείωμα λέγει ταῦτα· «Τὸ παρὸν χειρόγραφον μετηνέχθη ἐκ τῆς βιβλιοθήκης τοῦ ἐν Κωνσταντινουπόλει Ἁγιοταφιτικοῦ Μετοχίου, καὶ κατετέθη ἐν τῇ βιβλιοθήκῃ τῆς θεολογικῆς σχολῆς τοῦ Σταυροῦ ὑπὸ τοῦ διακόνου Φωτίου Ἀλεξανδρίδου τῷ 1874».

19. Τεῦχος ἐκ χάρτου, οὗ πολλὰ φύλλα ἄγραφα, μήκους 0,33, πλάτους 0,232. — Π α ρ ρ η σ ί α τοῦ παρὰ τὴν Ἱερουσαλὴμ ἁγίου μοναστηρίου τοῦ Σταυροῦ, ἔχουσα ἔνδον τῆς πρώτης



πιναχίδος εἰκόνα κεχρωματισμένην αὐτοῦ τούτου τοῦ μοναστηρίου. Ἐν τῷ πρώτῳ φύλλῳ σημείωμα· «Ὁ παρὼν κῶδιξ μετεγράφη ἐκ τοῦ παλαιοῦ κώδικος, δι' ἐπιμελείας καὶ ἐπιστασίας τοῦ ἡγουμένου κυρίου Γερασίμου ἀρχιμανδρίτου, ἐπὶ τῆς πατριαρχείας τοῦ κυρίου Ἀθανασίου πατριάρχου, ἐν ἔτει τῷ σωτηρίῳ 1841, κατὰ Ἰούνιον». Ἐπιγραφὴ τοῦ κώδικος ἐν τῷ 2-ῳ φύλλῳ· «Κῶδιξ τῆς παρούσης μονῆς τῶν Ἰβήρων τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, ἐν ᾧ καταγράφονται τά τε ζῶντα καὶ τεθνεῶτα ὀνόματα τῶν χάριν προσκυνήσεως ἐνταῦθα ἐρχομένων ἐντίμων προσκυνητῶν· ἤρξατο δὲ ἡ καταγραφὴ ἐπὶ πατριαρχίας μὲν τοῦ ἀοιδίμου πατριάρχου τῶν Ἱεροσολύμων κυρίου κυρίου Νεκταρίου, ἐπὶ ἡγουμενείας δὲ τοῦ ὁσιωτάτου ἐν μοναχοῖς κυρίου Ἰωσὴφ Ἴβηρος». Ἐν τῷ κώδικι τούτῳ ὀνόματα κατεγράφη προσκυνητῶν ἄχρις ἔτους 1876-ου· ἡγουμένων δὲ τοῦ μοναστηρίου τοῦ Σταυροῦ ὀνόματα καταγράφεται ἐν αὐτῷ ταῦτα: Ἀντώνιος 1743, φύλλ. 8^{α}. — γερο-Κύριλλος 1744, φύλλ. 8^{α}. — παπᾶ Γρηγόριος 1747, φ. 9. — Δαμιανὸς 1761, φ. 13. — Ἀντώνιος μοναχὸς ἐκ Καισαρείας τῆς ἐν Καππαδοκίᾳ 1753, φ. 14. — γερο-Ἀρσένιος 1758, φ. 14^{β}. — Μελέτιος Κύπριος 1760, φ. 15^{α}. — γερο-Βησσαρίων Ἀθηναῖος 1763, φ. 15^{β}. — Ἱερεμίας 1764, φ. 16^{α}. — Μελέτιος Κύπριος 1776, φ. 16. — Ἱερεμίας μοναχὸς 1783, φ. 16^{β}. — Γαβριὴλ μοναχὸς 1786-1789, φ. 17^{α}. — Γρηγόριος μοναχὸς ἐξ Ἐλασσῶνος 1805, φ. 18^{α}. — Νεόφυτος ἱερομόναχος 1808, φ. 18^{β}. — Ἀζαρίας μοναχὸς 1811, φ. 19^{α}. — Γρηγόριος μοναχὸς 1813, φ. 19^{β}. — Γαβριὴλ 1814, φ. 20. — Ἰωακεὶμ ἀρχιμανδρίτης 1815, φύλλ. 20^{β}. — Κύριλλος μοναχὸς 1816, φ. 20^{β}. — Ἄνθιμος ἱερομόναχος, ψάλτης, ἐκ Μωρέως 1819, φ. 22^{β}. — Ἰγνάτιος Ἀριτζιανὸς πρωτοσύγκελλος 1830, φ. 23^{β}. — γερο-Τρύφων 1832, φ. 24^{β}. — Πολύκαρπος ἱερομόναχος ἐξ Ἀγκύρας 1834, φ. 26^{β}. — Διονύσιος μοναχὸς ἐκ Δακίας 1839, φ. 29^{α}. — Γεράσιμος ἀρχιμανδρίτης Ἴβηρ 1841-1845. — Πολύκαρπος μοναχὸς 1845. — Δανιὴλ μοναχὸς ἐκ Πελαγονίας 1847-1850, φ. 37^{α}. — Σημειώματά τινα· α'), φ. 16^{α}



«Τῷ ͵αψος' ἡγουμενεύοντος τοῦ ὁσιωτάτου κῦρ Μελετίου Κυπρίου ἀνηγέρθη ὁ τοῖχος τοῦ παρόντος μοναστηρίου, καὶ γεγόνασιν αἱ νέαι πέντε καμάραι καὶ τὰ πέντε ποδαρικὰ καὶ τὰ δύο ἀρχονταρίκια, ἐπὶ τῆς ἐπιτροπῆς τοῦ πανιερολογιωτάτου ἁγίου Ναζαρὲτ κυρίου κυρίου Νεοφύτου Πελοποννησίου». β') φ. 30β «Τὰ ὄπισθεν καὶ ἔμπροσθεν ὀνόματα ἀντέγραψεν ὁ ἀρχιμανδρίτης Ἰωήλ, παρακλήσει τοῦ ἡγουμένου κυρίου κυρίου Γερασίμου, καθότι ἦσαν τὰ πρῶτα κακογραμμένα. Ἐν ἔτει ͵αωμδ' ὀκτωβρίου κς'». γ') φ. 30β κἑ «Τὰ ὀνόματα τῶν βασιλέων τῶν Ἰβήρων καὶ τῶν ἀρχιερέων καὶ ἄλλων χριστιανῶν». δ') φ. 36α «Κατὰ δὲ τὸ τρέχον ἔτος, ἤγουν ͵αωμε', κατέλιπε τὴν ἡγουμενείαν τῆς ἱερᾶς μονῆς ταύτης τοῦ τιμίου Σταυροῦ ὁ πανοσιώτατος ἀρχιμανδρίτης κύριος Γεράσιμος Ἴβηρ, καὶ ἐγένετο διάδοχος αὐτοῦ ὁ μοναχὸς κῦρ Πολύκαρπος εἰς τὴν ἡγουμενείαν τῆς ἱερᾶς καὶ ἁγίας μονῆς ταύτης, δι' ἐπιταγῆς καὶ ἀποφάσεως τοῦ νέου μακαριωτάτου καὶ σεβασμιωτάτου πατριάρχου τῶν Ἱεροσολύμων κυρίου κυρίου Κυρίλλου. Ἐν ἔτει ͵αωμε' μαΐου α'». ε') φ. 37α «1847: ἐπὶ τῆς ἡγουμενείας Δανιὴλ μοναχοῦ τοῦ ἐκ Πελαγονίας. Τῷ αὐτῷ ἔτει ἦλθεν εἰς Ἱερουσαλὴμ καὶ ἐνταῦθα ἡ πρώην βασιλοποῦλα τῆς Ἄνω Ἰβηρίας κυρία Θάμαρ, ἐγγονὴ τοῦ ἀοιδίμου βασιλέως Ἡρακλείου, καὶ προσκυνήσασα εὐλαβῶς ἔγραψε τὰ ὀνόματα ταῦτα: Ἰουλιανοῦ, Σαλώμης, Λέοντος, Δημητρίου, Βαχτάγγ, Μιριάν, Κετεβών, Βαρβάρας, Δαβὶδ ἀρχιερέως, Δαβίδ, Αἰκατερίνης, Λουάρσαπ, Θάμαρ, Ἰωάννου, Νίνας, Ἡρακλείου καὶ τῶν γονέων αὐτῶν». ς') φ. 40α «Ἐν ἔτει ͵αωνα', κατὰ μῆνα μάιον, διετάχθη καὶ ἐψηφίσθη εἰς τὴν ἱερὰν μονὴν τοῦ τιμίου Σταυροῦ ἀντὶ ἡγουμένου ἐπιστάτης ὁ ἅγιος καμαράσης κῦρ Θεοφάνης, καὶ οἰκονόμος ὁ Ἁγιοσαββίτης γέρων Ἀβράμιος, δι' ἐπιταγῆς ἐγγράφου τοῦ μακαριωτάτου πατρὸς ἡμῶν καὶ πατριάρχου τῶν Ἱεροσολύμων κυρίου Κυρίλλου».

20. Τεῦχος τῆς ιθ' ἑκατ. ἐκ φύλλων 154, μήκους 0,322, πλάτους 0,216. Ἀδήλου «σύντομος εἰσαγωγὴ ἀραβικῆς γλώσσης». Ἀρχ. «Πρέπει τοὺς σπουδαίους νὰ σημειώνουν» κτλ.



21. Τεῦχος ἐκ χάρτου τῆς ιζ' ἑκατ., μήκους 0,31, πλάτους 0,21, σελίδας ἀριθμοῦν 1088· λείπουσιν ὅμως φύλλα πέντε, ἅ, καθὰ φαίνεται, βιαίως τις ἀπέκοψε (σελ. 445-450 καὶ 916-917). Τὸ κείμενον κατὰ σελίδα μονόστηλον ἐκ γραμμῶν 32 (0,232 × 0,145)· περιλαμβάνει δὲ τοῦτο καλὸν ἀντίγραφον τῆς ὑπὸ Δοσιθέου πατριάρχου τῶν Ἱεροσολύμων συνταχθείσης ἱστορίας τῶν ἐν Ἱεροσολύμοις πατριαρχησάντων· οὗ πολλὰ μέρη διαγεγραμμένα καὶ ἀνασυντεταγμένα διὰ τῆς χειρὸς αὐτοῦ τοῦ Δοσιθέου. Ἐν τῇ ἀρχῇ τοῦ κώδικος ὑπάρχει φύλλον ἀσελίδωτον, ἐν ᾧ γέγραπται τὸ σημείωμα τοῦτο· «Τὸ παρὸν χειρόγραφον ἐμπεριέχον σημειώματα περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων ἐλήφθη ἐκ τῆς βιβλιοθήκης τοῦ ἐν τῇ μονῇ τοῦ τιμίου Σταυροῦ μετὰ καὶ ἄλλων μεμβραΐνων χειρογράφων, ἐν ᾗ καθιδρύθη ἡ μεγάλη πατριαρχικὴ σχολή, ἐπὶ τῆς πατριαρχείας τοῦ μακαριωτάτου Κυρίλλου τοῦ Β', καὶ ἐναποτίθεται ἤδη ἐν τῇ βιβλιοθήκῃ αὐτῆς, ἧς καὶ τὴν σφραγῖδα φέρει, πρὸς σπουδὴν καὶ μελέτην τῶν ἐν αὐτῇ μόνον διατριβόντων. Ἐν ἔτει ͵αωνη' ὀκτωβρίου ιε'».

22. Τεῦχος ἐκ φύλλων χάρτου στιλπνοῦ 474, ὧν ἔνια παντάπασιν ἄγραφα (φ. 299-301 καὶ 472-474)· ἔστι δὲ μήκους μὲν 0,31, πλάτους δὲ 0,205. Τὸ κείμενον, γεγραμμένον ἐπιμελέστατα καὶ καλλιγραφικώτατα ἔτει 1563-ῳ, κατὰ πᾶσάν ἐστι σελίδα μονόστηλον· ἑκάστη δὲ τῶν σελίδων γραμμὰς ἀριθμεῖ 24 (0,21 × 0,12)· κεκόσμηται δὲ τὸ τεῦχος πολλαχοῦ καὶ μεγάλοις κεφαλαιώδεσι γράμμασι κοκκίνοις καὶ τῶν λόγων ἐπιγραφαῖς κοκκίναις ὡσαύτως· ἔχει δὲ καὶ κοσμήματα δύο κεχρωματισμένα (φ. 1α καὶ 302α). Ἔνδον τῆς πρώτης πινακίδος ὑπάρχουσι πρόσθετοι σελίδες κα', ἐν αἷς ἀναγινώσκεται πρόλογος εἰς τὰς ὁμιλίας τοῦ ἁγίου Γρηγορίου τοῦ Παλαμᾶ· ἐγράφη δ' οὗτος ὁ πρόλογος «ἐν Κωνσταντινουπόλει, ἐν ἔτει σωτηρίῳ ͵αωνϛ', κατὰ μῆνα νοέμβριον»· οὗ ἡ ἀρχή· «Ἡ τῆς ὀρθοδόξου ἡμῶν πίστεως σωτήριος διδασκαλία» [Ὅρα τὸ βιβλίον τοῦτο: Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου ἀρχιεπισκόπου Θεσσαλονίκης τοῦ Παλαμᾶ ὁμιλίαι τεσσαράκοντα καὶ μία, ὧν προηγοῦνται δύο ἐγκωμιαστικοὶ λόγοι Φιλοθέου καὶ Νείλου πατριαρχῶν



Κωνσταντινουπόλεως, νῦν τὸ πρῶτον ἐκδιδόμεναι μετὰ προλεγομένων. Ἐν Ἱεροσολύμοις, ͵αωνζ', σ. I - XIII]. Κατὰ δὲ ταῦτα τὰ προλεγόμενα τὸν κώδικα, ὃν ἤδη περιγράφω, κατεῖχεν ἔτει 1856-ῳ ἡ βιβλιοθήκη τοῦ ἐν Κ/πόλει μετοχίου τοῦ Παναγίου Τάφου. Περιεχόμενα τοῦ κώδικος:

1 Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Παλαμᾶ ὁμιλίαι μα', τύποις ἐκδοθεῖσαι ἐν Ἱεροσολύμοις ἔτει 1857-ῳ κατ' αὐτὸν τοῦτον τὸν κώδικα.

2. «Τοῦ παναγιωτάτου καὶ σοφωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Φιλοθέου, λόγος ἐγκωμιαστικὸς εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Γρηγόριον ἀρχιεπίσκοπον Θεσσαλονίκης· ἐν ᾧ καί τινων ἀπὸ μέρους ἱστορία θαυμάτων αὐτοῦ». Ἀρχ. «Γρηγόριος μὲν ὁ μέγας», φ. 302. Migne τ. 151, σ. 551. Ἐκδ. Ἱεροσολύμων σ. α' - πς'. Τὸν αὐτὸν βίον παρέφρασεν Ἀθανάσιος ὁ Πάριος, οὗ τὸ βιβλίον ἐπιγραφὴν ἔχει τοιαύτην: Ὁ Παλαμᾶς ἐκεῖνος, ἤτοι βίος ἀξιοθαύμαστος τοῦ ἐν ἁ. π. ἡ. Γρηγορίου ἀρχιεπισκόπου Θεσαλ. τοῦ θαυματουργοῦ, τοὐπίκλην Παλαμᾶ, συγγραφεὶς μὲν ὑπὸ τοῦ ἁγιωτάτου πατριάρχου Κ/πόλεως κυρίου Φιλοθέου τοῦ Θεσσαλονικέως, μεταφρασθεὶς δὲ παρὰ τοῦ ἐν ἱερομονάχοις ἐλαχίστου Ἀθανασίου τοῦ Παρίου κτλ. Ἐν Βιέννῃ 1784, σ. 60 - 215.

3. «Τοῦ παναγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως κυροῦ Νείλου ἐγκώμιον εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Γρηγόριον, ἀρχιεπίσκοπον Θεσσαλονίκης». Ἀρχ. «Οὐδὲν οὕτως ἐπαχθές», φ. 437. Migne τ. 151, σ. 656. Ἐκδ. Ἱεροσολύμων σ. πζ' - ρε'.

4. «Ἐκ τοῦ τόμου τοῦ κατὰ Προχόρου»· πρᾶξις καθαγιάσεως Γρηγορίου τοῦ Παλαμᾶ, ἧς ἡ ἀρχή· «Ἐπεὶ δὲ πρὸς τοῖς ἄλλοις καὶ τοῦτο ἔλεγον», φ. 465. Ἀθανασίου Παρίου, Ὁ Παλαμᾶς ἐκεῖνος, σ. 217 - 219.

5. Σημειώματα τοῦ καλλιγράφου, ἔχοντα οὕτως (φ 467). «† Ἐτελειώθη ἡ παροῦσα βίβλος συνάρσει Θεοῦ κατὰ μῆνα ἰούνιον, τῆς ϛ' ἰνδικτιῶνος τοῦ ͵ζοα^ου ἔτους. † Τὸ δὲ βιβλίον τοῦτο ἔστι τῆς μονῆς τῆς μεγαλομάρτυρος τοῦ Χριστοῦ ἁγίας Ἀναστα-

*



σίας τῆς Φαρμακολυτρίας, τῆς ἐν τῷ Μεγάλῳ Βουνῷ κειμένης. καὶ ὁ ἀποξενώσας αὐτὸ κλεψίας ἕνεκεν, ἀποξενώσει αὐτὸν κύριος ὁ Θεὸς ἐκ βίβλου ζώντων· εὕρῃ δὲ καὶ τὴν μεγαλομάρτυρα μαχομένην αὐτῷ ἐν τῇ δευτέρα παρουσία τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν».—«Ὅσοις ἔπεστιν ἡ παροῦσα βίβλος, | τούτοις δέ μοι πέφυκεν εὐχὰς προσφέρειν | λάτρῃ ταπεινῷ Νικοδήμῳ τῷ θύτῃ † τέλος».—«Χριστέ, δίδου μογήσαντι τεὴν πολύολβον ἀρωγὴν Νικοδήμῳ ἱερομονάχῳ τῷ Ἀναστασιώτῃ. — ἐν τῷ ἑπτακισχιλιοστῷ ἑβδομηκοστῷ πρώτῳ ἔτει ἐγράφη ἡ βίβλος αὕτη, ἰνδικτιῶνος ἕκτης. Δόξα ὁ Θεός, δόξα ὁ Θεός, δόξα ὁ Θεὸς τῷ διδόντι τὴν ἀρχὴν καὶ τὸ τέλος † τέλος †».

6. «Πίναξ ἀκριβὴς τῶν ἠθικῶν τε καὶ διδασκαλικῶν λόγων τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου, ἀρχιεπισκόπου Θεσσαλονίκης, τοῦ Παλαμᾶ», φ. 468-471.

23. Τεῦχος μεμβράνινον τῆς ἐνάτης ἑκατονταετηρίδος, ὅπερ ἦν πρότερον ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα, βλαβὲν ἐκεῖ σφοδρῶς ἐξ ὕδατος ἢ σήψεως· ἔστι δὲ μήκους μὲν 0,305, πλάτους δὲ 0,222· τὸ δὲ κείμενον αὐτοῦ μονόστηλον ὂν ἐκ γραμμῶν 25 χῶρον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ περικλείει μήκους μὲν 0,188, πλάτους δὲ 0,126· γέγραπται δὲ μικροῖς γράμμασι τοῦ παλαιοῦ συστήματος ἐπ' αὐτῶν τῶν γραμμῶν· ἔχει μέντοι τὸ τεῦχος ἐν ταῖς ᾤαις ἱκανὰ σχόλια, γεγραμμένα μικροῖς κεφαλαιώδεσι γράμμασιν ἄχρι τῆς 114-ης σελίδος, ἀπὸ δὲ ταύτης καὶ ἑξῆς ἑτέρως· καὶ φαίνεται, ὅτι δύο καλλιγράφοι τὸ τεῦχος ἔγραψαν, οἳ τά τε κοσμήματα τοῦ βιβλίου καὶ τὰ κεφαλαιώδη τούτου γράμματα, τὰ κοσμοῦντα τὴν ἀρχὴν ἑκάστου κεφαλαίου καὶ τὴν ἐπιγραφὴν αὐτοῦ, κατεσκεύασαν ἀφελέστατα. Λείπει μέντοι τοῦ βιβλίου ἡ ἀρχή, τῶν πέντε πρώτων αὐτοῦ τετραδίων ἀπολεσθέντων ἐκ παλαιοῦ· λείπει δὲ καὶ ἕτερά τινα τετράδια, ὧν τὸ κείμενον ἀνεπληρώθη τῇ τεσσαρεσκαιδεκάτῃ ἑκατονταετηρίδι διὰ χάρτου βαμβακεροῦ (ὅρα σελ. 33-56, 330-331 καὶ 348-408). Τὸ τεῦχος μὲν οὖν ἐμπερικλείει συγγράμματα Διονυσίου τοῦ Ἀρεοπαγίτου καὶ τὰ διὰ ταῦτα

Σελ. 52.

Κῶδ. τῆς θ' ἑκατ. ἐν τῇ συλλογῇ τοῦ Σταυροῦ, ἀριθ. 23, σ. 5.

ἑρμηνεύματα Μαξίμου τοῦ ὁμολογητοῦ· καθ' εἱρμὸν δὲ τὴν ἑξῆς ἔχει τάξιν ἐκεῖνα.

77. «Τοῦ μακαριωτάτου καὶ σοφωτάτου πατριάρχου Κωνσταντινουπόλεως κυροῦ Γρηγορίου τοῦ Κυπρίου λόγος εἰς τὸν μεγαλομάρτυρα καὶ τροπαιοφόρον Γεώργιον», οὗ ἡ ἀρχή· «Ἔθος τοῦτο τῶν λόγοις ἀγωνιζομένων», φ. 298. Acta Sanctorum, τ. III ἀπριλίου, σ. xxv.

78. Βίος τοῦ ὁσίου Ἀρσενίου τοῦ μεγάλου, οὗ ἡ ἀρχή· «Ἀλλὰ τῶν σπουδαίων ἄρα καὶ φιλαρέτων», φ. 311β. Τέσσαρα ἀντίγραφα τοῦ τύποις ἀνεκδότου τούτου κειμένου ὅρα παρά τε τῷ Mathaei (Notitia cod. Mosquen. accuratæ, σ. 91 καὶ 123) καὶ παρὰ τῷ Hardt, Catal. cod. mss. bibl. reg. Bavaricae, τ. V, σ. 291. Πρβλ. Архим. Владимiръ, Систематическое описанiе рукописей Московской Синодальной Библiотеки, τ. I, ἐν Μόσχᾳ 1894, σ. 568 καὶ 575.

79. Ὑπόμνημα εἰς τὸν προφήτην Ἠλίαν, οὗ ἡ ἀρχή· «Ἄρτι μὲν αἱ δώδεκα φυλαί», φ. 324. Λατινιστὶ παρὰ τῷ Λιπομάννῳ καὶ παρὰ τῷ Σουρίῳ, τῇ 20-ῇ τοῦ μηνὸς ἰουλίου. Ἀντίγραφα δὲ τοῦ τύποις ἀνεκδότου τούτου κειμένου ὅρα παρά τε τῷ Νικοδήμῳ (Συναξ. I, σ. 269) καὶ ἐν τῇ Μαυρογορδατείῳ μου Βιβλιοθήκῃ, τ. I, σ. 148.

80. Μαρτύριον τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου, οὗ ἡ ἀρχή· «Πάλαι μὲν ἐν τύποις», φ. 330. Migne τ. 115, σ. 1032.

81. Μαρτύριον τῆς ἁγίας Χαριτίνης, οὗ ἡ ἀρχή· «Ἐκράτει ποτὲ τὰ τῆς ἀσεβείας», φ. 335. Migne τ. 115, σ. 907.

82. Μαρτύριον τῶν ἁγίων Εὐλαμπίου καὶ Εὐλαμπίας. Ἀρχ. «Ἄρτι τῆς θεογνωσίας», φ. 337. Migno τ. 115, σ. 1053.

83. Μαρτύριον τοῦ ἁγίου Λογγίνου τοῦ ἑκατοντάρχου. Ἀρχ. «Τοῦ Θεοῦ Λόγου διὰ τὴν ἐκ τῆς παρακοῆς», φ. 340β. Migne τ. 115, σ. 32.

84. Ὑπόμνημα εἰς τὸν ἀπόστολον Λουκᾶν, οὗ ἡ ἀρχή· «Εἰ καὶ δικαίου μνήμην», φ. 344. Migne τ. 115, σ. 1129.

85. Βίος τοῦ ὁσίου Ἱλαρίωνος, οὗ ἡ ἀρχή· «Ἐν Παλαιστίνῃ πόλις ἐστίν», φ. 347β. Ἱεροσολ. Βιβλιοθ. I, σ. 87.

86. Μαρτύριον τοῦ ἁγίου Δημητρίου, οὗ ἡ ἀρχή· «Εἶχε μὲν τὰ Ῥωμαίων», φ. 360β. Migne τ. 116, σ. 1185.



87. Βίος καὶ πολιτεία τῆς ὁσίας Ἀναστασίας τῆς Ῥωμαίας. Ἀρχ. «Διττὰς ἡμῖν ὁ λόγος», φ. 365. Migne τ. 115, σ. 1293. Acta Sanctorum, τ. XII ὀκτωβρίου, σ. 520.

88. Μαρτύριον τῆς ἁγίας Αἰκατερίνης, οὗ ἡ ἀρχή· «Βασιλεύοντος τοῦ ἀσεβεστάτου», φ. 369. Migne τ. 116, σ. 276.

89. Γρηγορίου τοῦ Θεολόγου λόγος εἰς τοὺς Μακκαβαίους, οὗ ἡ ἀρχή· «Τί δαί; οἱ Μακκαβαῖοι» κτλ., φ. 376β. Migne τ. 35, σ. 912.

90. Τοῦ αὐτοῦ «εἰς τοὺς λόγους καὶ εἰς τὸν ἐξισωτὴν Ἰουλιανόν». Ἀρχ. «Τίς ἡ τυραννίς», φ. 381β. Migne τ. 35, σ. 1044.

91. Βίος καὶ πολιτεία τοῦ ἁγίου Νικολάου Μυρέων ἐπισκόπου. Ἀρχ. «Ἐν τοῖς καιροῖς τοῦ βασιλέως Κωνσταντίνου», φ. 386. Petri Lambecii comment. liber VI, σ. 122. Hardt, Catal. cod. mss. bibl. reg. Bavaricae, τ. III, σ. 69. Πρβλ. Архим. Владиміръ, Систем. описаніе рукоп. Москов. Синод. Библіот. I, σ. 570.

92. «Διήγησις εἰς τὸν θρῆνον τοῦ προφήτου Ἱερεμία περὶ τῆς Ἱερουσαλήμ, καὶ εἰς τὴν ἅλωσιν ταύτης καὶ περὶ τῆς ἐκστάσεως Ἀβιμέλεχ». Ἀρχ. «Ἱερεμίας οὗτος ὁ μέγας», φ. 391β. Hardt, Catal. τ. III, σ. 63.

93. «Διήγησις καὶ ἀποκάλυψις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀρχίππου τοῦ ἐρημίτου καὶ προσμοναρίου τοῦ πανσέπτου καὶ σεβασμίου οἴκου τοῦ ἀρχαγγέλου Μιχαὴλ ἐν ταῖς Χώναις». Ἀρχ. «Ἡ ἀρχὴ τῶν ἰαμάτων», φ. 395β. Ἱεροσολ. Βιβλ. τ. II, σ. 62.

94. (Ἀθανασίου Ἀλεξανδρείας) βίος καὶ πολιτεία τοῦ ὁσίου Ἀντωνίου, οὗ ἡ ἀρχή· «Ἀγαθὴν ἅμιλλαν ἐνεστήσασθε», φ. 399β. Migne τ. 28, σ. 835.

95. Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἰωάννου τοῦ Καλυβίτου. Ἀρχ. «Βίον καλὸν καὶ ἐνάρετον», φ. 423β. Migne τ. 114, σ. 568.

96. Ἄθλησις τῆς ἁγίας Εὐγενίας, ἧς ἡ ἀρχή· «Κομμόδου μετὰ Μᾶρκον», φ. 428. Migne τ. 116, σ. 609.

97. «Βίος καὶ πολιτεία καὶ μερικὴ θαυμάτων διήγησις τοῦ ἐν θαύμασι περιωνύμου Νικολάου, ἀρχιεπισκόπου Μύρων τῆς Λυ-



Σελ. 83.

Κῶδιξ παλίμψηστος ἐν τῇ συλλογῇ τοῦ Σταυροῦ, ἀριθ. 36, φ. 155.



κίων ἐπαρχίας». Ἀρχ. «Σοφόν τι χρῆμα», φ. 440 [Migne τ. 116, σ. 317]. Κείμενον ἀτελές, ἕνεκα τῆς ἐκ παλαιοῦ φύλλων τινῶν ἀποκοπῆς.

36. Τεῦχος ἀκέφαλόν τε καὶ ἀτελές, συνιστάμενον ἐκ μεμβρανίνων φύλλων 215, ἁπάντων παλιμψήστων, ὧν τὸ παλαιὸν κείμενον ἀπεσπογγίσθη, καθὰ φαίνεται, περὶ τὸ τέλος τῆς δυοκαιδεκάτης ἢ περὶ τὴν ἀρχὴν τῆς κατόπιν ἑκατονταετηρίδος, ἵνα γραφῶσιν ἐπ' αὐτῶν τινα τῶν συγγραμμάτων τοῦ μεγάλου Βασιλείου· ἦν δὲ καὶ τοῦτο πρότερον ἐν τῇ λαύρᾳ τοῦ ὁσίου Σάβα· ἔστι δ' αὐτοῦ τὰ φύλλα μήκους μὲν 0,282, πλάτους δὲ 0,206· τὸ δ' ἐν αὐτοῖς νεώτερον κείμενον, ὅπερ ἐστὶ μονόστηλον, χῶρον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ περιέλαβεν ὡς 0,23 × 0,15· προσήκει δὲ τὸ παλαιὸν κείμενον δυσὶ κώδιξιν ἑτεροίοις, ὧν ἡ γραφὴ μικροῖς κεφαλαιώδεσι γράμμασι τῆς ὀγδόης ἐστὶν ἑκατονταετηρίδος, ὡς φαίνεται. Καὶ μέρος μὲν τοῦ παλαιοῦ κειμένου, σχηματίζον, ὡς ἐγὼ νομίζω, λείψανον ἰδίου παλαιοῦ κώδικος, ἐμπεριλαμβάνει γραφικῶν τινων ῥημάτων ἑρμηνείαν Ἰωάννου τοῦ Χρυσοστόμου, καθὰ δείκνυσι κόσμημα πορφυροῦν τετραγώνου σχήματος παραλληλογράμμου, ἐν ᾧ τὸ ὄνομα τοῦ Χρυσοστόμου περιέχεται· διέκρινα δὲ τὰ ἴχνη τούτου τοῦ κοσμήματος ἐν τῷ 85-ῳ φύλλῳ· τὸ δὲ λοιπὸν τῶν φύλλων, τὰ πλείω, προσήκει λειψάνῳ πάλιν ἑτέρου κώδικος, ἐν ᾧ περιέχεται μέρος ἐκ τῆς βίβλου τοῦ Ἰὼβ μετὰ πολλῶν ἐν ταῖς ᾤαις ἑρμηνευμάτων, ἅπερ ἐν τοῖς γνωστοῖς ὑπομνήμασιν ὑπάρχει τοῦ Ὀλυμπιοδώρου. Τὸν κώδικα τοῦτον εἶδε πρότερον ὁ Tischendorf, ὃν ὅμως οὕτω περιέγραψε· «Plures libros palimpsestos vel graecos vel ibericos deteximus in monasterio S. Crucis prope Hierosolyma - - - In alio codice sub recentiore scriptura graecae litterae unciales saeculi VIII apparent. Cuius scripturae antiquioris exempla duo haec sunt: πολλακις τις ινα μη εις οφθαλμον λαβη την πληγην, τιμιον μελος δεχεται δερμα υπερ:- η κοπρια η παντος θρονου βασιλεικου σεμνοτερα· απο μεν γαρ του θρονο . . . . βασιλικου ουδεν - - κερδος αλλα προσκαιρος τερψις» [Anecdota sacra et profana ex

*



Oriente et Occidente allata. Editio repetita. Lipsiae 1861, σ. 225]· μετὰ δ' ἐμὲ περιέγραψε τὸν αὐτὸν ἱκανῶς ὁ J. Rendel-Harris [Haverford College Studies, № I, σ. 14-15]. Καὶ ταῦτα μὲν περὶ τοῦ παλαιοῦ κειμένου, τὸ δὲ μεταγενέστερον ἐμπεριλαμβάνει ταῦτα·

1. Βασιλείου Καισαρείας ἀκέφαλος ὁμιλία εἰς τὴν Χριστοῦ, γέννησιν, ἧς αἱ πρῶται λέξεις ἔχουσιν ὧδε· «- - - τοῦτο δὴ καὶ ὁ Θεὸς Λόγος οὔτε ἐκινήθη ἐξ ἑαυτοῦ», φ. 1. Migne τ. 31, σ. 1460c.

2. «Τοῦ αὐτοῦ ὁμιλία περὶ πίστεως», ἧς ἡ ἀρχή· «Θεοῦ μεμνῆσθαι», φ. 6. Migne τ. 31, σ. 464.

3. Τοῦ αὐτοῦ ἐπιστολαὶ σνθ' (φ. 14-215), ἀτάκτως ὅμως ἐν τῷ χειρογράφῳ τεταγμέναι· τὸ δὲ σφάλμα τῆς ἀταξίας οὐ τοῦ καλλιγράφου, ἀλλὰ τοῦ δέτου τῆς βίβλου. Τελευταία τῶν ἐπιστολῶν ἡ «Νικοπολίταις πρεσβυτέροις», ἣ λήγει νῦν οὕτως ἐν τῷ κώδικι· «ἑαυτῶν ὁ Θεὸς ἀδυναμίαν συνῆψεν φυ - - -». Ἐν τῷ κρασπέδῳ τοῦ φ. 206β σημείωμα τοιοῦτον «[illegible]».

37. Τεῦχος ἐκ χάρτου τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος (0,283 × 0,215), συνιστάμενον ἐκ σελίδων 274, ὧν τὸ κείμενον ὑπάρχει δίστηλον ἐκ γραμμῶν 32 μέχρι 34 (0,215 × 0,15)· κοσμεῖται δὲ τοῦτο πολλαχοῦ κοσμήμασιν ἐρυθροῖς, ἐπιγραφαῖς τε καὶ κεφαλαιώδεσι γράμμασιν ὡσαύτως ἐρυθροῖς. Μετὰ τὴν πρώτην πινακίδα σημείωμα τοιοῦτον ἐπὶ φύλλου λευκοῦ χάρτου. «Ἐπὶ τῆς πατριαρχείας τοῦ μακαριωτάτου Κυρίλλου τοῦ Β' ἐλήφθη ἐκ τῆς ἐν Ἱερουσαλὴμ βιβλιοθήκης τοῦ Ἱεροῦ Κοινοῦ τοῦ Παναγίου Τάφου τὸ παρὸν χειρόγραφον, ἐν ᾧ εἰσιν αἱ πράξεις καὶ αἱ ἐπιστολαὶ τῶν Ἀποστόλων καθ' ἣν ἡ ἐκκλησία διατηρεῖ διάταξιν αὐτῶν, καὶ ἐναπετέθη ἐν τῇ βιβλιοθήκῃ τῆς μεγάλης πατριαρχικῆς σχολῆς· ἧς καὶ τῇ σφραγῖδι ἐπεσφράγισται, πρὸς χρῆσιν μόνον τῶν ἐν αὐτῇ διδασκόντων καὶ διδασκομένων. Ἐν ἔτει ͵αωνη' αὐγούστου θ'».



1. «Πρόλογος τῶν Πράξεων», οὗ ἡ ἀρχή· «Ὅσοι τῆς ὄντως πάνυ πως ἀρχιθέου καὶ θεοφιλοῦς ἀθανασίας εἰσὶν ἐρασταὶ» κτλ., 1 σελ.

2. «Ὑπόθεσις τῆς βίβλου τῶν Πράξεων τῶν Ἀποστόλων», ἧς ἡ ἀρχή· «Πράξεις Ἀποστόλων το βιβλίον καλεῖται», σελ. 4.

3. «Τῶν δὲ κατασταθέντων διακόνων παρὰ τῶν ἀποστόλων τὰ ὀνόματα ἐστὶ ταῦτα: Πρῶτος Στέφανος, εἶτα Φίλιππος» κτλ, σ. 5.

4. «Ἀποδημία τοῦ ἀποστόλου Παύλου». Ἀρχ. «Ἀπὸ Δαμασκοῦ ἤρξατο καὶ ἀνῆλθεν», σελ. 7.

5. «Τὸ μαρτύριον τοῦ ἁγίου Παύλου». Ἀρχ. «Ἐπὶ Νέρωνος τοῦ καίσαρος», σελ. 8.

6. «Ἔκθεσις κεφαλαίων τῶν Πράξεων τῶν Ἀποστόλων». Ἀρχ. «Ἐκ πατέρων ἡμεῖς καὶ διδασκάλων», σελ. 9.

7. «Αἱ Πράξεις τῶν ἁγίων Ἀποστόλων», σελ. 14-84.

8. Ἐπιστολαὶ καθολικαὶ μετὰ τῶν ὑποθέσεων Εὐθαλίου, σελ. 84-114.

9. Ἰωάννου τοῦ Χρυσοστόμου «προοίμιον ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς, περιέχον περὶ τῆς τάξεως τῶν ἐπιστολῶν καὶ τῶν ἐν ἑκάστῃ καφαλαίων». Ἀρχ. «Συνεχῶς ἀκούων ἀναγινωσκομένων», σελ. 114.


10. Ἐπιστολαὶ τοῦ ἀποστόλου Παύλου μετὰ τῶν ὑποθέσεων Εὐθαλίου καὶ πινάκων τῶν κεφαλαίων αὐτῶν, σελ. 124 κέ.

38. Γεωργίου τοῦ Φραντζῆ χρονικόν, τὸ παλαιότερον τῶν ἤδη γνωστῶν ἀντιγράφων, γενόμενον περὶ τὴν ἀρχὴν τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος καὶ συνιστάμενον ἐκ φύλλων ἠριθμημένων 104, ὧν ὅμως ἐξέπεσε τὸ πρῶτον· ὀκτὼ δ' ἕτερα φύλλα (41-48) Πορφύριος ὁ Οὐσπένσκης ἀπέκοψε, δοὺς αὐτὰ τῇ Πετρουπόλεως αὐτοκρατορικῇ δημοσίᾳ βιβλιοθήκῃ (ἀριθ. 479. Отчетъ Импер. Публ. Библ. за 1883 г., σ. 157)· ἦν δε καὶ τοῦτο τὸ τεῦχος ἐν τῇ μονῇ τοῦ ἁγίου Σάβα, καὶ μήκους μὲν ἔστι 0,59, πλάτους δὲ 0,21· τὸ δὲ κείμενον, ὅπερ ἐστὶ μονόστηλον, ἀριθμεῖ ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ γραμμὰς 42 (0,225 × 0,125). Ἐν τῇ ἀρχῇ κόσμημα κόκκινον, ὅμοιον εὐρυτάτῳ Π, ὑφ' ὃ γράμμασι



κοκκίνοις ὡσαύτως τὸ «Ἀρχὴ τοῦ χρονικοῦ σὺν Θεῷ ἁγίῳ περὶ τῶν αἰτιῶν (τῆς) τῶν Παλαιολόγων βασιλείας βιβλίον πρῶτον, κεφάλαιον α'», οὗ ἡ ἀρχή· «Ὁ τῆς ἀρχῆς ἐπιβήτωρ Ἀλέξιος» κτλ. Διήρηται δὲ τὸ πρῶτον βιβλίον εἰς κεφάλαι λ'. Κατὰ τὴν Βονναίαν ἔκδοσιν ἐκ τούτου τοῦ κώδικος λείπουσιν αἱ γραμμαὶ 13-16 τῆς 64-ης σελίδος· ὅσα δὲ κενὰ ὁ κῶδιξ ἐμφανίζει P, ἔχει τῷ ὄντι καὶ τὸ παλαιστινὸν ἀντίγραφον. Τὸ τρίτον βιβλίον ἀκέφαλον διὰ τὴν ἁρπαγὴν ὀκτὼ φύλλων, ὡς εἴρηται· ἄρχεται δὲ νῦν ἀπὸ τῶν λέξεων τούτων· «Ἰβηρίᾳ. ὡς οὖν παρεγενόμην εἰς Τραπεζοῦντα» κτλ. [Bonn. σ. 210, 20]. Μεταξὺ δὲ τῶν φ. 69-72 εὑρίσκεται ἡ «τοῦ σοφωτάτου καὶ λογιωτάτου κυροῦ Γενναδίου τοῦ Σχολαρίου καὶ πατριάρχου Κωνσταντινουπόλεως, Νέας Ῥώμης, ὁμιλία, ῥηθεῖσα περὶ τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως τῶν χριστιανῶν» ἑλληνιστὶ καὶ τουρκιστί. Τέλος τοῦ δ' βιβλίου· «τῷ δὲ θέρει τοῦ αὐτοῦ ἔτους, ,ϛϠπε' ὁ ἀμηρᾶς ἀποστείλας πλεῖστον στρατόπεδον κατὰ τοῦ Ναυπάκτου, ἵνα παραλάβῃ αὐτόν, εἶτα εἰς τὴν Ἁγίαν Μαῦραν ἐπέλθῃ· ὅθεν βοηθείᾳ Θεοῦ οὔτε τὸν Ναύπακτον παρέλαβε τῷ αὐτῷ ἔτει, οὔτε κατὰ τῆς Ἁγίας Μαύρας ἦλθεν, ἀλλ' ὑπέστρεψεν ἄπρακτος». Μεθ' ὃ σημείωμα ἦν, ὅπερ ἐκ παλαιοῦ τις ἀπέκοψεν, γράψας ἀντ' αὐτοῦ τάδε· «Τέλος καὶ τῷ Θεῷ δόξα, καὶ οἱ ἀναγινώσκοντες ἐὰν καὶ λαθόντι συγχωρεῖτέ μοι διὰ τὸν Κύριον· τὸ γῆρας γὰρ τὸ ἐμὸν καὶ ἡ δεινὴ ἀσθένεια οὐκ εἴασάν με τὸ παρὸν πρωτότυπον μεταγράψαι καὶ διορθῶσαι, ἀλλ' ὡς ἐσχεδίασα εἴασα τοῦτο· τοῖς βουλομένοις δὲ διορθῶσαι χάρις εἴη». Ἐν τῷ κρασπέδῳ τοῦ 65-ου φύλλου σημείωμα· «Βιβλίον τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τοῦ ενεροκουροις» [sic]. Καὶ πάλιν ἐν τῷ κρασπέδῳ τοῦ 73-ου φύλλου· «✝ Ἰωάννης διάκονος τῆς Παναγίας τῆς Σουμελᾶς. 1672».

39. Τεῦχος ἐκ χάρτου στιλπνοῦ, γραφὲν ἔτει 1671-ῳ καὶ συνιστάμενον ἐκ φύλλων 213, μήκους 0,29, πλ. 0,205. Γράψιμον λεπτοφυές, κανονικώτατον καὶ καθαρώτατον. Ἐν ἑκάστῃ σελίδι, ἧς ὁ χῶρος ὡς 0,176×0,115, γραμμαὶ 31. Ἐν τῇ δευτέρᾳ σελίδι τοῦ 1-ου φύλλου πίναξ τῶν ἐν τῷ κώδικι περιεχο-



μένων συγγραφῶν· τὸ δεύτερον φύλλον ὅλως ἄγραφον. Ἐν δὲ τῇ πρώτῃ σελίδι τοῦ προτέρου φύλλου κεῖται μακρὰ σημείωσις, ἧς τὸ κυριωδέστερον ἀπὸ τῆς ἀρχῆς μέρος οὕτως ἀπαραλλάκτως ἔχει· «1728 ὀκτωμβρίου α' ἀναικνήσθηκεν ἠκκλησία τὸν ἁγίον Ἀποστόλων δηλαδὴ ἡ μιτρόπολις ἐκ βάθρον εἰς τὸν καιρὸν τοῦ πανιεροτάτου κῦρ Ἰωακεῖμ, ἐπισυνδρομῆς τοῦ λογιοτάτου κὺρ Μανόλη λογοθέτου, καὶ τοῦ τημηοτάτου κὺρ χατζῆ-Γιοβάνου προτέκδηκου, καὶ ἐμοῦ θύο [=θείου]. ἠπάρχοντες ἐπίτροπη ὁ χατζῆ-Μανόλης, Πηκέλος, καὶ Θωμᾶς Καρήδας, καὶ ἔγιναν ἔξοδα τὴς ἀνακοδομῆς αὐτῆς τῆς ἐκκλησίας παράνο ἀπὸ τὰ δέκα πέντε πονκία, καὶ ἔσθο εἰς ἐνθήμεσιν τῷ παρὸν ὑπόγραμμα χαμοῦ τοῦ χατζῆ-Δήμου υἱῷ Ἰωάννου τῆς Κοκόνας:- 1731 σεπτεμβρίῳ 23 ἐστάθηκα ἐγὼ ὁ ἄνωθεν χατζῆ-Δῆμος τοῦ Ἰωάννου ἐπίτροπος εἰς αὐτὴν τὴν μητρόπολιν τῆς ἐκκλησίας τὸν ἁγίον Ἀποστόλων χρόνους ἔξη, καὶ εἰς τὸν καὶ ρόν μου ἔγινεν καὶ ὁ παρὸν τέπλος μαζῆ καὶ ὁ θρόνος ὁαρχιερατηκὸς μετὸν ἄμβονα, καὶ ἔγιναν ἔξοδα εἰς αὐτὰ ἔος τριακόσιαις χιλιάδες ἄσπρα, ἤστερα δὲ ἀγοράσαμεν καὶ τὰ ἀναλόγια γρόσια ἑκατόν· ὁμοίως εὐχηάσαμεν καὶ τές ἠκόνες τοῦ τέπλου καὶ ἐδόσαμεν καὶ εἴς αὐτὲς γρόσια ἑκατὸν εἴκοσι· ἀκόμα εὐχηάσαμεν καί τὴν πατερίτζα τὴν ἀρχιερατηκήν, ἐκαλοπίσαμεν καὶ τὴν μαρμαρόστροσιν» κτλ.

Συμεὼν ἀρχιεπισκόπου Θεσσαλονίκης ἔργα. Migne τ. 155.

1. «Διάλογος ἐν Χριστῷ κατὰ πασῶν τῶν αἱρέσεων, καὶ περὶ τῆς μόνης πίστεως τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τῶν ἱερῶν τελετῶν τε καὶ μυστηρίων πάντων τῆς ἐκκλησίας, οὐδὲν αὐτοῦ ἴδιον κεκτημένος, ἀλλ' ἐκ τῶν ἁγίων γραφῶν καὶ τῶν πατέρων ἐρανισθεὶς αὐτῷ καὶ συντεθεὶς κατὰ δύναμιν, ἀπολογίαν διδοὺς ἑκάστῳ τῶν κατὰ καιροὺς ἠρωτηκότων» κτλ. Ἀρχ. «Ἐν Χριστῷ μονογενεῖ», φ. 3.

2. «Ἀποκρίσεις πρὸς τὰς ἐρωτήσεις τοῦ ἱερωτάτου μητροπολίτου Πενταπόλεως κυροῦ Γαβριήλ». Ἀρχ. «Ἔδει μὲν τὰς τοιαύτας», φ. 158.

3. «Τοῦ αὐτοῦ ἑρμηνεία συνοπτικὴ κατὰ δύναμιν εἰς τὸ τῆς



ὀρθοδόξου καὶ ἀμωμήτου ἡμῶν πίστεως τῶν χριστιανῶν θεῖον καὶ ἱερὸν σύμβολον». Ἀρχ. «Περὶ τοῦ ἱερωτάτου συμβόλου», φ. 183.

4. «Ἔκθεσις τοῦ αὐτοῦ ἀναγκαιοτάτη περὶ τῶν τοῦ ἱεροῦ συμβόλου ῥήσεων, ὅθεν καὶ συνελέγησαν καὶ κατὰ τίνων αὗται συγκείμεναί εἰσιν». Ἀρχ. «Καλὸν ἐκθέσθαι», φ. 195.

5. «Τοῦ αὐτοῦ περιεκτικὰ ὡς δυνατὸν τῆς μόνης τῶν χριστιανῶν πίστεως κεφάλαια δώδεκα, ἅπερ τινὲς ἄρθρα καλοῦσι τῆς πίστεως, σαφέστερον συντεθέντα παρὰ τοῦ ταπεινοῦ ἀρχιεπισκόπου Θεσσαλονίκης· καὶ ὅτι ταῦτα περιέχει τὸ θεῖον σύμβολον, καὶ περὶ τῶν περιεκτικῶν ἀρετῶν». Ἀρχ. «Ἡ ἀληθὴς καὶ μόνη», φ. 197β.

6. «Τοῦ αὐτοῦ - - - περὶ ἱερωσύνης πρός τινα τῶν εὐλαβῶν μοναχῶν, ἱερᾶς διακονίας ἠξιωμένον καὶ ἔτι τοῦ ἀρχιερέως εἰς τὸν τοῦ πρεσβυτέρου τελοῦντος τότε βαθμόν». Ἀρχ. «Ἐν Χριστῷ μοι ἀγαπητέ», φ. 200.

7. «Τοῦ αὐτοῦ ἐπιστολὴ προτρεπτικὴ πρὸς σωτηρίας ὁδόν, ἀποσταλεῖσα ἐν ταῖς κατὰ πᾶσαν τὴν ἐπαρχίαν αὐτοῦ ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις». Ἀρχ. «Συμεὼν ἐλάχιστος δοῦλος», φ. 205. Διῄρηται δὲ ἡ ἐπιστολὴ αὕτη, ἥτις ἀνέκδοτος ἀφέθη τύποις, εἰς κεφάλαια πέντε καὶ δέκα. α΄) Περὶ ὑπακοῆς· πῶς δεῖ πείθεσθαι τοῖς ἡγουμένοις. β΄) Πῶς δεῖ τηρεῖν τὴν πίστιν. γ΄) Ὅτι οὐδὲν τῶν παρόντων μόνιμον καὶ ἄφθαρτον. δ΄) Ὅτι δεῖ καταφρονεῖν τῶν παρόντων. ε΄) Ὅτι δεῖ ἐπιμελεῖσθαι τῆς ψυχικῆς σωτηρίας. ς΄) Ὅτι δεῖ τιμᾶν τὰς ἑορτασίμους ἡμέρας. ζ΄) Ὅτι δεῖ τῆς ἐξομολογήσεως ἀντέχεσθαι. η΄) Πῶς δεῖ τοὺς ἱερωμένους πολιτεύεσθαι. θ΄) Πῶς δεῖ τοῖς λαϊκοῖς εὐλαβεῖσθαι τοὺς ἱερωμένους. ι΄) Ὅτι δεῖ τοῖς πατρᾶσι τὰ ἑαυτῶν τέκνα εἰς πᾶσαν ἀρετὴν ἐθίζειν. ια΄) Πῶς δεῖ τοὺς ἄνδρας πρὸς τὰς ἑαυτῶν διακεῖσθαι γυναῖκας. ιβ΄) Πῶς δεῖ ταῖς γυναιξὶ τοῖς ἑαυτῶν ἀνδράσιν ὑπείκειν. ιγ΄) Ὅτι δεῖ ταῖς γυναιξὶ τοὺς ἑαυτῶν παῖδας μὴ καταμολύνειν γοητείαις τισίν. ιδ΄) Ὅτι δεῖ προσφέρειν ὑπὲρ τῆς ἑαυτῶν καὶ τῶν οἰκείων σωτηρίας καὶ μνήμας ἁγίων ποιεῖν κατὰ δύναμιν. ιε΄) Ἠθικὸν (συμπέρασμα). Μετὰ δὲ τὸ τέλος αὐτοῦ γέγραπται

τὸ σημείωμα τοῦ καλλιγράφου, ὅπερ ἔχει ὧδε· «Ἐγράφη τὸ παρὸν βιβλίον, ὁ ἐκκλησιαστικὸς διάλογος, παρ' ἐμοῦ τοῦ ταπεινοῦ ἐπισκόπου Κίτρους Ἰωακείμ, ἐν τῇ ἁγιωτάτῃ μητροπόλει Θεσσαλονίκης· καὶ οἱ ἀναγινώσκοντες σὺν Θεῷ εὔχεσθε, καὶ ἡμῶν μέμνησθε· καὶ εἴ τι σφαλερὸν εἴη ἐπανορθώσατε· μή μοι μέμψη γένοιτο τῇ ἀμαθίᾳ· ὁμολογῶ τὸ ἥμαρτον καὶ τὸ ἄλφα οὐκ οἶδα.— Ἐπὶ ἔτους σωτηρίου ͵αχοα", μηνὸς μαΐου λ'».

40. Συναξάριον καὶ τυπικὸν τῆς ἐκκλησίας Κωνσταντινουπόλεως, ὅπερ ἐντολῇ συνεγράφη τοῦ βασιλέως Κωνσταντίνου ζ' τοῦ πορφυρογεννήτου. Καλὸν ἀντίγραφον, γενόμενον ἢ περὶ τὸ τέλος τῆς δεκάτης ἢ περὶ τὴν ἀρχὴν τῆς ἑνδεκάτης ἑκατονταετηρίδος· σύγκειται δ' ἐκ φύλλων μεμβρανίνων 246, μήκους μὲν 0, 277, πλάτους δὲ 0,21· ὧν τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ γραμμὰς ἀριθμεῖ 34, μονόστηλον ὂν καὶ χῶρον ἐμπεριλαμβάνον ὡς 0,207 × 0,15. Μετὰ τὸ 214-ον φύλλον ἐξερρύη φύλλον ἓν ἐκ παλαιοῦ, ὅπερ ἐσχημάτιζε μέρος ὄγδοον τοῦ κζ' τετραδίου· ἀλλὰ καὶ τῶν λοιπῶν φύλλων οὐκ ὀλίγα βροχῆς ἢ ὕδατος ἔβλαψεν εἰσβολή, σῆψιν μὲν ἐπὶ τὰς ἄκρας αὐτῶν οὐ μικρὰν ἐπαγαγοῦσα, τελείαν δ' ἐν τῷ κειμένῳ στίχων τινῶν ἐξαφάνισιν· ἠρίθμει δὲ τὸ τεῦχος τοῦτο τετράδια λα', ὧν ἔνια τὴν τάξιν ἄτακτον ἔχει νῦν· ἀρχαῖός τις ὅμως ἀναγνώστης αὐτὴν ἠνώρθωσεν, ἐγγραψάμενος ὡς εἰκὸς ὁδηγίας τινὰς πρὸς τοῦτο χρησίμους. Τέλος δὲ περιέχει τὸ βιβλίον ἐν τῷ πρώτῳ φύλλῳ κόσμημα κόκκινον ὁμοιάζον εὐρυτάτῳ κεφαλαιώδει γράμματι Π.

1 Συναξάριον καὶ τυπικὸν ἀνεπίγραφον ἀπὸ τοῦ σεπτεμβρίου μέχρι τοῦ μηνὸς αὐγούστου (φ. 1-214), οὗ τὸ τέλος, ὅπερ ἐμπεριεῖχε τῆς 30-ῆς καὶ τῆς 31-ης αὐγούστου μηνὸς τὴν ἀκολουθίαν, τὴν ἀρχήν τε τῶν σὺν τῷ Τριῳδίῳ τυπικῶν, ἐξέπεσεν. Ἐν τούτῳ μὲν οὖν τῷ συναξαρίῳ περιέχονται καὶ μνῆμαι πατριαρχῶν τῆς Κωνσταντινουπόλεως, ἐπὶ Κωνσταντίνου τοῦ πορφυρογεννήτου καθαγιασθέντων, ὧν ἔσχατος ὁ Τρύφων (τῇ 18-ῃ μηνὸς ἀπριλίου)· ἐπειδὴ δὲ μόνος ἐν αὐτῷ Κωνσταντῖνος ὁ πορφυρογέννητος ὀνομάζεται, ἡ δὲ μνήμη τοῦ πατριάρχου λείπει Θεοφυλάκτου, θα-



νόντος ὡς γνωστὸν ἔτει 956-ῳ, φαίνεταί μοι βέβαιον οὕτως εἶναι, ὅτι τοῦτο τὸ συναξάριον ἀναμεταξὺ συνετάχθη τῶν ἐτῶν 945 καὶ 950.

2. Συναξάρια καὶ τυπικὰ τοῦ Πραξαποστόλου καὶ τοῦ Εὐαγγελίου, ἀπὸ τῆς ἀρχῆς τοῦ Τριῳδίου μέχρι τῆς Πεντηκοστῆς, φ. 215.

3. «Ἀρχοτέλεια τοῦ ἁγίου Ἀποστόλου καὶ τοῦ ἁγίου Εὐαγγελίου Σαββάτῳ καὶ Κυριακῇ, τὰ ἀναγινωσκόμενα ἀπὸ τῆς ἁγίας ν' μέχρι τῆς Κυριακῆς πρὸ τῆς Ἀπόκρεω». Ἀρχ. «Τῇ β' ἤγουν τῇ ἐπαύριον τῆς ν' σύναξις τελεῖται» κτλ., φ. 236β.

4. «Προκείμενα ἀναγνώσματα ἑωθινὰ τῶν η' ἤχων καὶ ἀρχοτέλεια τῶν ια' εὐαγγελίων ὁμοίως τῶν ἑωθινῶν», φ. 240.

5. «Προκείμενα ἀναστάσιμα καὶ τῆς λειτουργίας», φ. 241.

6. «Προκείμενα καὶ ἀρχοτέλειαι τῶν Εὐαγγελίων τῶν μεγάλων ἑορτῶν τοῦ ὄρθρου», φ. 241β.

7. «Τάξις γινομένη εἰς ἐγκαίνια ἐκκλησίας», φ. 242.

8. «Ἀρχοτέλειαι τῶν Σταυρωσίμων, τοῦ Ἀποστόλου καὶ τοῦ Εὐαγγελίου εἰς τὸν θέλοντα Τετράδα καὶ Παρασκευὴν λειτουργίας ἐπιτελεῖν, εἴτε καὶ προηγιασμένην, εἴτε καὶ τελείας», φ. 242β.

9. Εἰς διαφόρους λιτάς, φ. 243.

10. «Ἱππολύτου ἐπισκόπου Ῥώμης καὶ Δωροθέου ἐπισκόπου Τύρου καὶ ἱερομάρτυρος, περὶ τῶν μαθητῶν τοῦ Χριστοῦ, ὅπου ἕκαστος αὐτῶν ἐκήρυξε τὸ εὐαγγέλιον τοῦ Χριστοῦ καὶ ἐτελειώθη». Ἀρχ. «Πέτρος· οὗτος ἐκήρυξε ἐν Γαλιλαίᾳ» κτλ., φ. 244.

11. Γράμματος ἀντίγραφον, ὡς φαίνεται, πρὸς Κωνσταντῖνον τὸν πορφυρογέννητον περὶ τῆς συντάξεως τούτου τοῦ συναξαρίου, ὅπερ ἐπιγράφεται «σύνοψις ἱστορίας τῶν (ἐν) ταῖς κυκλοφερικαῖς τοῦ ἔτους περιόδοις τελουμένων ἁγίων ἑορτῶν». Ἀρχ. «Σὺ μέν, ὦ θειότατε καὶ κράτιστε βασιλεῦ», φ. 245. Τίτλον ἔχει τὸ γράμμα ψευδεπίγραφον· «Ἐκ τῆς διηγήσεως Ἱππολύτου ἐπισκόπου Ῥώμης καὶ Δωροθέου ἐπισκόπου Τύρου καὶ Ῥώμης»· ἀλλ' ὁ τίτλος οὗτος ἐπισφραγίζει βεβαίως τὸ πρὸ τῆς ἐπιστολῆς κείμενον· αὐτῆς δὲ τὴν ἐπιγραφὴν ὁ καλλιγράφος ἔγραψεν ἐν τῷ κρασπέδῳ, γράψας ἐν αὐτῷ μόνον ἁπλῶς τὸ «ἐπιστολή». Τέλος δὲ καὶ οὗτος ὁ κῶδιξ πρότερον ἦν ἐν τῇ λαύρᾳ Σάβα τοῦ ἡγιασμένου.

41. Τεῦχος τῆς δεκάτης ἑκατονταετηρίδος, ὅπερ ἦν ὡσαύτως ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα πρότερον, ἐκ φύλλων μεμβρανίνων συνιστάμενον ἠριθμημένων 319, τὸ δ' ἀληθὲς ἐκ 321, ἐπειδὴ τούτων δύο τὸν αὐτὸν ἐκ παραδρομῆς ἀριθμὸν ἔχει, ὃν καὶ τὰ πρότερα (φ. 36 καὶ 114 δίς)· ἔστι δὲ μήκους μὲν 0,275, πλάτους δὲ 0,21. Σημειωτέον ὅμως, ὅτι τὰ μέχρι τοῦ 216-ου φύλλου δίστηλα κείμενα παρὰ τριῶν ἐγράφη καλλιγράφων· τούτων δ' αἱ σελίδες γραμμὰς ἀριθμοῦσιν ὁτὲ μὲν 28 ἢ 29, ὁτὲ δὲ 33 μέχρι 40· τὰ δὲ κατόπι φύλλα μέχρι τέλους αὐτοῦ τοῦ κώδικος, κείμενον ἔχοντα μονόστηλον ἐξ 28 ἢ καὶ 29 στίχων, τεῦχος ἀπετέλει πρότερον ἴδιον· ἐν ἀμφοτέροις ὅμως αἵ τε ἐπιγραφαὶ καὶ τὰ κεφαλαιώδη στοιχεῖα γράμμασιν ἐγράφησαν ἁπανταχοῦ μέλασιν. Ἐν δὲ τῷ κρασπέδῳ τοῦ 1-ου φύλλου γέγραπται τοῦτο· «† Ὁ ἐν μοναχοῖς Θεόφιλος μητροπολίτης Πέτρας καὶ τῆς πόλεως Κοράκης». Καὶ πάλιν ἐν τῷ φύλλῳ 156^{β} σημείωμα μάκρὸν ὑπάρχει, γεγραμμένον γράμμασιν ἀραβικοῖς, οὗ ἡ ἔννοια τοιαύτη: ὅτι τοῦτο τὸ βιβλίον ἀφιέρωσε τῇ μονῇ τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου, τῇ ἐγγὺς τοῦ ποταμοῦ Ἰορδάνου, Θεόφιλος ἀρχιερεὺς Πέτρας Ἀραβίας καὶ τῆς πόλεως Κάρακ· ἐπεκύρωσε δὲ τὸ σημείωμα γράμμασιν ἑλληνικοῖς αὐτὸς «† ὁ ἐν μοναχοῖς Θεόφιλος μητροπολίτης Πέτρας Ἀραβίας καὶ πόλεως Κορακήας»· τοῦτο δὲ τὸ σημείωμα νομίζω γεγράφθαι περὶ τὸ τέλος τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος· ὑπεγράψατο δὲ Θεόφιλος οὗτος αὐτοῦ τὸ ὄνομα καὶ ἐν ἑτέρῳ τόπῳ τοῦ κώδικος (φ. 86^{β}). Ἕτερον δὲ σημείωμα τῆς ιβ' ἑκατ. οὕτως ἔχει (φ. 152^{α})· «Ἰω(άννης) ὀμμουήλου γόνος καὶ Σταυρούλας υἱέας, ὁ ἐν Ἐξογύγω φῦς καὶ ἐν Ἀδρεανουπόλει θραφῶν φωτιστῆς καὶ χάρις τῶ ζωοδώρω καὶ φωτοδότι Χριστῶ».

1. Βίος ἀκέφαλος τοῦ ὁσίου Στεφάνου διακόνου τοῦ νέου, οὗ νῦν αἱ πρῶται λέξεις ἔχουσιν ὧδε· « - - - ἔννοιαν. ὁ μηδέποτε εἰς τοιοῦτον τι ἐπιχειρήσας πάσῃ μου δυνάμει ἑαυτὸν ἐπιδέδωκα, τὴν προγονικὴν τῆς Εὔας ἐν νῷ λαβὼν» κτλ., φ. 1-57

2. «Παντολέοντος διακόνου τῆς Μεγάλης Ἐκκλησίας ἐγκώμιον



εἰς τὸν παμμέγιστον Μιχαὴλ τὸν ἀρχιστράτηγον», οὗ ἡ ἀρχή· «Ὁ τῶν ἀύλων πνευμάτων κύριος», φ. 57. Fabrici, Bibl. Graeca X, σ. 199. Ἱεροσολ. Βιβλιοθ. I, σ. 393.

3. «Τοῦ αὐτοῦ Παντολέοντος, διακόνου τῆς Μεγάλης Ἐκκλησίας, διήγησις θαυμάτων τοῦ παμμεγίστου ἀρχαγγέλου Μιχαήλ». ἧς ἡ ἀρχή· «Μεγάλαι καὶ πολλαί», φ. 63 [Ἱεροσολ. Βιβλιοθ. I, σ. 34, 356, 393. II, σ. 222]. Τέλος· «ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου - - - -».

4. «Νικήτα, δούλου Ἰησοῦ Χριστοῦ, τοῦ φιλοσόφου, ἐγκώμιον εἰς τὸν ἅγιον καὶ πανεύφημον τοῦ Χριστοῦ ἀθλοφόρον Εὐστράτιον καὶ τοὺς σὺν αὐτῷ Αὐξέντιον Εὐγένιον καὶ Ὀρέστην». Ἀρχ. «Τί λαμπρὰ τῶν ἀθλοφόρων ἡ μνήμη», φ. 70. Κείμενον ἀσημείωτον πάρα τε τῷ Νικοδήμῳ καὶ τῷ Φαβρικίῳ.

5. Γρηγορίου τοῦ Θεολόγου «εἰς Βασίλειον ἐπίσκοπον Καισαρείας Καππαδοκίας ἐπιτάφιος». Ἀρχ. «Ἔμελλεν ἄρα πολλὰς» κτλ., φ. 82. Migne τ. 36, σ. 493.

6. Τοῦ αὐτοῦ λόγος εἰς τὸ ἅγιον πάσχα, οὗ ἡ ἀρχή· «Ἐπὶ τῆς φυλακῆς μου στήσομαι», φ. 128β. Migne τ. 36, σ. 624.

7. Βασιλείου Καισαρείας ὁμιλία προτρεπτικὴ εἰς τὸ βάπτισμα. ἧς ἡ ἀρχή· «Ὁ μὲν σοφὸς Σολομών», φ. 134. Migne τ. 31, σ. 424.

8. «Λεοντίου πρεσβυτέρου, μοναχοῦ καὶ ἡγουμένου τῆς μονῆς τοῦ ἁγίου Σάβα τῆς Ῥωμαίων πόλεως, διήγησις εἰς τὸν βίον καὶ εἰς τὰ θαύματα τοῦ ὁσίου καὶ μακαρίου πατρὸς ἡμῶν Γρηγορίου, ἐπισκόπου γεναμένου τῆς Ἀκραγανθ(ίνων) ἐκκλησίας, ἤτοι τῶν Σικελῶν ἐπαρχίας». Ἀρχ. «Φοβερὸν καὶ ἀκατάληπτον θαῦμα», φ. 153. Ἱεροσολ. Βιβλιοθ. III, σ. 80.

9. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὸ ἅγιον βάπτισμα, οὗ ἡ ἀρχή· «Ἐπειδὴ ὁ δῆμος ἐξεχεῖτο», φ. 217.

10. Τοῦ αὐτοῦ ὁμιλία εἰς τοὺς πρωτοπλάστους καὶ εἰς τὸν ὄφιν, ἧς ἡ ἀρχή· «Φέρε πάλιν τῆς ἐπαγγελίας ἀψώμεθα», φ. 229β. Λόγος ἀκριβέστερον ἐπ' ὀνόματι Σεβηριανοῦ τοῦ Γαβάλων ἐπισκόπου παρὰ τῷ Migne τ. 56, σ. 484.



11. Μαρτύριον τῶν ἁγίων Ἑρμύλου καὶ Στρατονίκου, οὗ ἡ ἀρχή· «Λικινίου βασιλεύοντος καὶ μανικῶς», φ. 248. Πρβλ. Migne τ. 114, σ. 554.

12. Ἀθανασίου Ἀλεξανδρείας «λόγος περὶ τῆς εἰκόνος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ γεναμένου θαύματος ἐν Βηρυτῷ τῇ πόλει». Ἀρχ. «Ἄρατε τοὺς ὀφθαλμοὺς τῆς διανοίας», φ. 252β. Migne τ. 28, σ. 805.

13. «Κυριακῇ α΄ τῶν ἁγίων νηστειῶν. Ἰωάννου μοναχοῦ Ἱεροσολύμων ἐπιστολὴ πρὸς Κωνσταντῖνον, τὸν κατὰ συγχώρησιν Θεοῦ βασιλεύσαντα, περὶ τῶν ἁγίων εἰκόνων». Ἀρχ. «Πιστεύω εἰς ἕνα Θεόν», φ. 256. Migne τ. 95, σ. 309.

14. «Μηνὶ ἰανουαρίῳ ιδ΄. Διήγησις Ἀμμωνίου μοναχοῦ περὶ τῶν ἀναιρεθέντων ὑπὸ τῶν Βαρβάρων εἰς τὸ Σινὰ ὄρος καὶ ἐν τῇ Ῥαϊθοῦ ἁγίων πατέρων». Ἀρχ. «Ἐγένετό μοι ποτὲ καθεζομένῳ», φ. 272. Combefis, Illustr. mart. lecti triumphi, σ. 88. Σλαβικὴ μετάφρασις ἀρχαία: Аммонія мниха повѣсть о убіенныхъ св. отцахъ въ Синаѣ и Раиѳѣ по рукописи XIV в. библіотеки Московской Духовной Академіи издалъ И. Помяловскій. Ἐν Πετρουπόλει 1890.


15. «Μηνὶ τῷ αὐτῷ ιε΄. Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Καλυβίτου». Ἀρχ. «Βίον καλὸν καὶ ἐνάρετον», φ. 285. Migne τ. 114, σ. 568.

16. «Τοῦ μακαρίου Κοσμᾶ βεστήτορος, λόγος εἰς τὴν ἐπάνοδον τοῦ τιμίου λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Ἰωάννου τοῦ Χρυσοστόμου». Ἀρχ. «Ἤκουσται πάντως ὑμῖν», φ. 293β. Ὅρα ἔμπροσθεν σ. 79.

17. «Μεθοδίου ἀρχιεπισκόπου Πατάρων, λόγος εἰς τὴν Ὑπαπαντὴν καὶ εἰς τὴν Θεοτόκον καὶ Συμεῶνα καὶ Ἄνναν». Ἀρχ. «Πάλαι ἱκανῶς», φ. 311β. Migne τ. 18, σ. 348.

18. «Διήγησις πῶς ηὑρέθη ἡ κεφαλὴ τοῦ ἁγίου Ἰωάννου τοῦ προδρόμου καὶ βαπτιστοῦ τοῦ Χριστοῦ καὶ μάρτυρος». Ἀρχ. «Μοναχοὶ δύο» κτλ., φ. 319β. Μόνον ἡ ἀρχὴ τῆς διηγήσεως.

42. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατ., συνιστάμενον



ἐκ φύλλων ἠριθμημένων 205, μήκους 0,27, πλάτους 0,195· τῶν φύλλων ὅμως ἡ ἀρίθμησις ἐσφαλμένη· φύλλον γὰρ 71-ον οὐχ ὑπάρχει· ἕτερα δὲ φύλλα τὸν αὐτὸν ἀριθμὸν ἔχει, ὃν καὶ τὰ πρότερα (155, 158, 162, 169, 172) πραγματικῶς δὲ ὁ κῶδιξ ἀριθμεῖ ἐν συνόλῳ φύλλα 209 [1]· τούτων δέ τινά ἐστιν ἐκ χάρτου (φ. 25, 95, 128, 132, 140), ἃ πρὸς ἀναπλήρωσιν ἐκπεσόντος κειμένου προσέθηκε χεὶρ τῆς ις′ ἑκατονταετηρίδος· ἡ αὐτὴ δὲ χεὶρ ἀνεπλήρωσε διὰ χάρτου καὶ τρία ἡμίφυλλα μεμβράνινα (106, 120, 122)· ἀλλὰ καὶ τρία πλήρη μεμβράνινα φύλλα (τὸ 6-ον, τὸ 7-ον, καὶ τὸ 200-ὸν) τῆς ιγ′ ἐστὶν ἑκατ. Ἦν δὲ καὶ τοῦτο τὸ τεῦχος πρότερον ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα. Ὅρα Albert Ehrhard ἐν τῷ Histor. Jahrb. der Görresgesellschaft, XIII, 1892, σ. 169.

1. Προφητολογίου λείψανον ἐκ δέκα φύλλων (1-5 καὶ 201-205), προσηκόντων ἑτέρῳ τινὶ κώδικι τῆς ἑνδεκάτης ἑκατονταετηρίδος· ὧν τὸ κείμενον δίστηλον ἐκ 19 γραμμῶν· ἔχει δὲ τοῦτο καὶ πορφυρᾶ σημαδόφωνα.

2. «Βίος καὶ πολιτεία τῶν ὁσίων πατέρων ἡμῶν Βαρλαὰμ καὶ Ἰωάσαφ καὶ ψυχικὴ [2] ὠφέλεια [3] συγγραφεῖσα [4] παρὰ τοῦ ὁσιωτάτου [5] πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ» [6]. Ἀρχ. «Ὅσοι πνεύματι Θεοῦ ἄγονται», φ. 6-200. Ἡ ἐπιγραφὴ τῆς ιγ′ ἑκατ. Ἐν τῇ ᾤᾳ τοῦ 6-ου φύλλου σημείωμα τοιοῦτον· «† Αὔτη η βύβλος τοῦ ἁγίου Σάββα τοῦ ἡγιασμένου τῆς Παλεστήνης τῆς λαύρας ἐκ τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ ὑπάρχει· καὶ ἀγόρασέν τ(ην) ο Γεράσιμος (μον)αχ(ὸς) καὶ συγχορίσατε αυτόν ·:· ἔτους ͵ζξθ′ [= 1560]. σεπτεβρίω ιδ′: Θεόδουλος (μον)αχ(ὸς) ἐπήρεν τ(ην) ἀπαυτὸν εἰς τὴν Κονσταντινόπολη». Καὶ πάλιν ἐν τῇ πρώτῃ σελίδι τοῦ 200-οῦ φύλλου· «Ἔτους ͵ζξθ′ σεπτεβρήω ιδ′ ἀγόρασεν αὐτῆν τὴν βύβλον ο Γεράσιμος μοναχός· καὶ ἀφιέρωσεν εἰς τὴν λαύραν τοῦ ἁγίου Σάββα τῆς Παλεστήνης, τῆς ἁγίας πόλεως Ἱε-

[1] Πρότερον ἠρίθμει φύλλα 213· τὰ λείποντα Πορφύριος ὁ Οὐσπένσκης ἀπέκοψεν.
[2] κῶδ. *ψυχικῆ*. [3] κῶδ. *ὠφέλια*. [4] κῶδ. *συγγραφήσα*. [5] κῶδ. *ὁσιοτάτου*.
[6] κῶδ. *δαμασκινοῖ*.



ρουσαλήμ, καὶ ἐπίρα το ἐγῶ Θεόδουλος μοναχὸς ἐξ αὐτὸν καὶ συγχορίσατε τὸν Γεράσιμον. αὔτη ἡ βύβλος ἐξήγισις Βαρλὰμ καὶ Ιωάσαφ· καὶ τοῦ π(ατ)ρ(ὸ)ς ['Αβεννήρ]. ἀγοράσθη εἰς τὴν Κονσταντινόπολι(ν) ἄσπρα ξ'». Καὶ ἐν ταῖς ᾤαις πολλῶν ἑτέρων φύλλων ἐγράφη σημειώματα μεταγενέστερα, ὧν ἔνια γράμμασι σλαβικοῖς, οἷον τὸ ἐν τῷ φ. 86β· ἐν δὲ τῷ 109β-ῳ φύλλῳ κεῖται ἡ ὑπογραφὴ 'Αντωνίου ἱερομονάχου. Καὶ ταῦτα μὲν περὶ τῶν μεταγενεστέρων σημειωμάτων· τὸ δὲ κείμενον τοῦ βίου τῶν ἁγίων 'Ιωάσαφ καὶ Βαρλαὰμ ἐν τοῖς μεμβρανίνοις φύλλοις τοῖς παλαιοῖς ὑπάρχει μονόστηλον ἐκ γραμμῶν 25 μέχρις 27 (0,186 × 0,13) καὶ πολλαχοῦ κεκόσμηται πίναξιν ἢ εἰκόσι (miniatures) κεχρωματισμέναις, ἀλλ' ὧν αἱ πλείους ἐφθαρμέναι. Τὰς δὲ τούτων ἐπιγραφὰς ἐρυθροῖς γράμμασιν προσέθηκε, ὡς φαίνεται, χεὶρ τῆς ιγ' ἑκατονταετηρίδος. Καταγραφὴ τῶν εἰκόνων. α') Ὁ βασιλεὺς 'Αβεννὴρ ἐξαποστέλλων πρόσταγμα τοῦ διώκειν τοὺς χριστιανούς, φ. 9β.— β') Ὁ αὐτὸς διαλεγόμενος μετὰ τοῦ ἀρχισατράπου, φ. 12.— γ') Ἡ γέννησις 'Ιωάσαφ καὶ οἱ ἀστρολόγοι, φ. 17β.—δ') Οἱ μοναχοὶ διωκόμενοι ἐκ τῶν περιχώρων τοῦ 'Αβεννήρ, φ. 19.— ε') Ὁ ἀσεβὴς ἀνὴρ διαλεγόμενος μετὰ τοῦ κυλλοῦ, φ. 19β.—ς') Οἱ ἐνδιαβάλλοντες ἄνδρες πρὸς τὸν βασιλέα τὸν εὐσεβῆ ἄνδρα, φ. 20β.— ζ') Ὁ εὐσεβὴς διαλεγόμενος μετὰ τοῦ κυλλοῦ, φ. 22.— η') Ὁ αὐτὸς ἀμφιασάμενος τρίχινον ἀνῆλθε πρὸς τὸν βασιλέα, φ. 23.—θ') Ὁ 'Ιωάσαφ διαλεγόμενος μετὰ 'Αβεννὴρ τοῦ πατρὸς αὐτοῦ περὶ ἧς αἰτίας οὐκ ἐᾷ αὐτὸν ἐξελθεῖν τοῦ παλατίου, φ. 27.—ι') Ὁ 'Ιωάσαφ ξενιζόμενος ἐπὶ τῇ θεωρίᾳ τοῦ τυφλοῦ καὶ τοῦ λωβοῦ, φ. 28. — ια') Ὁ αὐτὸς ἰδὼν γέροντα ἀνηρώτα περὶ αὐτοῦ, φ. 29.—ιβ') Ὁ Βαρλαὰμ ἀλλάξας τὸ σχῆμα καὶ κοσμικὰ περιβαλλόμενος εἰσῆλθεν εἰς νῆα καὶ ἀφίκετο εἰς τὰ τῶν 'Ινδῶν βασίλεια, φ. 30. — ιγ') Ὁ αὐτὸς διαλεγόμενος μετὰ τοῦ παιδαγωγοῦ περὶ τοῦ τιμίου λίθου, φ. 30β.—ιδ') Ὁ αὐτὸς διαλεγόμενος περὶ τῆς παραβολῆς τοῦ σπόρου, φ. 32β. – ιε') Δύο εἰκόνες, ὧν ἡ μὲν τὸν τοῦ βασιλέως παρίστησιν ἀδελφὸν λέγοντα τῷ βασιλεῖ, ὅτι "οὐ καλῶς ἐποίησας καὶ προσεκύνησες τοὺς μοναχούς"·



ἡ δ' ἑτέρα τὴν σάλπιγγα τοῦ θανάτου καὶ τὸν οἶκον τοῦ βασιλέως, φ. 34. — ις') Ὁ τοῦ βασιλέως υἱὸς Ἰωάσαφ, ὡς ἤκουσε τοῦ Βαρλαάμ, ἀναστὰς τοῦ θρόνου καὶ περιπλακεὶς κατεφίλησεν αὐτόν, φ. $42^{β}$. — ιζ') Ἡ παραβολὴ τῆς ἀηδόνος, φ. 56.—ιη') Ἡ ἀηδὼν δοκιμάζουσα τὸν ἰξευτὴν περὶ ὧν ἐδίδαξεν αὐτόν, εἰ ἐκαρπώσατο ὠφέλειάν τινα, φ. $56^{β}$. — ιθ') Μέγας πίναξ ἀπεικάζων τὴν παραβολὴν τοῦ μονοκέρωτος: ὁ μονόκερως, ὁ βόθρος, τὸ μέλι, ὁ ἄνθρωπος, τέσσαρες ἀσπίδες καὶ ὁ διάκονος, φ. 77.—κ') Ἡ παραβολὴ τοῦ ἀνθρώπου, τοῦ τοὺς τρεῖς φίλους ἐσχηκότος, φ. 79.—κα') Ὁ πρῶτος φίλος· ὁ πλοῦτος, φ. $79^{β}$. — κβ') Ὁ δεύτερος φίλος· ἡ γυνὴ καὶ οἱ παῖδες, φ. 80.— κγ') Ὁ τρίτος φίλος καὶ ἡ ἐλεημοσύνη, φ. $80^{β}$.—κδ') Ἡ παραβολὴ τῆς νήσου, φ. 83.— κε') Ἡ παραβολὴ τοῦ πίνοντος τὸν οἶνον, ὀρχουμένης τῆς γυναικὸς αὐτοῦ, οὓς ἐθεάσατο ὁ βασιλεὺς περιπατῶν τῇ νυκτί, φ. 91.— κς') Μέγας πίναξ εἰς δύο διῃρημένος, ἀπεικάζων τὴν παραβολὴν περί τινος υἱοῦ πλουσίου ἀνδρός, ὃν καταλιπὼν φυγὰς ᾤχετο· πορευόμενος δὲ ξενίζεται ἐν οἰκίᾳ γηραιοῦ πένητος, οὗ ἡ θυγάτηρ μονογενὴς οὖσα παρθένος εἰργάζετο ταῖς χερσὶν καθεζομένη πρὸ τῶν θυρῶν, φ. 94. — κζ') [Λείπει, κοπείσης ἐντεῦθεν, ὡς φαίνεται, διὰ μαχαιρίου τῆς εἰκόνος], φ. 95. — κη') Ὁ Βαρλαὰμ ὑποδεικνύων τὸ σχῆμα, ὃ φοροῦσιν οἱ μοναχοί, φ. $103^{β}$. — κθ') Παραβολὴ τῶν δορκάδων, φ. 104.—λ') [Λείπει], φ. 106.—λα') Μέγας πίναξ εἰς δύο διῃρημένος· ὁ Βαρλαὰμ βαπτίζων τὸν υἱὸν τοῦ βασιλέως Ἰωάσαφ· ὁ Ἰωάσαφ μεταλαμβάνων τῶν ἀχράντων μυστηρίων, φ. 110. — λβ') Ὁ Ζαρδὰν ἐπερωτῶν τὸν Ἰωάσαφ, τί ἄρα διαλέγεται μετὰ τοῦ Βαρλαάμ· μή τί γε χριστιανός ἐστι καὶ πλανήτης; φ. 116. — λγ') Ὁ Ζαρδὰν ἔσωθεν τοῦ παραπετάσματος ἀκροώμενος τοῦ Βαρλαάμ, καὶ ὁ Βαρλαὰμ ἀνακεφαλαιῶν τῷ Ἰωάσαφ ὅσα ἐδίδαξεν αὐτόν, φ. $116^{β}$.—λδ') Ὁ Ἰωάσαφ διαβάλλων τὸν Ζαρδὰν τῷ βασιλεῖ, φ. $117^{β}$.—λε') [Λείπει]· ὁ Ἰωάσαφ λαμβάνων τὸν χιτῶνα τοῦ Βαρλαὰμ καὶ δοὺς αὐτῷ ἕτερον, φ. 120. — λς') [Λείπει]· ὁ Βαρλαὰμ ἀποχαιρετίζων τὸν Ἰωάσαφ ἔλεγε τοῦ πορευθῆναι ἐν τῷ ἰδίῳ κελλίῳ, φ. 122. —



λζ') Ὁ Ζαρδὰν ἀρρωστῶν· ἦλθεν ὁ ἰατρὸς τοῦ θεάσασθαι αὐτόν, φ. 123.—λη') Ὁ Ζαρδὰν ἀναστὰς ἀπὸ τῆς ἀρρωστίας ἦλθε πρὸς τὸν βασιλέα, φ. 123β. — λθ') Ὁ Ἀραχῆς ἐκέλευσε κρατηθῆναι τοὺς μοναχούς, φ. 126.—μ') Κρατήσαντες δὲ τοὺς μοναχοὺς ἀπήγαγον πρὸς Ἀραχῆν, ὁ δὲ ἀνηρώτα αὐτοὺς περὶ τοῦ Βαρλαάμ, φ. 126β. — μα') Οἱ ἀναχωρηταὶ ἀκρωτηριαζόμενοι προστάξει τοῦ βασιλέως Ἀβεννήρ, φ. 131.—μβ') Πίναξ εἰς δύο διῃρημένος· ὁ βασιλεὺς Ἀβεννὴρ ἐκφοβίζων τοὺς σοφούς· ὁ Ἰωάσαφ ἐκφοβίζων τὸν Ναχὼρ ὑποκρινόμενος τὸν Βαρλαάμ· ὁ Ναχὼρ διαλεγόμενος μετὰ τῶν φιλοσόφων, φ. 149. — μγ') Ὁ Ἰωάσαφ κατηχίζων καὶ ἀναρωννύων τὸν Ναχώρ, φ. 157β. — μδ') Ὁ εὐσεβὴς μοναχὸς καὶ ἱερεύς· ὁ ἱερεὺς βαπτίζων τὸν Ναχώρ, φ. 159. — με') Οἱ ἱερεῖς τοῦ βασιλέως ἐλθόντες παρεκάλεσαν τὸν Θευδᾶν τοῦ ἀπελθεῖν πρὸς τὸν βασιλέα καὶ βοηθῆσαι αὐτοῖς τοῦ τιμᾶν καὶ θύειν τοῖς εἰδώλοις, φ. 161. — μϛ') Θευδᾶς ὁ μάγος ἀνῆλθε πρὸς τὸν βασιλέα, φ. 161β.—μζ') Ἡ παραβολή, ἣν εἴρηκε Θευδᾶς ὁ μάγος περὶ τοῦ παιδὸς τοῦ μέλλοντος στερηθῆναι τοῦ φωτός, ἐὰν ἴδῃ φῶς ἢ πῦρ, φ. 163β.—μη') Ὁ ἀρεσθεὶς εἰς τὰς γυναῖκας υἱὸς τοῦ βασιλέως, φ. 164.—μθ') Ὁ τοῦ βασιλέως υἱὸς Ἰωάσαφ διαλεγόμενος μετὰ τῶν γυναικῶν καὶ ὑποχαυνούμενος τοῦ ἡττηθῆναι, φ. 164.—ν') Οἱ ἄγγελοι ὑποδεικνύοντες τῷ Ἰωάσαφ τὴν γῆν τῶν Παράξων, φ. 169.—να') Ἡ ἐπουράνιος βασιλεία, φ. 169β.—νβ') Οἱ ἄγγελοι ὑποδεικνύοντες τῷ Ἰωάσαφ τὰ κολαστήρια, φ. 170.—νγ') Ὁ Ἰωάσαφ διδάσκων τὸν Θευδᾶν τοῦ λατρεύειν Θεῷ ζῶντι, φ. 178β.—νδ') Ἡ βάπτισις Θευδᾶ μάγου, φ. 179β.—νε') Ὁ Ἰωάσαφ κατηχίζων τὸν πατέρα αὐτοῦ καὶ τοὺς μεγιστάνας αὐτοῦ, φ. 188β.—νϛ') Ἡ κοίμησις Ἀβεννὴρ τοῦ βασιλέως, φ. 190.—νζ') Ὁ βασιλεὺς Ἰωάσαφ παρακαλῶν τὸν λαὸν συγχωρῆσαι αὐτῷ τοῦ γενέσθαι μοναχόν, φ. 192. — νη') Ὁ αὐτὸς παρακαλῶν τὸν Βαραχίαν τοῦ παραλαβεῖν τὴν βασιλείαν, αὐτὸς δὲ ἵνα πορευθῇ πρὸς τὸν Βαρλαάμ, φ. 193. — νθ') Ὁ βασιλεὺς Ἰωάσαφ φεύγων τοῦ ἀπελθεῖν ἐν τῇ ἐρήμῳ πρὸς τὸν Βαρλαάμ, φ. 194.—ξ') Ὁ Ἰωάσαφ εὑρὼν μοναχὸν ἀνηρώτα αὐτὸν περὶ τοῦ Βαρλαάμ, φ. 195β.—



ξα') Προσελθὼν Ἰωάσαφ εἰς τὴν θύραν τοῦ σπηλαίου καὶ κρούσας "εὐλόγησον" εἶπε "πάτερ"· ὁ Βαρλαὰμ κατασπαζόμενος τὸν Ἰωάσαφ, φ. 196β. — ξβ') Ὁ Βαρλαὰμ μεταδίδων τὰ ἄχραντα μυστήρια τῷ Ἰωάσαφ, φ. 198β.—ξγ') Ἡ κοίμησις τοῦ Βαρλαάμ, φ. 199.—Εἰκόνες ἕτεραι ὑπῆρχον ἐν τέσσαρσιν ἔτι φύλλοις, ἅπερ ὁ Πορφύριος Οὐσπένσκης ἀπέκοψε, δοὺς αὐτὰ τῇ βιβλιοθήκῃ Πετρουπόλεως (ἀριθ. 379. Отчетъ Импер. Публ. Библ. за 1883 г., σελ. 140).

43. Τεῦχος ἀκέφαλον ἐκ μεμβρανίνων φύλλων 155, γραφὲν ἔτει 1122-φ, μήκους 0,30, πλάτους 0,225· μετὰ τὸ 150-ὸν φύλλον ὑπάρχει χάσμα δύο φύλλων, ἅπερ ὁ Πορφύριος Οὐσπένσκης ἀπέκοψεν, ὅτε τὸ τεῦχος ἦν ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα (1860)· νῦν δὲ τὰ φύλλα ταῦτα κατέχει τῆς Πετρουπόλεως ἡ δημοσία βιβλιοθήκη [ἀριθ. 359. Отчетъ Импер. Публ. Библ. за 1883 г., σ. 136]. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 29 (0,235 × 0,165). Ἐπὶ τοῦ πρώτου φύλλου δύο τύποι σφραγίδων, ὁ μὲν τοῦ Κοινοῦ τοῦ Παναγίου Τάφου (1865), ὁ δὲ τῆς ἐν τῷ Σταυρῷ σχολῆς (1873). — Τυπικὸν τοῦ ναοῦ τῆς ἁγίας Ἀναστάσεως διὰ τὴν μεγάλην τῶν Παθῶν ἑβδομάδα καὶ διὰ τὴν ἑβδομάδα τῆς Διακαινησίμου· οὗ τὸ κείμενον, ἔξω τῶν γραφικῶν ἀναγνωσμάτων, ἐντεῦθεν ἀντιγραφὲν κατεχωρίσθη ἐν τῷ δευτέρῳ τόμῳ τῶν Ἀναλέκτων Ἱεροσολυμιτικῆς Σταχυολογίας, σ. 1-254.

1. Ἀκέφαλος ἀκολουθία Σαββάτου τοῦ πρὸ τῆς Κυριακῆς τῶν Βαΐων, φ. 1.—«Τῇ Κυριακῇ ἑσπέρας τῶν Βαΐων», φ. 14β.

2. «Σὺν Θεῷ ἀκολουθία τῆς Μεγάλης Ἑβδομάδος», φ. 16.


3. «Τάξις σὺν Θεῷ τῆς λειτουργίας τοῦ Ἁγίου Μύρου», φ. 75.

4. «Ἡ ἀκολουθία τῆς θείας λειτουργίας τοῦ ἁγίου Ἰακώβου τοῦ ἀποστόλου καὶ ἀδελφοθέου», φ. 80β.

5. «Τάξις σὺν Θεῷ καὶ ἀκολουθία τοῦ Νιπτῆρος», φ. 82.

6. «Τάξις σὺν Θεῷ καὶ ἀκολουθία τῶν ἁγίων παθῶν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ», φ. 86.

7. «Σὺν Θεῷ ἀκολουθία τῶν ὡρῶν καὶ τὰ τροπάρια· ποίημα Σωφρονίου πατριάρχου Ἱεροσολύμων τοῦ ἀρχαίου καὶ φιλοσόφου», φ. 99.



Σελ. 98.
Κῶδιξ ἔτους 1122-ου ἐν τῇ συλλογῇ τοῦ Σταυροῦ, ἀριθ. 43, φ. 121α.

8. Τάξις τελετῆς διὰ τὸ Ἅγιον Φῶς, φ. 119.

9. «Ἀκολουθία τῆς λειτουργίας εἰς τὸν Ἅγιον Κωνσταντῖνον», φ. 122.

10. «Ἀκολουθία τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα», φ. 124. Κόσμημα ἐν τῇ ἀρχῇ. Καὶ πάλιν ἐν φ. 129-ῳ κόσμημα καὶ λόγος Ἰωάννου τοῦ Χρυσοστόμου εἰς τὸ ἅγιον Πάσχα, οὗ ἡ ἀρχή· «Εἴ τις εὐσεβὴς» κτλ. Μετὰ δὲ τὸ τέλος αὐτοῦ (φ. 130) γράμμασι κοκκίνοις σημείωμα· «εἶθ' οὕτως μεταφράσει αὐτὸν τὸν λόγον ὁ β' τῶν διακώνων εἰς τ(ὴν) ἀραβικὴν γλῶσσαν, ὥστε παρακληθήσονται οἱ μὶ εἰδότες ἀναγινώ(σκειν) ῥωμάϊκα, καὶ γίνεται ἡ χαρὰ καὶ ἡ ἀγαλλίασις καὶ ἡ εὐφροσύνη παντὶ τῷ λαῷ μικροῦ τε καὶ μεγάλου».—Προσθήκη τῆς ιβ' ἑκατ. ἐν τῷ αὐτῷ φύλλῳ· «Διὰ τὸν θ(εὸ)ν σύγχορεῖται μοι Γεωργίῳ ὅπως λύτρωθῶ τὴν κόλασιν».

11. Φύλλ. 130β. Σελὶς παλίμψηστος· τὸ πρότερον κείμενον διὰ γραμμάτων ἀραβικῶν ἀπεσπογγισμένων· ἀναγινώσκεται δὲ νῦν αὐτόθι τοῦτο· «† Εἴ τις ἀρχηγὸς ἢ πρωτοπαπᾶς ἢ ἀρχιδιάκονος ἢ πρεσβύτερος· ἢ διάκονος· ἢ σκευοφύλαξ ἢ ὑποδιάκονος, ἢ ἀναγνώστης· ἢ κληρικός· ἢ λαοικός· ἢ μοναχός· ἢ καλογρέα· ἢ ἐντόπιος· ἢ ξένος· ἢ μικρός· ἢ μέγας· ἐκ τῶν χριστιανῶν γένος ὑστερήσει τὸ δέλτον τοῦτον ἐκ τῆς ἁγίας ταύτης ἐκκλησίας τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀναστάσεως ἢ εὐγάλη αὐτὸν ἢ πωλή(σει) ἢ χαρίσει· ἢ δανήσει ἢ ξήσει ταγράματ(α) ταῦτα ἢ κόψη
ἢ κλέψει· ἢ κρύψαι
τὸ φύλον τοῦτον ἢ ἄλλον τ αὐτοῦ ἢ αγοράσει ἢ ἀφελεῖ αὐτὸν ἐκ τῆς ἁγίας ἐκκλησίας ταύτης ἐχέτω τὴν ἀρὰν ἐκ στόματος τῶν ἁγίων τιη πρων· καὶ ναέχει τὸ μέρο(ς) αὐτοῦ μετὰ τὸν Ἰσκαρ(ι)ώτ(ην) Ἰοῦδα τοῦ προδότου καὶ κληρονομήσει τὴν αἰώνιον κόλασιν μετὰ τῶν στρωσάντων τὸν υἱὸν τοῦ Θεοῦ ἐν τῇ ἡμέρα τῆς ἀνταποδώσεως ἀμήν».

12. Προσθήκη δύο φύλλων μεμβρανίνων τῇ ιγ' ἑκατ., φ. 131 καὶ 132. «Τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα, εἰς τὴν λιτήν». Ἀντίφωνα, κείμενον ἀποστολικόν, εὐαγγέλιον, καὶ διὰ




γραμμάτων ἀραβικῶν μετάφρασις τοῦ προσημειωθέντος λόγου Ἰωάννου τοῦ Χρυσοστόμου.

13. Ἀκολουθίαι τῆς Διακαινησίμου ἑβδομάδος, φ. 135β.

14. Σημείωμα τοῦ καλλιγράφου. Φύλλ. 152β-153α «† Ἐκτίσθ(η) ἡ δέλτος αὕτη κατὰ πρόσταξιν τοῦ εὐλαβοῦς Γεωργ(ίου) ἄρ- χαρτοφύ(λακος) χων(τος) καὶ κριτ(οῦ) τῆς Ἁγί(ας) Πόλε(ως) καὶ σακελλίου τὲ καὶ μεγάλου σκευοφύ(λακος) τῆς ἁγιας χυ τοῦ θυ ἡμῶν Ἀναστάσεως: καὶ ἐδόθη παρ' αὐτοῦ εἰς τ(ὴν) ἐκκλη(σίαν) τῆς ἁγίας χυ τοῦ θυ ἡμῶν Ἀναστ(άσεως): καὶ ἐδόθη παρ' αὐτοῦ εἰς τ(ὴν) ἐκκλη(σίαν) τῆς ἁγίας χυ τοῦ θυ ἡμῶν Ἀναστ(άσεως)· ὑπὲρ ἀφέσεως ἁμαρτ(ιῶν) αὐτοῦ: † Ἐγράφη δὲ καὶ εἱρμώσθη· διὰ χειρὸς Βασιλείου τοῦ Ἁγιοπολίτου· γραφεῦστὲ καὶ ἐλαχίστου ἀναγνώστης τῆς ἁγίας χυ τοῦ θυ ἡμῶν Ἀναστ(άσεως) ἐν τῆι ἁγία πόλει Ἰλὴμ. εἴληφεν δὲ τέλος ἡ αὕτη δέλτο(ς) ἡμέ(ρα) β ὥρα γ' τῆς ἡμέ(ρας) εἰς τ(ὴν) κζ τοῦ φευρουαρίου μηνός· ἔτους κόσμ(ου) ἑξακισχιλιοστῶ· ἑξακοσίω τριάκοντα:— ἰνδ(ικτιῶνος) ιε: Παρακαλῶι οὖν καὶ λιπαρῶ τοὺς ἐντυγχάνοντας καὶ ἀναγινώσκοντας εντῆι ταύτηι δέλτω εὔχεσθε ὑπεράμφοτέρων τῶ γράψαντι ἅμα καὶ τῶ κτισαμένω: ἵνα ῥυσθῶμεν ἄμφότεροι τῆς αἰωνίου κολάσεως ἀμήν». Καὶ πάλιν φ. 153β. «† Ἐτυπώθη δὲ τὸ παρὸν τεῦχος κατατὴν τάξιν τῆς ἁγίας χυ τοῦ θυ ἡμῶν Ἀναστάσεως καὶ οὐ δεῖ τίς προσθήσει ἢ ἐκλήψει ἀπαυτόν τι:—† Εἴτις ἀρχηγὸς» κτλ.

15. Σελὶς ἄγραφος 154α. Ὄπισθεν σημείωμα ἑλληνικὸν ἀπεσβεσμένον, τὸ ὄνομα "Ἰάκωβος", καὶ τρία σημειώματα ἀραβικά. τὸ πρῶτον, οὗ τινος ἡ χρονολογία ἐφθαρμένη, Πέτρου Θεοδώρου, ἱερέως τῆς Ἁγίας Σιών· τὸ δεύτερον, οὗτινος ἡ χρονολογία δυσδιάκριτος, μηνύει ὅτι τοῦτο τὸ βιβλίον ἀφιερώθη τῷ Ἁγιοταφιτικῷ κλήρῳ· τὸ τρίτον ἐμπεριέχει τυπικὴν διάταξιν διὰ τὴν τρίτην καὶ ἕκτην ὥραν, ὅτι συναθροιζόμενος ὁ κλῆρος διαιρεῖται εἰς δύο, καὶ οἱ μὲν ἵστανται πρὸς τὴν ἀχιβάδαν τῆς Θεοτόκου, οἱ δὲ πρὸς τὴν τοῦ ἁγίου Γεωργίου, ψάλλοντες ἀλληλούια ἀπὸ τῆς μεγάλης Δευτέρας μέχρι τῆς μεγάλης Πέμπτης.

16. Φύλλ. 155α. Οἶκος τοῦ ἁγίου καὶ μεγάλου Σαββάτου, οὗ




Ἐκτίσθη ὁ [illegible] οὗτος κατὰ [illegible]
τοῦ εὐλαβεστάτου [illegible] Θεοδώρου ἄρχοντος [illegible]
[illegible] καὶ μεγάλου
σκευοφύλακος τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν
ἀναστάσεως· καὶ ἐδόθη παρ' αὐτοῦ εἰς
ἐκκλησίαν τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ [illegible]
[illegible] αὐτοῦ
ἐγράφη δὲ καὶ [illegible]
[illegible] Βασιλείου τοῦ ἁγιο-
πολίτου γραφέως καὶ [illegible]
[illegible]
ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν [illegible]
ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλήμ

ἐτελειώθη δὲ τέλος ἡ αὕτη δέλτος
ἡμέρᾳ β' ὥρᾳ γ' τῆς ἡμέρας εἰς κζ' τοῦ
φευρουαρίου μηνὸς ἔτους κοσμικοῦ
ἑξακισχιλιοστοῦ ἑξακοσιοστοῦ τριακοστοῦ
[illegible] ἰνδικτιῶνος ιε'·
παρακαλῶ οὖν καὶ [illegible]
[illegible]
[illegible] ταύτῃ
[illegible]
[illegible] τῷ γράψαντι
[illegible] καὶ τῷ κτησαμένῳ
[illegible] ἀμφότεροι
[illegible] κολάσεως [illegible]

ἡ ἀρχή· «Ὁ συνέχων τὰ πάντα ἐπὶ σταυροῦ ἀνυψώθη». Ὑπακοὴ τῆς ἑορτῆς τῶν Βαΐων εἰς ἦχον πλάγιον β', ἧς ἡ ἀρχή· «Μετὰ κλάδων ὑμνήσαντες». Φύλλ. 155β σημείωμα ἀραβικὸν διακόνου τινὸς ὄνομα Χαλὴλ Γεωργίου Κορακιώτου, καὶ σημείωμα ἑλληνικὸν ἔχον οὕτω· «✝ Μν(ήσθ)ητι κε του δο(ύ)λου του θ(εο)υ αμαρτολου κε πτοχο(υ) κε ταπηνου Αβρααμ οιποδιακονο(υ) κε κανοναρχου τισ αγιασ χυ το(υ) θυ ιμον Α(να)στασεοσ. ο θσ σιχορεσι αυτ(ον) εν τι οιμερα τισ κρησεωσ. οι αναγινοσκοντεσ αυτον ευχεστε α(υ)τον». Ἐγράφη δὲ τοῦτο τὸ σημείωμα περὶ τὴν ιδ' ἑκατ.


44. Λειτουργικὸν εὐαγγέλιον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, οὗ τὸ παλαιὸν δέσιμον ἀντικατέστη διὰ νεωτάτου, γενομένου ἐν τῇ πόλει Ἱερουσαλήμ· ἀριθμεῖ δὲ φύλλα μεμβράνινα 387, μήκους 0,275, πλάτους 0,21. Τὸ κείμενον δίστηλον ἐκ γραμμῶν ὀκτωκαίδεκα (0,195 × 0,15), κοσμούμενον μεγάλοις τισὶ γράμμασι κεφαλαιώδεσι, τέσσαρσι κοσμήμασιν ἐρυθροῖς, ὧν τὸ σχῆμα προσόμοιον τῷ Π γράμματι, καὶ ἑτέρῳ τινὶ κοσμήματι ταινιοειδεῖ (ὅρα φ. 1, 70, 104, 199, 250)· ἔχει δὲ τοιαύτην διαίρεσιν· α') Ἀναγνώσματα τοῦ κατὰ Ἰωάννην εὐαγγελίου ἀπὸ τῆς μεγάλης Κυριακῆς τοῦ Πάσχα, φ. 1. β') Ἀναγνώσματα τοῦ κατὰ Ματθαῖον εὐαγγελίου ἀπὸ Σαββάτου τοῦ μετὰ τὴν Πεντηκοστήν, φ. 70. γ') Ἀναγνώσματα τοῦ κατὰ Λουκᾶν εὐαγγελίου ἀπὸ Σαββάτου πρώτου τοῦ νέου ἔτους, φ. 104. δ') Εὐαγγέλια τῶν ἁγίων παθῶν, φ. 231β. ε') Εὐαγγέλια ἑωθινά, φ. 241β. ϛ') Εὐαγγέλιον εἰς τὴν ἀποτομὴν τοῦ Προδρόμου, εἰς τὸν ὄρθρον, φ. 248β. ζ') Συναξάριον τῶν εὐαγγελίων, φ. 250. η') Εὐαγγέλια ἀναγινωσκόμενα εἰς διαφόρους μνήμας καὶ λιτάς, φ. 383. Μετὰ δὲ τὸ 387-ον φύλλον ὁ δέτης ἔθηκε φύλλα δέκα χάρτινα (388-397) τῆς ιϛ' ἑκατ., ἐν οἷς ἀναγινώσκεται συνέχεια εὐαγγελίου δι' ἀνομβρίαν· μεθ' ὃ τινὰ τῶν ἑωθινῶν ἀναγνωσμάτων· προσήκει δὲ τὰ φύλλα ταῦτα ἑτέρῳ τινὶ λειτουργικῷ εὐαγγελίῳ, οὗ σελὶς ἦν ἑκάστη μονόστηλος ἐκ γραμμῶν ὀκτωκαίδεκα. Τὸ μεμβράνινον εὐαγγέλιον ἔχει που σημειώματά τινα ἀραβικά, οἷον τὸ ἐν τῷ 103-ῳ φύλλῳ Ἰωάννου τινὸς ἱερέως, Μιχαρδάου καλουμένου, ὅπερ ἐγράφη ἔτει 1660-ῷ Ἕτερον ση-



μείωμα Ἰωάννου τινὸς ἐκ Δαμασκοῦ ἐν τῷ 190-ῷ φύλλῳ. Ἔχει δὲ καὶ σημειώματα ἑλληνικὰ τοιαῦτα (φ. 102β)· «† Ἐσταχώθη τὸ παρὸν ἅγιον ευαγγέλϊον τῆς ἁγϊωτάτης μητροπόλεως Βηθλεέμ. διαχειρὸς τοῦ ταπεινοῦ μητροπολήτου ταύτης τῆς ἁγίας Βηθλεὲμ Γρηγορίου: διὰ ἐξόδου κυροῦ Μωυσῆ. εἰς μνημόσυνον αὐτοῦ. καὶ συνδρομῆς τῶν ἱερέων τῆς ἁγίας Βηθλεὲμ κυροῦ Σολωμόντος· καὶ κυροῦ Νικολάου. καὶ διακόνου Σαΐτη: μηνὶ ἰουνίω κςῃ τοῦ ͵ςα ϡυξβυ [=1454], ἰνδικτ. β'». — «1844 σήμερον, όποῦ ἔχομεν ἐποχὴν ἀπὸ κτίσεως κόσμου 7352, εἶναι 390 ἔτη ἀφ' οὗ ἐσταχώθη τὸ παρόν. — Εἰς τὰ 1841 ἀπριλλίου 25 ἦλθεν εἰς τὴν ἁγίαν Βηθλεὲμ ὁ γνήσιος αὐτῆς ποιμὴν καὶ μητροπολίτης ἅγιος Βηθλεὲμ κύριος Διονύσιος Γιανπολίτης Βούλγαρις. — Εἰς 1850 ἔκαμε τὴν νέαν στέρναν πρὸς ἀνατολάς, πλησίον τοῦ πύργου· ὁμοίως καὶ τὴν ἐπάνω μαγειρικήν. Τῷ δὲ 1853 ἔτει ἐχρύσωσε τὸ τέμπλον, τὸν ἀρχιερατικὸν θρόνον, τὸν ἱερὸν ἄμβωνα, καὶ τὰ ἐπίλοιπα, ὡς οἴκοθεν ἀποδεικνύονται. 1853 ἔκτισε δὲ καὶ τὸ ἐμβαδὸν τῆς ἐκκλησίας, ἤτοι τὸ ἱερὸν σκευοφυλάκιον».

45. Τετραευαγγέλιον ἀκέφαλόν τε καὶ ἀτελές, γραφὲν τῇ δυοκαιδεκάτῃ ἑκατονταετηρίδι καὶ συνιστάμενον ἐκ φύλλων 130, ὧν εἴκοσι καὶ ἓν χάρτινα, ἃ προσέθηκε χεὶρ τῆς ις' ἑκατ. Ἔστι δὲ μήκους 0,26, πλ. 0,205· τὸ δὲ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ δίστηλον ὂν γραμμὰς ἀριθμεῖ 29 (0,182×0,14). Φύλλ. 1 τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἀπὸ τῶν λέξεων τούτων· « - - - Ἰωάννῃ ἃ ἀκούετε καὶ βλέπετε» (ια', 4). Φύλλ. 29 εὐαγγέλιον κατὰ Μᾶρκον. Φύλ. 59 εὐαγγέλιον κατὰ Λουκᾶν. Φύλλ. 104 εὐαγγέλιον κατὰ Ἰωάννην ἄχρι τοῦ «οἱ Ἰουδαῖοι συνέρχονται καὶ ἐν κρυπτῷ ἐλάλησα» (ιη', 20). Ἦν δὲ τὸ τεῦχος τοῦτο πρότερον ἐν τῇ λαύρᾳ Σάβα τοῦ ἡγιασμένου.

46. Τετραευάγγέλιον ἐκ φύλλων 311, ὧν τὰ πρῶτα 168 μεμβράνινα, γραφέντα τῇ δυοκαιδεκάτῃ ἑκατονταετηρίδι, τὰ δὲ λοιπὰ χάρτου βαμβακεροῦ τῆς ιδ' ἑκατ. Τρία μέντοι τῶν μεμβρανίνων φύλλων (97, 98 καὶ 161) ἐγράφη τῇ ιε' ἑκατ. Τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ 18 γραμμῶν (0,25×0,19=



0,162×0,112). Φύλλ. 1 τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἀνεπίγραφον. Φύλ. 103 τὸ κατὰ Μᾶρκον ὡσαύτως ἀνεπίγραφον. Φύλ. 169 τὸ κατὰ Λουκᾶν εὐαγγέλιον, οὗ προτέτακται εἰκὼν ἀνεπεξέργαστος, ἀπεικάζουσα τὸν Λουκᾶν. Φύλλ. 252 τὸ κατὰ Ἰωάννην, ἔχον ὡσαύτως ἐν τῇ ἀρχῇ μέλαιναν εἰκόνα τοῦ αὐτοῦ Ἰωάννου. Φύλλ. 311-ον παντάπασιν ἄγραφον. Καὶ τοῦτο τὸ τεῦχος ἦν πρότερον ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα.

47. Τεῦχος μεμβράνινον τῆς ιβ' ἑκατ., ἀκέφαλον, συνιστάμενον ἐκ φύλλων μεμβρανίνων 352, μήκους 0,252, πλ. 0,202. Κατὰ μίαν ἑκάστην τῶν σελίδων κείμενον μονόστηλον ἐξ ὀκτωκαίδεκα γραμμῶν (0,17×0,125)· περιέχει δὲ τὸ τεῦχος λόγους τινὰς Συμεὼν μοναχοῦ [ὧν ἕτερα ἀντίγραφα ὅρα ἐν τοῖσδε τοῖς βιβλίοις: Ἀ. Π.-Κεραμέως, Κατάλ. τῶν χειρογράφων τῆς ἐν Σμύρνῃ βιβλιοθήκης τῆς Εὐαγγελικῆς Σχολῆς, σ. 29-30. Ἔκθεσις περὶ τῶν ἐν τῇ βιβλιοθήκῃ τῆς Παλαιᾶς Φωκαίας ἑλληνικῶν χειρογράφων, σ. 5. Μαυρογορδ. Βιβλιοθ. I, σ. 74]. Καὶ τοῦτο πρότερον ἦν ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα.

1. Λόγος ἕβδομος ἀκέφαλος περὶ πλεονεξίας, οὗ αἱ πρῶται λέξεις· «- - - ὁ θεριστὴς ἄγγελος ἤγγικεν ἤδη», φ. 1.

2. «Ἔτι περὶ ἁγνείας καὶ σωφροσύνης καὶ περὶ τοῦ ἀπέχεσθαι πορνείας καὶ ἀσωτίας· λόγος ὄγδοος», οὗ ἡ ἀρχή· «Δεῦρο δὴ πάλιν, ἀθλία ψυχή», φ. 9β.

3. «Περὶ γαστριμαργίας λόγος θ'». Ἀρχ. «Πρώην μέν, ὦ ψυχή μου ἀθλία, περὶ ἁγνείας» κτλ., φ. 45β.

4. «Περὶ νηστείας καὶ ἐγκρατείας καὶ τοῦ μηδόλως γογγύζειν λόγος ι'», οὗ ἡ ἀρχή· «Ἐπείπερ, ὦ ψυχή, τὸ τῆς γαστριμαργίας» κτλ., φ. 60.

5. «Περὶ μέθης λόγος ια'», οὗ ἡ ἀρχή· «Φέρε δὴ σήμερον, ψυχή», φ. 66.

6. «Περὶ τοῦ μὴ θαρρεῖν ἐν πίστει μόνῃ ἄνευ ἀγαθῶν ἔργων· λόγος ιβ'», οὗ ἡ ἀρχή· «Πολλῆς ἡμῖν νήψεως χρεία», φ. 74β.

7. «Περὶ πλεονεξίας καὶ φιλαργυρίας· λόγος ιγ'». Ἀρχ. «Πάντα μέν, ὦ ψυχὴ ἀθλία, τὰ πονηρὰ πάθη» κτλ., φ. 99β.

8. «Περὶ ἐλεημοσύνης καὶ εὐσπλαγχνίας· λόγος ιδ'», οὗ ἡ ἀρχή· «Ἐπείπερ παρὰ τῶν θείων Γραφῶν» κτλ., φ. 112.

9. «Ἔτι περὶ ἐλεημοσύνης· λόγος ιε'», οὗ ἡ ἀρχή· «Δεῦρο δὴ πάλιν, ταπεινή μου ψυχή», φ. 126.

10. «Περὶ ἀκτημοσύνης· λόγος ιϛ'». Ἀρχ. «Ὁ κορυφαῖος καὶ πρῶτος τῶν ἀποστόλων», φ. 145^{β}.

11. «Περὶ ἀσκήσεως καὶ ἀποταγῆς βίου· λόγος ιζ'», οὗ ἡ ἀρχή· «Ἐπείπερ ἔγνως ἀκριβῶς, ἀθλία ψυχή» κτλ., φ. 166. Ὁ λόγος οὗτος διακόπτεται μετὰ τὸ 177-ον φύλλον, διὰ τὴν μετάθεσιν δύο τετραδίων (λε' καὶ λϛ') εἰς τὸ τέλος τοῦ κώδικος.

12. «Ἔτι περὶ ὑπομονῆς· λόγος ιθ'». Ἀρχ. «Ἰδού, ψυχὴ ἀθλία καὶ ταλαίπωρε, ἔγνως ἐκ τῶν θείων Γραφῶν» κτλ. φ. 196^{β}.

13. «Ἔτι περὶ ὑπομονῆς· λόγος κ'», οὗ ἡ ἀρχή· «Ὥσπερ οἱ μέγα πλέοντες πέλαγος», φ. 220^{β}.

14. «Ἔτι περὶ ὑπομονῆς· λόγος κα'», οὗ ἡ ἀρχή· «Ὥσπερ οἱ τὴν χρυσῖτιν» κτλ., φ. 237.

15. «Ἔτι περὶ ὑπομονῆς καὶ προσευχῆς· λόγος κβ'», οὗ ἡ ἀρχή· «Ἰδού, ψυχή, ἀκήκοας τῆς παραβολῆς», φ. 249.

16. «Ἔτι περὶ ὑπομονῆς καὶ περὶ τῶν ἀχράντων καὶ θείων παθῶν καὶ κατὰ Ἰουδαίων· λόγος κγ'», οὗ ἡ ἀρχή· «Ὥσπερ οἱ λεῖαν καὶ ὁμαλὴν ὁδὸν» κτλ., φ. 274.

17. «Περὶ τοῦ μὴ μνησικακεῖν, μηδὲ ἀποδιδόναι κακὸν ἀντὶ κακοῦ· λόγος κδ'», οὗ ἡ ἀρχή· «Ὅρα, ψυχή μου ἀθλία, ὅσα ἔπαθε» κτλ., φ. 327.

18. Συνέχεια τοῦ ιζ' λόγου, φ. 337.

19. «Περὶ ὑπομονῆς· λόγος ιη'», οὗ ἡ ἀρχή· «Ἰδού, ψυχή, τῷ κόσμῳ ἀπετάξω» κτλ., φ. 349^{β}-352 καὶ 177-196.

48. Προφητολόγιον λειτουργικόν, γραφὲν ἔτει 1202-ῳ, οὗ φύλλα δύο κόψας ὁ Πορφύριος Οὐσπένσκης ἐπώλησε τῇ Πετρουπόλεως αὐτοκρατορικῇ δημοσίᾳ βιβλιοθήκῃ [ἀριθ. 325. Отчетъ Импер. Публ. Библiот. за 1883 г., σ. 130]· ὅτε δ' ἐγένετο τοῦτο, τὸ τεῦχος ἦν ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα. Τὸ κείμενον



αὐτοῦ μονόστηλον ἐκ γραμμῶν 23 ἄχρι 31, κοσμούμενον πολλοῖς μεγάλοις φαντασιώδεσι γράμμασι κεφαλαιώδεσι κιτρίνου τε καὶ κοκκίνου χρώματος· ἔστι δὲ τὸ τεῦχος μήκους 0,268, πλ. 0,18, καὶ τὴν ἀρχὴν αὐτοῦ κοσμεῖ πλατὺ κόσμημα κόκκινον, προσόμοιον τῷ Π γράμματι· μεθ' ὃ τῆς βίβλου ἡ ἀρχή· «Τῇ παραμονῇ τῆς Χριστοῦ γεννήσεως ἄρχονται τὸ λυχνικὸν καὶ τὸ Κύριε ἐκέκραξα· ψάλλεται τροπάριον» κτλ. Μετὰ τὴν ἔμπροσθεν σελίδα τοῦ 147-ου φύλλου κεῖται τὸ κατὰ μῆνα συναξάριον τοῦ προφητολογίου, ὃ λήγει εἰς τὸ νῦν ἔσχατον φύλλον τοῦ κώδικος, τὸ 174-ον· τούτου δὲ σελὶς ἡ δευτέρα περιέχει σημείωμα τοῦ γράψαντος τοῦτον τὸν κώδικα· «Ἐτελειώθ(η) τὸ παρὸν προφητικ(ὸν) διαχειρὸς ἐμοῦ Νικολ(άου) ἱερέο(ς) ἐν μη(νὶ) νοέμβρίω ιβ' ἡμέ(ρᾳ) γ':—τοῦ ἔτους ,ςψια' [=1202] ἰνδ [sic]—Εὔχ(ε)σθε ὑπὲρ τοῦ γράψαντος, διὰ τὸν κν· ὅτι ὁ γρα(φεὺς) παραγράφη». Ἐν τῇ αὐτῇ σελίδι ἕτερα τέσσαρα σημειώματα, ὧν ἓν ἀπεσπογγισμένον, τὰ δὲ λοιπὰ τρία σφοδρῶς ἐφθαρμένα· διακρίνονται μέντοι ἐν αὐτοῖς ἐτῶν ἀριθμοί (,ςψπδ', ,ςψπς', ,ςψπη')· ἔγραψε δὲ ταῦτα ἡγούμενός τις μονῆς Ἰωάννου τοῦ Θεολόγου, πιθανῶς τῆς ἐν Πάτμῳ τῇ νήσῳ· ὁ αὐτὸς δὲ καὶ ἀλλαχοῦ τοῦ κώδικος (φ. 121β) ἔγραψε τοῦτο· «† Μνήσθητι, Κύριε, τοῦ δούλ(ου) σου Κοσ(μᾶ) ἱερομονάχου καὶ ἐκκλησιάρχου τῆς αὐτῆς μονῆς» κτλ.

49. Τεῦχος ἐκ τῆς λαύρας μετενεχθὲν ὡσαύτως τοῦ ἁγίου Σάβα· περικλείει δὲ βιβλία δύο χάρτινα, γραφέντα περὶ τὸ τέλος τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος, ἅπερ ὅμως διὰ ὕδατος εἰσβολὴν ἱκανῶς ἐφθάρη. Τὸ κείμενον αὐτῶν μονόστηλον ἐκ γραμμῶν 29 (0,276 × 0,195 = 0,20 × 0,14).

Α'. (Ἀνθίμου πιθανῶς Ἱεροσολύμων πατριάρχου) δογματικῆς θεολογίας ἐγχειρίδιον ἀνεπίγραφον εἰς οζ' κεφάλαια διῃρημένον· πραγματεύεται δὲ περὶ τοῦ μυστηρίου τῆς Ἁγίας Τριάδος, περὶ τοῦ μυστηρίου τῆς ἐνσάρκου οἰκονομίας, περὶ τῶν μυστηρίων τῆς ἐκκλησίας, περὶ τῶν ἐντολῶν τοῦ Θεοῦ, περὶ προσευχῆς καὶ περὶ τοῦ τί ἐστιν ἁμάρτημα· οὕτω δὲ ἄρχεται· «Περὶ τοῦ μυστηρίου τῆς ἁγίας τριάδος κεφάλαιον α'. Ἐ[ρώτησις]. Τί εἶσαι σύ; Ἀ[πόκρι-



σις]. Χριστιανός. Ἐ[ρώτησις]. Τί λογῆς χριστιανός; Ἀ. Ὀρθόδοξος, ἀνατολικός, καθολικὸς καὶ ἀποστολικός» κτλ., σελ. 1-79.

Β'. «Ἑρμηνεία κατ' ἐρωταπόκρισιν εἰς τὰ ἱερὰ εὐαγγέλια τῶν Κυριακῶν ὅλου τοῦ χρόνου καὶ ἄλλων τινῶν ἑορτῶν, κατὰ τὸν θεῖον Θεοφύλακτον ἀρχιεπίσκοπον Βουλγαρίας, εἰς σύντομον ἐκλογὴν διὰ τὸ εὐμνημόνευτον», σελ. 1-298. — «Ἑρμηνεία κατ' ἐρωταπόκρισιν εἰς τοὺς Ἀποστόλους ὁποῦ λέγονται εἰς τὴν ἐκκλησίαν κατὰ πᾶσαν Κυριακὴν καὶ κάθε ἄλλην ἑορτὴν ὅλου τοῦ χρόνου, ἐκ τῆς τοῦ Χρυσοστόμου ἑρμηνείας κατ' ἐκλογὴν ἐρανισθεῖσα διὰ τὸ εὐμνημόνευτον», σελ. 299-511. Κατόπι φύλλα πολλὰ παντάπασιν ἄγραφα.

50. Τεῦχος μεμβράνινον ἐκ τῆς λαύρας ὡσαύτως Σάβα τοῦ ἡγιασμένου μετενεχθέν, γραφὲν δὲ ἔτει 1166-φ ἢ 1167-φ, οὗ τὰ φύλλα ἠριθμημένα (1-277)· πλὴν ἀλλὰ φύλλον 105-ον οὐχ εὑρίσκεται δι' ἐσφαλμένην τῶν φύλλων ἠρίθμησιν· ἐν δὲ τῇ ἀρχῇ προσετέθη τῇ ιδ' ἑκατ. φύλλον ἕν, ὃ περιέλαβε πίνακα τῶν ἐν τῷ κώδικι περιεχομένων· τὸ δὲ τούτου κατόπιν, ὅπερ ὁ τὰ φύλλ' ἀριθμήσας ἀναρίθμητον ἀφῆκε, προσήκει αὐτῷ τῷ κώδικι· ἔστι γὰρ τὸ πρῶτον τοῦ πρώτου τετραδίου, καὶ ἐπειδὴ τούτου σελὶς ἡ δευτέρα περιλαμβάνει πλαίσιον ἁπλοῦν μετὰ μικροῦ σταυροῦ, σκοπὸς ἦν οἶμαι τῷ καλλιγράφῳ ζωγραφῆσαι ἐν αὐτῷ τὴν εἰκόνα Μαξίμου τοῦ ὁμολογητοῦ· τούτου γὰρ ὁ κῶδιξ ἐμπερικλείει συγγραφήν. Οὕτως οὖν τὸ τεῦχος ἀριθμεῖ φύλλα 278· πρότερον ὅμως ἠρίθμει, καθὰ φαίνεται, τέσσαρα περιπλέον, ὧν δύο μὲν ἀπέκοψε Πορφύριος ὁ Οὐσπένσκης, τὰ δὲ λοιπὰ διὰ τὴν αὐτοῦ κοπὴν ἐκπεσόντα εὗρον ἐγὼ κατόπιν ἐν τῷ πύργῳ τῆς λαύρας τοῦ ἁγίου Σάβα, ἃ καὶ προσέθηκα τῷ κώδικι (φ. 88^α καὶ 88^β)· διὸ καὶ νῦν οὗτος ἀριθμεῖ τῳόντι φύλλα 280· ἃ δὲ φύλλα Πορφύριος ἀπέκοψεν ὁ Οὐσπένσκης, ἔχει νῦν ἡ Πετρουπόλεως αὐτοκρατορικὴ δημοσία βιβλιοθήκη [ἀριθ. 341. Отчетъ Импер. Публ. Библ. за 1883 г., σ. 133]· ἦν δὲ ταῦτα πρότερον ἐν τῷ κώδικι μετὰ τὸ νῦν 88-ον αὐτοῦ φύλλον. Καὶ ταῦτα μὲν περὶ τῆς καταστάσεως τοῦ κώδικος· ἔστι δὲ τὸ κείμενον αὐτοῦ κατὰ σελίδα μονόστηλον, γραμμὰς 21

Σελ. 107.

Κῶδιξ ἔτους 1166—1167-ου ἐν τῇ συλλογῇ τοῦ Σταυροῦ, ἀριθ. 50, φ. 277β.



ἀριθμοῦν (0,262×0,201 = 0,157 × 0,112), ἡ δὲ γραφὴ λεπτή τε καὶ φιλόκαλος· λεπτὰ δε καὶ τὰ φύλλα καὶ ἐστιλβωμένα· ὧν τὸ πρῶτον ἐμπεριέχει κόσμημα διὰ κινναβάρεως γεγγραμμένον, προσόμοιον τῷ Π γράμματι· ὑπὸ δὲ τοῦτο ἀναγινώσκεται ἐπιγραφὴ τοιαύτη· «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μαξίμου τοῦ ὁμολογητοῦ πρόλογος τῶν παρακειμένων ἐν τοῖς μετοπίοις σχολίων», οὗ ἡ ἀρχή· «Φυσικὸν μὲν τοῖς λογικοῖς πέφυκε κάλλος» κτλ. Φύλλ. 3 «Μαξίμου μοναχοῦ πρὸς Θαλάσσιον τὸν ὁσιώτατον πρεσβύτερον καὶ ἡγούμενον, περὶ διαφόρων ἀπόρων τῆς ἁγίας Γραφῆς» ἐπιστολή, ἧς ἡ ἀρχή· «Τῆς σαρκὸς κατὰ τὴν σχέσιν» κτλ. Φύλλ. 15-277β ἐρωταποκρίσεις ξε′ μετὰ σχολίων ἐν ταῖς ὤαις [Migne τ. 90, σ. 269-785]. Φύλλ. 277β σημείωμα διὰ κινναβάρεως· «Τέλος τῶν πρὸς Θαλάσσιον ἀποκρίσεων τοῦ ἁγίου Μαξίμου:- | Ἐτελειώθ(η) ἡ ϊερὰ αὕτ(η) βίβλος ἐπὶ τῆς βα(σιλείας) τοῦ ὀρθο|δόξου ἡμῶν βα(σιλέ)ως κυροῦ [Μανουὴλ] τοῦ Κομνηνοῦ, τὸν πατριαρχικὸν | διέποντος θρόνον [Μιχαὴλ] τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου· ἔτους ‚ϛχοε′». Τὰ δι᾽ ἀγκυλῶν ἐνταῦθα διακρινόμενα δύο ὀνόματα, Μανουὴλ καὶ Μιχαήλ, ἄλλος τις ἔγραφεν ἐν τῷ κώδικι, διὰ τὸ εἶναι, φαίνεται, πρότερον ἐφθαρμένα. Σημειωτέον καὶ τοῦτο, ὅτι ἐν τῇ ὤᾳ τοῦ δευτέρου φύλλου γέγραπται σημείωμα τῆς ιδ′ ἑκατ., ὅπερ ἀνέγνων οὕτως· «Ἠγοράσα[μεν] ἀπὸ τον υἱὸν (?) τοῦ Φράγγου εις - - - δέμα (?) ἐγὼ παπᾶ Ἰωάννης οἰκονόμος πρλ (?): — μετὰ δὲ θάνατον αὐτοῦ ἠγώρασα παρεμοῦ τοῦ Βασιλ(είου) Ὁρμουσί(ου?)».

51. Λειτουργικὸν εὐαγγέλιον ἀκέφαλόν τε καὶ ἀτελές, ὅπερ ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα κατεσπαραγμένον εὑρεθὲν ἐδέθη τε δυνατῶς καὶ τῇ βιβλιοθήκῃ προσετέθη τοῦ Σταυροῦ ἔτει 1873-ῳ. Ὅτε δὲ τοῦτο συνεσταχοῦτο, προσέθηκεν ὁ δέτης ἐν αὐτῷ φύλλα τέσσαρα ἑτέρου τινὸς κώδικος (φ. 102-105). Τὰ μὲν οὖν πρῶτα φύλλα (1-101) εὐαγγελίῳ τινὶ προσήκει λειτουργικῷ τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, οὗ τὸ κείμενον ἐν πληρεστάτῃ σελίδι γραμμὰς ἀριθμεῖ 27 (0,25 × 0,19 = 0,182 × 0,142), δίστηλόν τέ ἐστι καί τισι ταινιοειδέσι γράμμασιν ἐρυθροῖς κεκαλλωπισμένον· ἀρχε-



ται δὲ τὸ κείμενον αὐτοῦ ἀπὸ τῶν λέξεων τούτων· «- - - ἵνα τελειώσω αὐτά, αὐτὰ τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ» κτλ. (Ἰωάνν. ε', 36). Ἐν τῇ δευτέρᾳ σελίδι τοῦ 1-ου φύλλου ἀνάγνωσμα ὑπάρχει «Σαββάτου β', ἐκ τοῦ κατὰ Ἰωάννην» εὐαγγελίου. Φύλ. 88^{β} κέ. εὐαγγέλια ἑωθινά, μεθ' ἃ (φ. 92^{β}-101) συναξάριον τῶν εὐαγγελίων ἀπὸ τῆς α' τοῦ σεπτεμβρίου μέχρι τῆς ιϛ' τοῦ μαρτίου μηνός· μετὰ δὲ τοῦτο τέσσαρα πρόσθετα φύλλα, καθάπερ εἴρηται, προσήκοντα ἑτέρῳ τινὶ λειτουργικῷ εὐαγγελίῳ τῆς ια' ἑκατ., ὧν τὸ κείμενον ὡσαύτως δίστηλον ἐκ γραμμῶν 29, τετονισμένον τε διὰ σημαδοφώνων ἐρυθρῶν καὶ μεγάλοις κεφαλαιώδεσι γράμμασι κεκαλλωπισμένον· ἔχει δὲ τὰ γράμματα ταῦτα σχῆμα φαντασιῶδες καὶ χρώματα ποικίλα.

52. Τεῦχος ἐκ χάρτου βαμβακεροῦ, μετενεχθὲν ὡσαύτως ἐκ τῆς λαύρας τοῦ ἁγίου Σάβα· ἀριθμεῖ δὲ φύλλα 213 καὶ ὀκτὼ πρόσθετα χάρτινα μικροτέρου σχήματος· ἐγράφη δὲ μεταξὺ τῆς τρίτης καὶ δεκάτης καὶ τῆς τεσσαρεσκαιδεκάτης ἑκατονταετηρίδος. Τὸ κείμενον ἐν ἑκάστῃ σελίδι μονόστηλον ἐκ γραμμῶν 25 ($0{,}26 \times 0{,}175 = 0{,}176 \times 0{,}11$). Τὸ πρῶτον καὶ τὸ δεύτερον φύλλον ὑπέστη σῆψιν, ὅλον δὲ τὸ βιβλίον ἐβλάβη ὑφ' ὕδατος. Ἐπιγραφή (φ. 1^{α})· «Τυπικὸν τῆς ἐκκλησιαστικῆς [ἀκολουθίας, κατὰ τὴν τάξιν τῆς] ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν [Σάβα· αὕτη δὲ ἡ] ἀκολουθία γίνεται καὶ ἐν ταῖς λοιπαῖς [ἐκκλησίαις τῶν ἐν Ἱεροσολύ]μοις ἁγίων μονῶν». Ἀρχ. «Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ. Πρὸ τοῦ δῦναι τὸν ἥλιον, ἤγουν περὶ ὥραν» κτλ.—Φύλλ. 1^{β} «Περὶ τοῦ μεγάλου ἑσπερινοῦ».—Φύλ. 7 «Εἴδησις τῶν ἀγρυπνιῶν τοῦ ὅλου ἐνιαυτοῦ».—Φύλ. 8 «Ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως τῶν ἐν Ἱεροσολύμοις ἁγίων μονῶν». — Φύλ. 11^{β} «Ἀκολουθία τῆς ὅλης Πεντηκοστῆς».—Φύλ. 17^{β} «Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας τε καὶ συνάξεως τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ μηνὸς σεπτεμβρίου μέχρι μηνὸς αὐγούστου». — Φύλ. 96 «Ἀκολουθία τῆς ἁγίας καὶ μεγάλης μ'» μέχρι Δευτέρας τῆς μετὰ τὴν Κυριακὴν τῶν ἁγίων πάντων.—Φύλ. 150 «Περὶ τοῦ πῶς δεῖ θυμιᾶν» κεφάλαιον, οὗ τὸ τέλος ἔχει τοῦτο· «Τέλος σὺν

Θεῷ ἁγίῳ τοῦ τυπικοῦ».—Φύλ. 152 Πίναξ τῶν τυπικῶν κεφαλαίων Μάρκου, οὗ τὸ τέλος ἐπισφραγίζεται διστίχῳ τινὶ ἐπιγράμματι· «Τὰ δυσχερῆ πως τῆς τυπικοῦ πυξίδος | πολλοῖς ὁ πολὺς πρὸς διάγνωσιν λύει».—Φύλ. 155 «Μάρκῳ ἁμαρτωλῷ ἱερομονάχῳ σύνταγμα πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ τυπικοῦ», διῃρημένον εἰς κεφάλαια ϞΔ'.—Φύλ. 211 «Τὰ ἀναστάσιμα προκείμενα τῶν η' ἤχων· ἄμνημα».—Φύλ. 211β «Τὰ ἀναστάσιμα ἀλληλουάρια τῶν η' ἤχων, τὰ ἄμνημα».—Φύλ. 212β «Τὰ φωταγωγικὰ τῶν η' ἤχων», ὧν τὸ τέλος (φ. 313) ἔχει σημείωμα παντελῶς ἀσήμαντον, ἔτους 1672-ου.—Τετράδιον ἐξ ὀκτὼ φύλλων κοινοῦ χάρτου (φ. 214-221), γραφὲν τῇ ις' ἑκατ. περιέχει δὲ τὸν ἀκάθιστον ὕμνον τῆς ὑπεραγίας Θεοτόκου.

53. Λείψανον Ὡρολογίου μεμβρανίνου, εὑρεθὲν ὡσαύτως ἐσπαραγμένον ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα καὶ δυνατῶς εἶτα συνδεθέν· ἀριθμεῖ δὲ φύλλα 76 (μήκους 0,24, πλ. 0,181), ὧν τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 18 (0,16 × 0,11)· ἐγράφη δὲ μεταξὺ τῆς τρίτης καὶ δεκάτης καὶ τῆς τεσσαρεσκαιδεκάτης ἑκατονταετηρίδος Τὸ λείψανον τοῦτο σῴζει τινὰ τέλεια τετράδια, νῦν ἀτάκτως συνδεδεμένα, καὶ δύο φύλλα ἑτέρου τινὸς τετραδίου· ἕτερα δὲ φύλλα τέσσαρα (60-63) εὗρον ἐγὼ κατόπιν ἐν αὐτῇ τῇ λαύρᾳ Τὰ τετράδια νῦν ἔχει τάξιν τοιαύτην: η', θ', ι', ια', ιβ', ιγ', ζ', ις', ιδ' (δύο φύλλα μόνον), ιε'.

54. Τεῦχος τῆς ἡμετέρας ἐποχῆς ἐκ χάρτου κοινοῦ, μήκους 0,25, πλ. 0,17· ἀριθμεῖ δὲ σελίδας 144. Ἀνωνύμου «Θώραξ Πίστεως», εἰς ια' μέρη διῃρημένος· τοῦ δὲ προοιμίου ἡ ἀρχὴ τοιαύτη· «Ὁ πρὸς τὴν εὐσέβειαν ἔνθερμος ζῆλος καὶ ἡ ἐν Χριστῷ ἀδελφική μου, ἀδελφοὶ χριστιανοί, ἀγάπη μὲ ἐκίνησεν εἰς τὴν σύνθεσιν τῆς συγγραφῆς τοῦ παρόντος πονήματος» κτλ.

55. Τεῦχος μεμβράνινον εὑρεθὲν ὡσαύτως ἐσπαραγμένον ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα καὶ δεθὲν εἶτα δυνατῶς· ἀριθμεῖ δὲ φύλλα 153· ὀρθότερον ὅμως 156, ἐπειδὴ τρία τούτων (1α, 103α, 139α) ὁ δέτης ἀναρίθμητα κατέλιπε· προσέθηκε δὲ ὁ αὐτὸς καὶ ἔνδον τῶν πινακίδων ἓξ φύλλα μεμβράνινα ἑτέρου τινὸς μονοστήλου κώδικος ἐξ 25 γραμμῶν, ὧν ἡ γραφὴ τῆς ἑνδεκάτης ἑκα-



τονταετηρίδος, λεπτή τε καὶ ἀραιά· προσήκει δὲ ταῦτα δυσὶν ὁμιλίαις ἀγνώστου μοι συγγραφέως περί τε βαπτίσματος καὶ βασιλείας οὐρανῶν. Καὶ ταῦτα μὲν περὶ τῶν προσθέτων· αὐτὸς δὲ ὁ κῶδιξ, γραφεὶς ἔτει 927-ῳ, πρότερον ἠρίθμει, καθὰ φαίνεται, τετράδια μϛ'. Καίτοι δὲ τὰ φύλλα περιέκοψεν ὁ δέτης, οὐχ ἧττον οἱ ἀριθμοὶ πολλῶν τετραδίων διακρίνονται (ΚΘ - ΜΔ), πάντες ἐν ταῖς ἄνω τῶν πρώτων αὐτῶν φύλλων ἄκραις γεγραμμένοι· βέβαιον δὲ τοῦτο, ὅτι τὰ πρώτιστα εἴκοσι καὶ ἓξ τετράδια παντελῶς ἀπώλετο, εἰ μὴ ταῦτα νῦν εὐρωπαϊκή τις ἔχει βιβλιοθήκη. Τὸ σχῆμα τῶν φύλλων, ὡς τοῦτο δυστυχῶς ὁ δέτης ἐμόρφωσεν, ἔστι νῦν μήκους 0,232, πλάτους δὲ 0,17· τὸ δὲ κείμενον ἐν ἑκάστῃ σελίδι μονόστηλον ὂν καὶ γραμμὰς ἀριθμοῦν 25, χῶρον ἐμπεριγράφει 0,18×0,12. Σημειωτέον δὲ καὶ τοῦτο, ὅτι τετράδιά τινα (φ. 85-140) δεύτερος ἔγραφε καλλιγράφος τοῦ αὐτοῦ 927-ου ἔτους.

1. Ὑπὸ κόσμημα πλατύ, καθὰ τὸ φωτοτύπωμα δείκνυσιν, ἐπιγραφὴ τοιαύτη· «† Νείλου μοναχοῦ περὶ φιλοσοφίας». Ἀρχ. «Φιλοσοφεῖν ἐπετήδευσαν μὲν καὶ Ἑλλήνων πολλοὶ» κτλ., φ. 1 [Migne τ. 79, σ. 720]. Καὶ πάλιν ὑπὸ τὸ τέλος τοῦ κειμένου γράμμασι κεφαλαιώδεσι· «ΝΕΙΛΟΥ ΜΟΝΑΧΟΥ ἐρημίτου περὶ φιλοσοφίας».


2. «† Νείλου μοναχοῦ πρόλογος περὶ προσευχῆς ρνγ' κεφαλαίων». Ἀρχ. «Πυρέττοντά με τῷ φλογμῷ» κτλ., φ. 56. Φιλοκαλία τῶν ἱερῶν νηπτικῶν. Ἐνετίῃσιν 1782, σ. 153. Migne τ. 79, σ. 1165.

3. «Τοῦ αὐτοῦ περὶ προσευχῆς» κεφάλαια. Ἀρχ. «α'. Εἴ τις βούλοιτο εὐῶδες θυμίαμα» κτλ., φ. 57β.

4. «Τοῦ αὐτοῦ Νείλου μοναχοῦ περὶ τῶν η' λογισμῶν». Ἀρχ. «α' Περὶ γαστριμαργίας. Ἀρχὴ καρποφορίας ἄνθος» κτλ., φ. 71β [Migne ἔ. ἀ. σ. 1145]. Δύο φύλλα τούτου τοῦ πονηματίου, ἐν οἷς ὁ Νεῖλος περὶ κενοδοξίας ὁμιλεῖ, κόψας ἔδωκε τῇ Πετρουπόλεως αὐτοκρατορικῇ δημοσίᾳ βιβλιοθήκῃ Πορφύριος ὁ Οὐσπένσκης [ἀριθ. 339. Отчетъ Импер. Публ. Библ. за 1883 г., σ. 132]· ἔκοψε δὲ ταῦτα, ὅτε τὸ τεῦχος ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα κατέκειτο διεσπαραγμένον.

ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΚΑΡΠΑΘΙΟΥ ΠΡΟΣ
ΤΟΥΣ ΤΗΣ ΙΝΔΙΑΣ ΠΡΟΤΡΕΨΑΝΤΑΣ ΜΟΝΑ
ΧΟΥΣ ΠΑΡΑΚΛΗΤΙΚΟΣ· ΚΕΦΑΛΑΙΑ ΡΓ

Σελ. 110.
Κῶδιξ ἔτους 927-ου ἐν τῇ συλλογῇ τοῦ Σταυροῦ, ἀριθ. 55, φ. 85.



ΠΕΠΕΡΑΙΩΤΑΙ CΥΝ
ΘΩ Η ΘΕΟΤΕΥ
ΚΤΟC ΑΥΤΗ ΠΥΚ
ΤΗ ΜΗΝΙ ΑΠΡΙΛΙ
Ω ΙΔ ΗΜΕΡΑ Ζ Ω
ΡΑ Ζ ΙΝΔ ΙΕ ΕΤΟC
ΚΟCΜΟΥ ς ΥΛΕ

ωc ηδυc ο αρτοc τοιc πεινω
cιν και τοιc πλεουcιν ο ευδιοc
λιμην ουτω τοιc γραφουcιν ο υc
τατοc cτιχοc

Σελ. 111.
Κῶδιξ ἔτους 927-ου ἐν τῇ συλλογῇ τοῦ Σταυροῦ, ἀριθ. 55, φ. 153α.

5. Ὑπὸ κόσμημα προσόμοιον τῷ Π γράμματι ἐπιγραφὴ τοιαύτη· «Τοῦ ἁγίου Ἰωάννου τοῦ Καρπαθίου πρὸς τοὺς τῆς Ἰνδίας προτρέψαντας μοναχοὺς παρακλητικός· κεφάλαια ρ'». Ἀρχ. «Τοῖς ἐπὶ γῆς βασιλεῦσιν ἐαρινὰ ἄνθη», φ. 85. Ἱεροσολυμ. Βιβλιοθ. II, σ. 525-526.

6. «Τοῦ αὐτοῦ ἁγίου Ἰωάννου τοῦ Καρπαθίου ἄλλα κεφάλαια ρις'», ὧν ἡ ἀρχή· «α'. Καλὰ ἐξ ἀγαθοῦ τὰ πάντα γεγόνασιν», φ. 113. Ἱεροσολ. Βιβλιοθ. II, σ. 526.

7. «Τοῦ ὁσίου πατρὸς ἡμῶν ἀββᾶ Κασιανοῦ τοῦ Ῥωμαίου πρὸς Κάστορα ἐπίσκοπον περὶ τῶν ὀκτὼ λογισμῶν». Ἀρχ. «Πρώην τὸν περὶ διατυπώσεως κοινοβίων», φ. $131^{β}$.

8. Σημείωμα τοῦ καλλιγράφου κεφαλαιώδεσι γράμμασι κοκκίνοις (φ. $153^{α}$ ἢ ἀκριβέστερον $156^{α}$), οὗ τὸ πανομοιότυπον ὅρα ἐν τῷ φωτοτυπικῷ πίνακι· λέγει δὲ ταῦτα· «Πεπεραίωται σὺν | Θ(ε)ῷ ἡ θεότευ|κτος αὕτη πυκ|τῆ μηνὶ ἀπριλί|ω ιδ' ἡμέρα ζ', ὥ|ρα ζ' ἰνδικ. ιε' ἔτους | κόσμου ͵ϛυλε' [=927]. | Ὡς ηδὺς ὁ ἄρτος τοῖς πεινῶ|σιν. καὶ τοῖς πλέουσιν ὁ εὔδιος | λιμήν· οὕτω τοῖς γράφουσιν ὁ ὕσ|τατος στίχος: —|Παῦλο(ς) μο(να)χ(ὸς) δ(οῦλος) Χ(ριστοῦ)». Οὕτως ἀναγινώσκω τὸ μονόγραμμα, ὅπερ ὑπὸ τὸ σημείωμα γέγραπται. Σημειωτέον καὶ τοῦτο, ὅτι ἔν τινι τόπῳ τοῦ κώδικος (φ. $153^{β}$) ὑπάρχει σημείωμα τῆς ιδ' ἑκατ. ἀσήμαντον.

56. Τεῦχος ἐκ χάρτου πολυμερές, μήκους 0,226, πλάτους 0,16. Ἐν τῇ ἀρχῇ φύλλα τινά, ὧν τὸ πρῶτον ἔχει τὴν ἐπιγραφὴν ταύτην· «Ἱερὰ ἱστορία χρονολογικὴ τῆς πόλεως τοῦ Θεοῦ Ἱερουσαλὴμ ἀπὸ πολλῶν ἱστορικῶν ὑπὸ Μαξίμου τοῦ Συμαίου, τοῦ καὶ ἱεροδιδασκάλου χρηματίσαντος καὶ ἀρχιμανδρίτου τοῦ ἐν Ἱερουσαλὴμ εὐαγοῦς μοναστηρίου». Ἕτερον δὲ φύλλον ἔχει τὴν αὐτὴν ἐπιγραφὴν οὕτως· «Ἱερὰ ἱστορία περὶ τῆς πόλεως τοῦ μεγάλου βασιλέως καὶ πάσης Παλαιστίνης, συνερανισθεῖσα ἐκ πολλῶν παλαιῶν τε καὶ νεωτέρων, πρὸς πληροφορίαν καὶ ὠφέλειαν τῶν μετερχομένων προσκυνητῶν μάλιστα τοῦ παναγίου καὶ ζωοδόχου Τάφου, ἥτις ἄρχεται ἀπὸ τοῦ προπάτορος Ἀδὰμ καὶ λήγει κατὰ τὸ ͵αωα' ἔτος τὸ σωτήριον· ἐν ᾗ προσετέθη καὶ συνοπτικὴ



περιγραφὴ τῆς Ἁγίας Γῆς· διαιρεῖται δὲ ἡ ἱστορία εἰς τμήματα τρία, ὧν τὸ μὲν πρῶτον ἄρχεται ἀπὸ Ἀδὰμ καὶ λήγει εἰς τὸ θεομητορικὸν γενέσιον, τὸ δὲ β′ ἄρχεται ἀπὸ τῆς γεννήσεως τῆς Θεοτόκου καὶ τελευτᾷ εἰς τὴν ὑπερφυᾶ αὐτῆς κοίμησιν, τὸ δὲ γ′ ἄρχεται κατὰ συνέχειαν τῶν χρόνων ἀπὸ τοῦ θεαδέλφου Ἰακώβου, τοῦ πρώτου ἱεράρχου τῶν Ἱεροσολύμων, καὶ φθάνει εἰς τὰς πανολβίους ἡμέρας τοῦ νῦν πατριαρχοῦντος τῆς Ἱερουσαλὴμ κυρίου κυρίου Ἀνθίμου, ἕως τοῦ ‚αωα′ δηλαδὴ σωτηρίου ἔτους». Καὶ εἶτα· «Ἐκ τῶν τῆς βιβλιοθήκης τοῦ Παναγίου Τάφου».

Α′) Ἱερὰ ἱστορία τῆς Ἱερουσαλήμ· τμῆμα α′, σ. 1-116· τμῆμα β′, σ. 117-214· τμῆμα γ′, σ. 215-439. Εἶτα φύλλα ἑπτὰ παντάπασιν ἄγραφα· μεθ' ἃ φύλλα 45, ἐν οἷς περιέχεται

Β′) Συνοπτικὴ περιγραφὴ τῆς Ἁγίας Γῆς· εἶτα πάλιν ἑπτὰ φύλλα, ἐν οἷς περιέχονται


Γ′) «Κανόνες δύο ψαλλόμενοι εἰς τὴν μνήμην τῶν ἀοιδίμων πάντων πατριαρχῶν τῆς Ἱερουσαλήμ, μετὰ τὴν πανήγυριν τοῦ θεαδέλφου Ἰακώβου, τῇ κδ′ ὀκτωβρίου, ὡς ἔθος». Ἀρχ. «Τοὺς τῆς Σιὼν ἀνυμνήσωμεν» κτλ. Ἱεροσολυμ. Βιβλιοθ. II, σ. 216. Ἀνάλεκτα Ἱεροσολ. Σταχυολογίας, I, σ. 124 κέ.

Δ′) «Ἀνανέωσις τῆς ἱερᾶς ἀκολουθίας τῶν Ἱεροσολύμων κατὰ τὴν Μεγάλην Ἑβδομάδα καὶ τὴν Διακαινήσιμον, ἣν ἐν ἔτει ‚αωδ′, μαρτίου ζ′, ἐνέτυχον ἐν τῇ ἱερᾷ τοῦ ἡγιασμένου Σάββα βιβλιοθήκῃ, ἐν τῇ αὐτοῦ λαύρᾳ. Ἡ ἀρχὴ λείπει». Ἀρχ. «Δεῦτε καὶ ἡμεῖς σήμερον», σελ. 1-172. Τὸ πρωτότυπον τῆς ἀκολουθίας ταύτης ὅρα ἔμπροσθεν (ἀριθ. 43), τὸ δὲ κείμενον ἐν τοῖς Ἀναλέκτοις, τ. II, σ. 1-254. Τὴν ἐν τῷ κώδικι τούτῳ τῆς αὐτῆς ἀκολουθίας ἐπιτομήν, γενομένην ὑπὸ Μαξίμου τοῦ Συμαίου, τύποις ἐξέδωκεν ὁ καθηγητὴς Δημητριέβσκης [Богослуженіе страстной и пасхальной седмицъ во Св. Іерусалимѣ IX-X в. Текстъ, снабженный, кромѣ предисловія, археологическими и литургическими примѣчаніями издается по рукописи 1804 года Іерусалимской патріаршей библіотеки. А. Дмитріевскаго. Ἐν Καζανίῳ (1888) - 1894]. Μετὰ τὴν ἀκολουθίαν τῆς Μεγάλης

Ἑβδομάδος ἀναγινώσκεται σημείωμα τοιοῦτον (σ. 136)· «Αὕτη ἡ διάταξις ἐπεκράτει τὸ πάλαι εἰς τὴν ἐν Ἱερουσαλὴμ ἁγίαν τοῦ Χριστοῦ ἐκκλησίαν, ἣν κατεστρώσαμεν καὶ αὐτὴν ἐνταῦθα πρὸς εἴδησιν τῶν φιλοϊστόρων προσκυνητῶν τῶν θεοβαδίστων ἐν Ἱερουσαλὴμ καὶ κοσμοσωτηρίων τόπων, ἀντιγράψαντες αὐτὴν ἀπὸ χειρογράφου μεμβραΐνου παλαιοτάτου, ὅπερ εἰς τὸ τέλος περιεῖχεν οὕτως: Ἐκτίσθη ἡ δέλτος αὕτη κτλ. Ἀντεγράφη δὲ ἐν ἔτει Χγ ͵αωδ' ὀκτωβρίου κα', ἐν τῇ Ἁγίᾳ Πόλει, ἔνθα προσετέθη καὶ ἡ ἐφεξῆς ἀκολουθία τῆς Διακαινησίμου ἐκ τῆς αὐτῆς ἱερᾶς βίβλου ἀπαραλλάκτως, ἄνευ τινὸς προσθέσεως ἢ ἐλλείψεως, ὅλη δηλαδὴ ἀντεγράφη, ἢ μᾶλλον εἰπεῖν ἀνεκαινίσθη ἐκεῖνο τὸ θεῖον τεῦχος, διὰ ψυχικήν μου σωτηρίαν». Καὶ πάλιν ἐν τῇ 172-ᾳ σελίδι· «Εἴληφε τέλος καὶ αὕτη ἡ τῆς Διακαινησίμου χαρμόσυνος καὶ κοσμοσωτήριος ἀναστάσιμος ἀκολουθία ἐν ἔτει ͵αωε', ἰουλίου ις', ἡμέρᾳ Κυριακῇ, ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλήμ».

Ε') Ἀσματικὴ ἀκολουθία τῶν κεκοιμημένων κληρικῶν τῆς Ἁγίας Ἀναστάσεως, ψαλλομένη τῇ κα' τοῦ μηνὸς ἰανουαρίου, σ. 1-15, ἔνθα τὸ «ἀντεγράφη ἐν Ἱερουσαλὴμ ͵αωε', ἰουλίου κ'».— Σελ. 16-64 κανόνες ᾀσματικοὶ ὀκτὼ πρὸς τὸν ἀδελφόθεον Ἰάκωβον, ἀντιγραφέντες ἔτει ͵αωε', ἰουλίου κς'.—Σελ. 65-72 «Ἕτερος κανὼν φέρων ἀκροστιχίδα τήνδε, χωρὶς τῶν τριαδικῶν καὶ τῶν θεοτοκίων: Ἀρχιερέων Θεοῦ πόλεως αἰνῶ τοὺς ἄθλους». Ἀντεγράφη δὲ ταῦτα ἐκ τοῦ 135-ου Σαβαϊτικοῦ κώδικος. Ἱεροσολ. Βιβλιοθ. II, σ. 216.

ς') «Ἀκολουθία εἰς ἁγιασμόν. Μετὰ τὴν εὐλόγησιν τοῦ ἱερέως ποιοῦμεν τρισάγιον. Παναγία τριάς. Πάτερ ἡμῶν» κτλ., σελ. 1-14, ἔνθα τὸ σημείωμα τοῦτο· «Αὕτη ἡ ἀκολουθία ἐν ἔτει ͵αωε', ἰουλίου θ', ἐν Ἱερουσαλήμ, ἀντεγράφη παρά τινος βιβλίου μεμβραΐνου, ἀπὸ τῶν τῆς λαύρας τοῦ ἁγίου Σάββα, ἑξαμηναίου ὀνομαζομένου, ἀρχομένης ἀπ' ἀρχῆς σεπτεμβρίου καὶ ἀφιερωμένου παρὰ τοῦ Κρήτης Νικηφόρου τῇ σεβασμίᾳ μονῇ τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου τοῦ ἐν τῷ Ἰορδάνῃ, μηνὶ ἰουλίῳ, ἰνδικτιόνος



ιδ', ἔτει ἀπὸ Ἀδὰμ ‚ϛωκδ', ἤτοι ἐν ἔτει σωτηρίῳ 1316, ἐπὶ τοῦ τῶν Γραικο-Ῥωμαίων βυζαντινοῦ αὐτοκράτορος Ἀνδρονίκου β' τοῦ Παλαιολόγου» [Ἱεροσολ. Βιβλιοθ. II, σ. 84-85]. Κατόπιν ἄγραφα πολλὰ φύλλα.

57. Τεῦχος μεμβράνινον ἐκ τῆς λαύρας τοῦ ἁγίου Σάβα παραληφθέν· σῴζει τετράδια ἑκκαίδεκα (α'-ια', ιδ', ιε', ιη', ιθ', κ'), φύλλα δὲ συναριθμεῖ, κατὰ τὴν αὐτῶν ἀρίθμησιν, 184, ἀκριβῶς δὲ 186, ἐπειδὴ τούτων δύο τὸν αὐτὸν ὂν καὶ τὰ πρὸ τούτων ἀριθμὸν ἔχει (φ. 83α καὶ 95α). Τὰ πρῶτα 146 φύλλα μεμβράνινα, τὰ δὲ κατόπι χάρτινα, ἅπερ ἔγραψε Λαζάριος ἱερεὺς ἔτει 1481-φ, καθὰ δηλοῖ τὸ σημείωμα τοῦτο (φ. 169β)· «ταπινοῦ ἐπισκόπου Ἰώσήφ. Καστωρίας καὶ Μολεΐσκου καὶ Ἀνεσελίτζας.|—ταπινοῦ ἐπισκώπου Ἰώσήφ.| ἐν ἔτει ‚ϛϠπθ' [=1481] φευρουαρίου κδ'| κύκλος [ἡλίου ιη'], ☽ κύκλος ιζ', τὸ θεμέλιον ι'| ἰνδικτ. ιε'. Ἱερεὺς Λαζαρίου». Τὰ μεμβράνινα φύλλα ἐγράφη μεταξὺ τῆς δυοκαιδεκάτης καὶ τῆς τρίτης καὶ δεκάτης ἑκατονταετηρίδος. Τὸ τεῦχος ὅλον ἐμπεριέχει τὰς πράξεις καὶ τὰς ἐπιστολὰς τῶν ἀποστόλων, καὶ τὴν ἀποκάλυψιν Ἰωάννου τὴν κανονικήν, ἀλλὰ μετὰ πολλῶν ἐλλειμμάτων, διὰ τὴν ἐκ παλαιοῦ τεσσάρων τετραδίων ἀφαίρεσιν (ιβ', ιγ', ιϛ', ιζ'). Ἐν ταῖς ᾤαις ὑπάρχουσιν ἐκ κινναβάρεως ἐπιγραφαὶ κεφαλαίων καὶ σημειώματα περὶ τῶν ἐν ταῖς ἱεραῖς λειτουργίαις ἀναγινωσκομένων περικοπῶν. Ἡ μέντοι ἀποκάλυψις λήγει εἰς τὴν δευτέραν σελίδα τοῦ 169-ου φύλλου· ἀπὸ δὲ τοῦ 170-οῦ καὶ ἑξῆς ὑπάρχουσι πρῶτον ἀκέφαλοι τῶν ἀρχοτελειῶν οἱ πίνακες, εἶτα δὲ τὸ συναξάριον τοῦ Πραξαποστόλου. Σημειωτέον ἔτι, ὅτι τὸ ιδ' τετράδιον εὑρίσκεται μετὰ τὸ ιε', ὅτι τὸ τεῦχος ἔστι μήκους 0,23 καὶ πλάτους 0,175, ὅτι τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ὂν ἀριθμεῖ γραμμὰς 22 μέχρις 25, καὶ ὅτι τοῦ κώδικος ὁ δέτης ἐν τῇ ἀρχῇ προσέθηκε φύλλα δύο μεμβράνινα μονοστήλου Τριῳδίου τῆς ια' ἑκατ. ἐκ γραμμῶν 24, ἐν οἷς ἀναγινώσκεται μέρος ἀκολουθίας, τῇ μεγάλῃ Πέμπτῃ ψαλλομένης, ἧς τὰ δοξαστικὰ τροπάρια τετονισμένα διὰ κοκκίνων σημαδοφώνων· ἀλλὰ καὶ πάλιν ἥμισυ φύλλον τοῦ αὐτοῦ Τριῳδίου εὑρίσκεται ἔνδον τῆς δευτέρας πινακίδος. Ταῦτα περί τε τοῦ πε-

Σελ. 114.

Κῶδιξ παλίμψηστος ἐν τῇ συλλογῇ τοῦ Σταυροῦ, ἀριθ. 57, φ. 31α.

ριεχομένου ἐν τούτῳ τῷ κώδικι καὶ περὶ τῆς καταστάσεως αὐτοῦ τοῦ κώδικος, οὗ τὰ πλείω τῶν φύλλων ἐστὶ παλίμψηστα· καθαρὰ γὰρ ἔστι τάδε μόνα· 115, 117-121, 134, 135, 139, 140-146· τὰ δὲ λοιπὰ προσήκοντα τέσσαρσι παλαιοτάτοις κώδιξιν ἀπεσπάσθη τούτων, ἵνα, τῆς πρώτης αὐτῶν γραφῆς ἀποσπογγισθείσης, διὰ δευτέρας ἐγχαράξεως ἀποτελεσθῇ βιβλίον Πραξαποστόλου παλίμψηστον. Καὶ τίνα μὲν παλαιὰ κείμενα περιελάμβανε πρότερον τὰ καθάπερ εἴρηται λείποντα τετράδια, παντελῶς ὡς εἰκὸς ἀγνοῶ[1]· τὰ δὲ νῦν ὑπάρχοντα γνωρίζει μετὰ πείσμονα τῶν φύλλων ἐξέτασιν, ἀναλώσασαν οὐ βραχὺ χρόνον τῆς ἐν Ἱερουσαλὴμ πολυπόνου διατριβῆς μου, ταῦτα μόνα, βραχέα πάντως καὶ οὐχ ἱκανά· νομίζω γάρ, ὅτι χρῄζομεν ἐρεύνης τοῦ κώδικος ἐκτενεστέρας, τὸ μὲν ἐπὶ βεβαιώσει ἢ μὴ βεβαιώσει τῶν ἐμῶν παρατηρήσεων, τὸ δὲ ἐπ' ὠφελίμῳ κριτικῇ χρήσει τῶν ἐν ἐκείνῳ παλαιῶν κειμένων.

α') Ἀνέγνων εὐχερῶς οὐκ ὀλίγα μέρη μελετῶν Λιβανίου, οἷον τοῦ Κορινθίων λόγου, Κίμωνος, Νεοκλέους, Θεμιστοκλέους, ὧν ἡ γραφὴ λεπτὴ καὶ πλήρης στενογραφικῶν σημείων· ἐγένετο δὲ αὕτη κατ' ἐμὲ περὶ τὴν ἀρχὴν τῆς ἑνδεκάτης ἑκατονταετηρίδος· ἑκάστη τῶν σελίδων ἀριθμεῖ γραμμὰς τριάκοντα καὶ δύο (φύλλ. τοῦ κώδικος 1-90, 93, 94, 95, 102-105, 114, 122). Πολλῶν φύλλων ἡ γραφὴ σφοδρῶς ἀποξεσθεῖσα οὐ διακρίνεται, ἑτέρων δὲ οὐκ ὀλίγων εὐχερῶς ἀναγινώσκεται, ἐπειδὴ τὸ νεώτερον κείμενον ὁτὲ μὲν ἐγράφετο κάτω τῶν παλαιῶν γραμμῶν, ὁτὲ δ' ἐπ' αὐτῶν τῶν γραμμῶν.

β') Λειτουργικοῦ τινος εὐαγγελίου φύλλα δύο (116 καὶ 119), γεγραμμένα γράμμασιν ὀγκίνοις κεφαλαιώδεσι τῆς ι' ἑκατ. Ἑκάστη τῶν σελίδων ἀριθμεῖ γραμμὰς 23.

γ') Φύλλα τεύχους ἑτέρου τῆς ια' ἑκατ., ὧν ἡ γραφὴ μονόστηλος ἐξ 28 γραμμῶν (φ. 106-113, 123-132, 137 καὶ 138). Ἐκ τοῦ φ. 125α μετέγραψα ταῦτα· «φειδόμ - - - καὶ ἔβαλεν οὐκ

[1] Τὰ τετράδια ταῦτα περιελάμβανεν ἐκ τοῦ νέου κειμένου μέρος τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς, τὴν πρὸς Κορινθίους α' ἄχρις κη' κεφαλαίου, ἀκολουθίαν τῆς β' πρὸς Κορινθίους καὶ τὴν ἀρχὴν τῆς πρὸς Ἐφεσίους ἄχρι τοῦ ιδ' κεφαλαίου.

*




- - - - - - τῆς μάχης μέρος. ἀλλ' ὅντινα πρῶτον ἴδ - - -, τοῦτον ἀνήλισκε. αὐτὴ μὲν οὐχ ὁρωμένη, ἀλλὰ ῥαδίως πρὸς τὴν πυρκαϊᾶν τοὺς ἐμαν - - - -». Ἐξ ἑτέρου δὲ φύλλου ταῦτα (124β)· «κἀκείνη τὴν ἐπιβουλὴν συνθείσης [ἔπειτ'] Ἀντικλῆς ὅπως μὲν ὁ πηρ αὐτῶ δημεύσει τῶν ὄντων ὑποβληθείη συστάντων ἐπ' αὐτὸν τῶν κατὰ γένος τῆι Δημενέτηι προσηκόντων. καὶ πρὸς ὑπ[όνο]ιαν φόνου τὸν δῆμον κατ' αὐτοῦ κινησάντων». Εὗρε δὲ Ῥιχάρδος ὁ Foerster ἐρωτηθεὶς εἶναι ταῦτα ῥήματα τῶν Αἰθιοπικῶν Ἡλιοδώρου, βιβλ. ς', κεφ. β', σ. 320 Didot, γρ. 39-43.

δ') Λείψανον τοῦ πρωτοτύπου τυπικοῦ βασιλίσσης Εἰρήνης τῆς Δουκαίνης (φ. 91, 92, 100, 101, 133, 136) διὰ τὴν ἐν Κωνσταντινουπόλει μονὴν Θεοτόκου τῆς Κεχαριτωμένης· ἔστι δὲ τοῦτο πιθανῶς μέρος τοῦ Παρισιακοῦ 384-ου κώδικος, ἐξ οὗ τὸ τυπικὸν ἀτελές, ὡς γνωστόν, ἐξετυπώθη [Migne τ. 127, σ. 992 κέ. H. Omont, Inventaire sommaire des MSS grecs de la Bibliothèque Nationale, I, σ. 40]. Τεμάχη ἀναγνωσθέντα ὑπ' ἐμοῦ: φ. 92α «Ἑτέρα εἰκὼν ὁμοία ὁ ἅγιος Βασίλειος: —Ἑτέρα εἰκὼν μετὰ καὶ θύρων· ὁ προφήτης Δανιήλ, καὶ [οἱ] ἅγιοι - - -». Φύλλ. 100β «Ἑτέρα εἰκὼν ἡ Θεοτόκος μετὰ τοῦ βρέφους μετὰ περιφερίων ἀργυροδιαχρύσων ἱστορημένων ἐκ διαφόρων ἁγίων καὶ ὑελίων διαφόρων:-». Φύλ. 100α «Περὶ τῶν τέμπλων, τῶν κρηνῶν, τῶν σταυρῶν [καὶ τῶν] τούτων χαμαρῶν, τῶν ἁγίων θυρῶν, τῶν κεφαλίδων, τῶν ἀμουφνίων (?), καὶ τῶν ἐν τοῖς κίοσιν ἐμπεπηγμένων ἀργυρῶν διαχρύσων - - -». Φύλ. 91β « - - - διὰ στίχων: Ἄνασσα δῶρον Εἰρήνη σταυροῦ ξύλον | μονῇ βραβεύη [sic] σῇ Κεχαριτωμένη. Ἔσωθεν αὐτῆς τίμιον ξύλον μετὰ βουτίων χρυσῶν (φ. 92α) καὶ ὑελίων β':— Ἑτέρα θήκη τιμίου ξύλου ἀργυρᾶ ὁλοδιάχρυσος ἔχουσα - - - ». Φύλ. 101β «Διὰ τῶν τιμίων σταυρῶν: — Σταυρὸς ἀργυροῦς διάχρυσος ὁ ἱστάμενος ἄνωθεν τοῦ βήματος ἀπὸ ἄνωθεν ἕως κάτω τζαπωτός. ἀργυροδιάχρυσος ἔχον [sic] ἐν τῷ ἔμπροσθεν μέρει αὐτοῦ καὶ τὸ - - - -». Φύλ. 101α «Περὶ τῶν ἱερῶν δισκοποτηριων καὶ ἀντιδίσκων:- Δισκοποτήριον ἀργυροῦν διάχρυσον ἓν μετὰ λαβίδος ἰθμοῦ καὶ ἀστερίσκου. ἱστῶν λίτρας ὀκτώ, οὐγγίαν μίαν: Ἕτερον δισκοποτήριον» κτλ.

58. Τεῦχος ἐκ φύλλων χάρτου 261, μήκους 0,222, πλάτους 0,16, μετενεχθὲν ὡσαύτως ἐκ τῆς λαύρας τοῦ ἁγίου Σάβα· ἧς τὸ ὄνομα περιέχει τῶν ἐν τῇ ἀρχῇ προσθέτων φύλλων ἔνθα καὶ σημειώματα λατινικά· οἷον, «Octavo armaro. Loco..... ex Aluisi Darmer principiae a di 2 april 1518. 2 finisis a di 5 april 1521. et ha libri. n^0 3 filos n^0 2. et tre ducal n^0 130» κτλ. Τὸ τεῦχος ἐγράφη διὰ τριῶν, ὡς φαίνεται, γραφέων τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος. Φύλλα ἄγραφα: 94—97, 139, 149^{β}—151, 164—168, 219^{β}—223.

Α΄. Γράψιμον ἱερέως ἐκ Κρήτης, ὄνομα Μακάριος. α΄) Ἰωάννου τοῦ Χρυσοστόμου ὑπόμνημα εἰς τοὺς Ψαλμούς, οὗ ἡ ἀρχή· «Πᾶσαι μὲν ἅγιαι αἱ θεῖαι Γραφαί», φ. 1-12.—β΄) «Ὑπόθεσις Εὐσεβείου τοῦ Παμφίλου εἰς τοὺς Ψαλμούς», ἧς ἡ ἀρχή· «Τῆς βίβλου τῶν Ψαλμῶν ἥδε» κτλ., φ. 13.—γ΄) «Βίος καὶ πολιτεία Ἀδὰμ καὶ Εὔας τῶν πρωτοπλάστων, ἀποκαλυφθεὶς ἐκ προστάξεως Θεοῦ διὰ τοῦ Ἀρχαγγέλου τῷ Μωϋσῇ, τῷ θεράποντι αὐτοῦ, ὅτε καὶ τὰς πλάκας τῆς διαθήκης ἐδέξατο». Ἀρχ. «Ἀδὰμ καὶ Εὔας τῶν πρωτοπλάστων. Μετὰ τὸ ἐξελθεῖν αὐτοὺς ἐκ τοῦ παραδείσου», φ. 28 [Tischendorf, Apocalypses apocryphae, σ. 1 κἑ].—δ΄) Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος περὶ ψευδοπροφητῶν καὶ ψευδοδιδασκάλων καὶ ἀθέων αἱρετικῶν, καὶ περὶ σημείων τῆς συντελείας τοῦ αἰῶνος τούτου· ἐρρέθη μέλλοντος αὐτοῦ ἐκδημεῖν ἐκ τοῦ σώματος». Ἀρχ. «Ὀδυνηρὸς ὁ λόγος», φ. 49^{β}—93^{β}, ἔνθα γέγραπται τὸ «Θεοῦ τὸ δῶρον καὶ Μακαρίου τλήμονος ἱερέως πόνος, τοῦ ἀπὸ Κρίτης» [sic].

Β΄. Γράψιμον ἑτέρων. α΄) «Ἐκλογαὶ διαφόρων τῆς Παλαιᾶς ῥητῶν, περὶ τῆς ἁγίας Τριάδος καὶ τῆς ἐνανθρωπήσεως τοῦ υἱοῦ τοῦ Θεοῦ, συναχθεῖσαι παρὰ τοῦ ἱερωτάτου ἐπισκόπου Κύπρου κυροῦ Ἐπιφανίου», φ. 98-138.—β΄) «Ὁ πρόλογος τοῦ βιβλίου τοῦ Πατερικοῦ, ἤτοι τοῦ Γεροντικοῦ, τοῦ λεγομένου Παραδείσου. Πρόλογος περὶ βίου καὶ ἀσκήσεως τῶν μακαρίων καὶ ἁγίων πατέρων». Ἀρχ. «Ὁ ὢν ἐν ἀρχῇ πρὸς τὸν Θεὸν» κτλ., φ. 140—149^{α}. Τὸ κείμενον δίστηλον.—γ΄) Ἀναστασίου τοῦ Σιναΐτου «λό-



γος περὶ τῆς ἁγίας συνάξεως, καὶ περὶ τοῦ μὴ κρίνειν καὶ τοῦ μνησικακεῖν». Ἀρχ. «Ἀεὶ μὲν ἡ τοῦ ἁγίου πνεύματος χάρις», φ. 152. Τὸ κείμενον δίστηλον.—δ') Ἀνεπίγραφον περὶ τῶν ιβ' σοφῶν καὶ περὶ Παύλου τοῦ ἰλλουστρίου, φ. 160. Ἀσκητικὰ διηγήματα δύο γεγραμμένα διστήλως. — δ') «Ἐκλογαὶ διάφοροι τῶν θείων προφητῶν περὶ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ περὶ τοῦ πάθους αὐτοῦ, καὶ ὅτι θέλει ἔλθη ὁ Ἀντίχριστος προτίτερα τῆς δευτέρας παρουσίας αὐτοῦ τοῦ Κυρίου· τὰ ὁποῖα ἐμετεγλωττίσθησαν ἐκ τῆς ἑλληνικῆς διαλέκτου εἰς τὴν κοινὴν γλῶτταν ἐν ἔτει ,ζοζ', μηνὶ νοεμβρίῳ» [=1568], φ. 162-234.—ε') «Κανὼν ψαλλόμενος εἰς καιρὸν ἀνομβρίας· ποίημα τοῦ σοφωτάτου κυροῦ Μιχαὴλ ἱερομονάχου». Ἀρχ. «Ἦχος δ'. Σταγόνας, ἐλέησον | πανυπεράγαθε, στάλαξον», φ. 235β.—ζ') «[Π]ερὶ τῶν μὴ φυλασσόντων τὰ νόμιμα» καὶ περὶ προσκυνήσεως τῶν ἱερῶν εἰκόνων. Ἀρχ. «Ἡμεῖς οἱ ἱερεῖς, οἱ μὴ φυλάσσοντες τὰ νόμιμα», φ. 240β.—ζ') Συνταγαὶ ἰατροσοφίου, φ. 241β.

Γ'. Πρόσθετα πεντάδια δύο. «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Μακαρίου τοῦ Ῥωμαίου, τοῦ εὑρεθέντος ἀπὸ εἴκοσι μιλίων τοῦ Παραδείσου». Ἀρχ. «Παρακαλοῦμεν ὑμᾶς, ἀδελφοί», φ. 242—261. Πρβλ. A. Vassiliev, Anecdota graecobyzantina, σ. 135.

59. Αὐτόγραφος ἐκ χάρτου κοινοῦ κῶδιξ Ἀνθίμου τοῦ ἐξ Ἀγχιάλου, μήκους 0,235, πλάτους 0,175· ἀριθμεῖ δὲ σελίδας 63. Μετὰ τὴν πρώτην πινακίδα φύλλον ἐξ ἀρχῆς ἄγραφον, ὅπερ ἐμπεριέλαβεν ὕστερον τὸ σημείωμα τοῦτο· «Ἀφιεροῦται τῇ ἡμετέρᾳ Πατριαρχικῇ Θεολογικῇ Σχολῇ, ἵν' ἀποτεθῇ τῇ ἐκεῖ βιβλιοθήκῃ. Ἐν Ἱερουσαλὴμ τῇ 16 μαρτίου 1885. † Ὁ Ἱεροσολύμων Νικόδημος».

1. «Λόγος ἐπιβατήριος, συντεθεὶς παρ' ἐμοῦ τοῦ ἀρχιγραμματέως Ἀνθίμου μοναχοῦ τοῦ ἐξ Ἀγχιάλου, ἐπὶ τῇ προπαρασκευαζομένῃ ἐνδημίᾳ εἰς Ἱερουσαλὴμ τοῦ μακαριωτάτου κυρίου Ἀθανασίου, ὅπως ἐκφωνηθῇ ἔνδον τοῦ ἁγιωτάτου Ναοῦ [=τῆς Ἀναστάσεως]· ἀλλ' ὁ αὐτὸς ἀναχαιτισθεὶς ὑπὸ τῶν περιστάσεων



έγενετο εἰς Κωνσταντινούπολιν ἀοίδιμος· δι' ὃ καὶ ἔμεινεν ὁ λόγος ἀνεκφώνητος. Ἐν μηνὶ νοεμβρίῳ ͵αωλγ'». Ἀρχ. «Ὡς φοβερὸς ὁ τόπος οὗτος», σελ. 1.

2. «Περὶ τῆς ἐκτάσεως τοῦ πατριαρχικοῦ θρόνου τῶν Ἱεροσολύμων καὶ τῶν ὑπ' αὐτὸν τελούντων ἓξ μητροπολιτῶν, ἑπτὰ ἀρχιεπισκόπων καὶ ἑνὸς ἐπισκόπου· πόσας πόλεις ἔχουσι καὶ χωρία, ἐν οἷς οἰκοῦσι χριστιανοὶ ὀρθόδοξοι καὶ ἑτερόδοξοι». Μετὰ τὸ πέρας· «Αὕτη ἐστὶν ἡ ἔκθεσις τῆς περιοδείας μου κατὰ τὴν Ἁγίαν Γῆν, γενομένη κατὰ τὸ ͵αωλε' ἔτος, διῃρημένη κατὰ τοὺς θρόνους τῶν ὑποτελούντων μητροπολιτῶν καὶ ἀρχιεπισκόπων ὑπὸ τὸν ἁγιώτατον πατριαρχικὸν θρόνον τοῦ Ἱεροσολύμων, καὶ περὶ τῶν ἐν αὐτοῖς περιέργων ἀρχαιοτήτων διαλαμβάνουσα· συντεθεῖσα παρ' ἐμοῦ Ἀνθίμου μοναχοῦ ἀρχιγραμματέως τοῦ ἐξ Ἀγχιάλου. Ἐν Ἱερουσαλήμ», σελ. 6—28. Ἐξεδόθη ῥωσιστὶ ζῶντος ἔτι τοῦ συγγραφέως: О предѣлахъ апостольскаго патріаршаго Іерусалимскаго престола, и о подвластныхъ ему епархіяхъ. Составлено по повелѣнію блаженнѣйшаго патріарха Аѳанасія, письмоводителемъ его монахомъ Анѳимомъ, въ Іерусалимѣ 1838 года. Ἐν Πετρουπόλει 1840, σελίδες 43 σχήματος 8-ου.

3. «Ὑπόμνημα εἰς τὸν βίον τοῦ ἀοιδίμου ἁγίου Πέτρας κυρίου Μισαήλ, σχεδιασθὲν κατ' ἐπιταγὴν τοῦ μακαριωτάτου ἡμῶν δεσπότου κυρίου Ἀθανασίου ὑπ' ἐμοῦ Ἀνθίμου γραμματέως τοῦ ἐξ Ἀγχιάλου». Μετὰ τὸ πέρας· «Ἐν Ἱερουσαλὴμ ͵αωλζ'ῳ ἀπριλλίου κε'», σελ. 29—36.

4. «Συνταγμάτιον παρὰ τοῦ Νείλου τοῦ λεγομένου Δοξαπατρῆ, κατὰ κέλευσιν τοῦ ῥηγὸς Σικελίας Ῥογερίου, περὶ τῶν ε' πατριαρχικῶν θρόνων, πῶς καὶ πότε συνέστη ἕκαστος, καὶ (περὶ) τῆς τάξεως αὐτῶν καὶ τίνα λόγον ἐπέχουσιν· ἐν ἔτει ͵ϛχνα'. Ἀντεγράφη δὲ ἐκ παλαιοῦ χειρογράφου καὶ διερρωγότος, εὑρεθέντος ἐν τῇ βιβλιοθήκῃ τοῦ Πατριαρχείου τῆς Ἱερουσαλήμ, παρ' ἐμοῦ Ἀνθίμου μοναχοῦ ἀρχιγραμματέως. ͵αωιζ'», σ. 37—48.

5. «Προσφωνημάτιον πρὸς τὸν σοφολογιώτατον ἅγιον ἀρχιμανδρίτην καὶ σεβαστόν μοι γέροντα κύριον Δανιήλ, παρ' ἐμοῦ



τοῦ συντεθεικότος τὴν ἱερὰν ταύτην κατήχησιν· ὃς δὴ καὶ απονέμω τὴν δουλικήν μου προσκύνησιν», σελ. 49. Μετὰ τὸ πέρας· «Ἐν Ἱερουσαλὴμ, ͵αωιε΄ μαΐου ζ΄. Ὁ ταπεινὸς αὐτῆς δοῦλος Ἄνθιμος μοναχὸς Παγώνης».—Σελ. 50 - 63 «Ἱερὰ κατήχησις ἐκ τῶν ἱερῶν Γραφῶν συνερανισθεῖσα καὶ συντεθεῖσα ἐν τῷ ἁγιωτάτῳ Πατριαρχείῳ τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ, ἕνεκα τῶν ἀπὸ τῆς Δυτικολατινικῆς αἱρέσεως ἐπιστρεφόντων. Αἱ ἐρωταποκρίσεις ἑνικῶς ὡς πρὸς ἕνα· εἰ δὲ καὶ πολλοὶ εἶεν, πάλιν ἑνικῶς, ἑνὸς ἀποκρινομένου, ὡς ἀπὸ προσώπου τῶν πάντων». Ἀρχ. «Καὶ δὴ πρῶτον ὁ ἱερεὺς λαβὼν περιτραχήλιον ποιεῖ εὐλογητὸν» κτλ.

60. «Εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, τοῦ ἑνὸς καὶ μόνου Θεοῦ. Ἑρμηνεία, ὑπὸ τοῦ Ἱεροσολύμων Ἀνθίμου συλλεγεῖσα παρὰ τῶν ἁγίων πατέρων Ἀρέθα καὶ Ἀνδρέα, εἰς τὴν ἱερὰν ἀποκάλυψιν τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου». Ἀρχ. «Ἀποκάλυψίς ἐστι δήλωσις τῶν ἀπορρήτων», σελίδες 1 - 215. Τεῦχος ἐκ χάρτου, μήκους 0,225, πλ. 0,17, γραφὲν ἐν Κωνσταντινουπόλει περὶ τὸ τέλος τῆς ιη΄ ἑκατ. Ἐν τῇ ἀρχῇ σημείωμα τοιοῦτον· «Τὸ παρὸν χειρόγραφον, ἐπιγραφόμενον ἑρμηνεία εἰς τὴν ἱερὰν ἀποκάλυψιν τοῦ εὐαγγελιστοῦ Ἰωάννου, ἦν πρότερον ἐν τῇ βιβλιοθήκῃ τοῦ Παναγίου Τάφου, τῇ ἐν τῷ Μετοχίῳ τῷ ἐν Κωνσταντινουπόλει Οὖσα δὲ ἀνέκδοτος ἀπεστάλη ἐκεῖθεν ἐπὶ τῆς πατριαρχείας Κυρίλλου τοῦ β΄, καὶ ἐξεδόθη εἰς τὸ ἐνταῦθα πατριαρχικὸν τυπογραφεῖον τῇ ἐγκρίσει αὐτοῦ· νῦν δὲ ἐναποτίθεται τῇ βιβλιοθήκῃ τῆς μεγάλης πατριαρχικῆς σχολῆς, ἧς καὶ τὴν σφραγῖδα φέρει, καὶ φυλάττεται ἐνταῦθα μετὰ τῶν ἄλλων χειρογράφων, πρὸς μελέτην τῶν ἐν αὐτῇ διδασκόντων καὶ διδασκομένων. Ἐν ἔτει ͵αωνη΄, ὀκτωβρίου ιε΄». Ἡ τύπωσις ἔχει τὴν ἐπιγραφὴν ταύτην· «Ἑρμηνεία εἰς τὴν ἱερὰν ἀποκάλυψιν τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου· συνταχθεῖσα ὑπὸ τοῦ ἀοιδίμου πατριάρχου Ἱεροσολύμων Ἀνθίμου, νῦν πρῶτον τύποις ἐκδίδοται κελεύσει τοῦ μακαριωτάτου καὶ θειοτάτου πατριάρχου τῶν Ἱεροσολύμων κυρίου κυρίου Κυρίλ-




λου. Ἐν Ἱεροσολύμοις, ἐκ τῆς τυπογραφίας τοῦ Παναγίου Τάφου, διευθυνομένης ὑπὸ Ἰ. Λαζαρίδου. 1856», σελίδες 188 σχήματος 8-ου.

61. Τεῦχος ἐκ χάρτου, γραφὲν ἀμφὶ τὸ τέλος τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος ὑπὸ Σεβαστοῦ, καθάπερ οἶμαι, Τραπεζουντίου τοῦ Κυμινίτου· ἔστι δὲ μήκους 0,223, πλάτους 0,162· τῶν δὲ σελίδων ὁ χῶρος 0,17×0,103· ἀριθμεῖ δὲ σελίδας 321, καὶ τούτων ἑκάστη γραμμὰς 30, ἠριθμημένας ἀνὰ πέντε. Ἐν τῇ ᾤᾳ τῆς 1-ης σελίδος ἦν σημείωμα παλαιοῦ τῆς βίβλου, καθὰ φαίνεται, κυρίου, ὅπερ ἕτερος ὕστερον ἀπέσβεσε σφοδρῶς· πρὸ δὲ τῆς σελίδος ταύτης εὑρίσκεται φύλλα πέντε, περιέχοντα τὴν ἐπιγραφὴν τῆς βίβλου καὶ πίνακα τῶν αὐτῆς κεφαλαίων. Ἐπιγραφή· «Εἰς τὸ β-ον τῆς θεολογίας. Βιβλίον τῆς θεολογίας τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ· παραφράσεις τε καὶ ζητήματα ἐκδοθέντα παρὰ Γερασίμου Βλάχου τοῦ Κρητός, κήρυκος τοῦ ἱεροῦ εὐαγγελίου καὶ τῶν ἐπιστημῶν κατ' ἀμφοτέρας τὰς διαλέκτους κοινοῦ διδασκάλου». Ἀρχ. «Προθεωρία. Μνησθήσομαι δὴ τῶν ἔργων Κυρίου» κτλ. Λείπει τὸ τέλος, ἄγραφον ἀπομεῖναν. Πρβλ. Ἀ. Δημητρακοπούλου προσθ. καὶ διορθώσεις εἰς τὴν Νεοελληνικὴν Φιλολογίαν Κ. Σάθα. Ἐν Λειψίᾳ 1871, σ. 53.

62. Ἀντίγραφον ἐντύπου φυλλαδίου. Σελίδες 61. Ἐπιγραφή· «Ἡ κατὰ τὴν Ἀνατολὴν Δύσις, ἤτοι ἱστορικοκριτικὴ θεωρία τῶν ἐνεργειῶν τῶν ἐν τῇ Ἀνατολῇ Δυτικῶν ἱεραποστόλων. Ἐκ τοῦ ῥωσσικοῦ. Ἐν Ἀθήναις, τύποις Γ. Καρυοφύλλη 1860».

63. Τεῦχος ἐκ φύλλων χάρτου 58, μήκους 0,22, πλάτους 0,155, γραφὲν ἔτει 1588-ῳ διὰ τῆς χειρὸς Μαξίμου τοῦ Μαργουνίου. Τὸ κείμενον κατὰ σελίδα μονόστηλον ἐκ γραμμῶν 34-36 (0,16×0,12). Ἐπιγραφή· «Maximi Margunii episcopi Cytherensis elucidatio librorum D. Augustini de Trinitate, in qua quid ille vir sanctus, reliquique sancti doctores ecclesiae tam Graeci quam Latini de processione ipsis sancti - - - sanctae Scripturae, eorumdemque auctoritatibus verè explanatur». Ἐν τῇ πρώτῃ σελίδι τοῦ 58-ου φύλλου σημείωμα τοῦ συγγραφέως,



ὅτι τὸ πόνημα τοῦτο πέρας ἔσχεν ἐν Βενετίᾳ, ἔτει MDLXXXVIII· διαιρεῖται δὲ τὸ βιβλίον εἰς κεφάλαια ἐνεακαίδεκα. Πρβλ. Ἀ. Δημητρακοπούλου προσθ. καὶ διορθ. σ. 22.


64. Τεῦχος ἐκ χάρτου, φύλλα συναριθμοῦν 247, μήκους 0,22, πλάτους 0,165. Τὸ κείμενον αὐτοῦ κατὰ σελίδα μονόστηλον ἐκ γραμμῶν 21. Τὰ πρῶτα 139 φύλλα διὰ μιᾶς καὶ τῆς αὐτῆς ἐγράφη χειρός, τὰ δὲ κατόπιν ἐκείνων ὑφ' ἑτέρων χειρῶν.

1. «Ἑρμηνεία εἰς τοὺς τῆς Ὀκτωήχου ἀναβαθμούς, ἐκδοθεῖσα παρὰ Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου», φ. 1-92. Ἐν ταῖς ᾤαις ὑπάρχουσι παραπομπαί, διορθώσεις τοῦ κειμένου καὶ διάφοροι γραφαὶ ἑτέρων ἀντιγράφων· ἐγράφη δὲ ταῦτα πάντα τῇ χειρὶ Κυρίλλου Ἀθανασιάδου ἀρχιμανδρίτου, πρώτου τῆς ἑρμηνείας ἐκείνης ἐκδότου. Τοῦτο μὲν οὖν τὸ χειρόγραφον ἦν τῆς αὐτοῦ τυπώσεως τὸ πρωτότυπον· ἡ δὲ τὴν ἐπιγραφὴν ἔχει ταύτην· «Ἑρμηνεία εἰς τοὺς ἀναβ. τῆς Ὀκτωήχου παρὰ Ν. Κ. τοῦ Ξ. Ἤδη πρῶτον ἐκδοθεῖσα κελεύσει τοῦ μακαριωτάτου πατριάρχου τῶν Ἱεροσολύμων κυρίου κυρίου Κυρίλλου τοῦ β'. Ἧς προτέτακται καὶ προλεγόμενα συνταχθέντα ὑπὸ τοῦ ἐν ἱεροδιακόνοις Κυρίλλου Ἀθανασιάδου. Ἐν Ἱεροσολύμοις, ἐκ τοῦ τυπογραφείου τοῦ Π. Τάφου. ͵αωξβ'», σελίδες ξε' + 158 σχήματος 8-ου.

2. Ἰωάννου τοῦ Δαμασκηνοῦ πηγὴ γνώσεως ἀνεπίγραφος. Κεφάλαια νε', φ. 93 κέ.

3. «Θεοφράστου ἠθικοὶ χαρακτῆρες». Κεφάλαια ξς', φ. 140-163. Πρὸ δὲ τοῦ κειμένου τούτου φύλλον ἄγραφον καὶ παντάπασιν ἀνάριθμον ἔχει τὸ σημείωμα τοῦτο· «Καὶ τόδε σὺν τοῖς ἄλλοις Ἰωάννου Παπαδοπούλου».

4. Ἀντωνίου Βυζαντίου τοῦ Σπανδωνῆ χρηστοήθεια ἀνεπίγραφος, φ. 164 μέχρι φ. 169β, ἔνθα τὸ σημείωμα τοῦτο· «Χρηστοήθεια μὲν τὸ παρὸν ὀνομάζεται σύγγραμμα, χρηστότητα ἠθῶν καὶ κοσμιότητα τρόπων ὑποτιθέμενον· μετενήνεκται δ' ὑπό τινος ἐκ τῆς λατινίδος φωνῆς εἰς ἁπλῆν, ἣν μετωχετεύσατο αὖθις εἰς ἑλληνικὴν ὁ ἐλλόγιμος καὶ ἐν σπουδαίοις ἄριστος Ἀντώνιος ὁ Βυζάντιος, ὁ τῆς Κωνσταντίνου (πόλεως) σχολῆς τῶν γραμματικῶν



μαθημάτων καθηγητής, ἃ μὲν προσθείς, ἃ δὲ ἀφελόμενος, τοῦ ἁπλοῦ ἀτελοῦς καὶ ἀκοσμήτου τυγχάνοντος· καταγλαΐσας δὲ ἐκεῖνος τῷ κάλλει τοῦ ἑλληνικοῦ χαρακτῆρος, ναὶ μὴν καὶ κοσμήσας ποικίλως τῇ προσθήκῃ τῶν νοημάτων, εἰς φῶς ἤγαγε καὶ τοῖς φιλολόγοις καὶ ἀναγινώσκουσιν αὐτό, ὅπως ἔχουσιν ἐντεῦθεν ῥυθμίζειν τὸν βίον καὶ τὰ ἤθη κοσμεῖν, πολλὰς ὑποθήκας ἐνέθηκεν· ᾧτινι καὶ οἱ ἐντυγχάνοντες τὸν ἄνδρα θαυμαζόντων τῷ τε ὕψει τῆς φράσεως καὶ τῇ λόγου ἰδέᾳ, καὶ δι' εὐφήμου γλώττης ὅτι μάλα ἀγόντων». Τύποις ἐξεδόθη τὸ πρῶτον ἐν Βενετίᾳ ἔτει 1802-ῳ [ὅρα Βρετοῦ, Νεοελ. Φιλολογ. II, σ. 121, ἀριθ. 336, καὶ σ. 136, ἀριθ. 385]· ἑτέρα δὲ ἔκδοσις ἔχει τὴν ἐπιγραφὴν ταύτην· «Ἀντωνίου τοῦ Βυζαντίου, συγγραφέως τῆς ια' (!!) ἑκατονταετηρίδος, χρηστοήθεια, ἤτοι τρόποι τοῦ ἑλληνοπρεπῶς φέρεσθαι, ἐκδιδόμενοι χάριν τῆς ἑλληνικῆς νεολαίας μετὰ καὶ τῆς εἰς τὴν καθωμιλημένην παραφράσεως, γενομένης ὑπὸ Ν. Κ. Ἐν Ἀθήναις 1881».

5. «Θεοφίλου Κορυδαλέως διαίρεσις τῆς ποιητικῆς κατὰ τὰ εἴδη αὐτῆς, καὶ τίσιν ἕκαστον τούτων διαφέρει». Ἀρχ. «Ἔοικε τοιγαροῦν τῶν θειοτάτων εἶναι ἡ ποίησις», φ. 187 κέ.

6. «Σωφρονίου πατριάρχου περὶ στιγμῆς». Ἀρχ. «Ἐν τῷ περὶ στιγμῆς μέρει λόγου», φ. 198.—«Περὶ συντάξεως ἀπαρεμφάτου καὶ τῶν λοιπῶν ἐγκλίσεων». Ἀρχ. «Ἔγκλισίς ἐστι πλαγίωσις τῆς διαθέσεως τοῦ ῥήματος», φ. 200.

7. Συναγωγὴ καὶ ἐξήγησις ὧν ἐμνήσθη ἱστοριῶν Γρηγόριος ὁ Θεολόγος ἐν τοῖς κατὰ Ἰουλιανοῦ στηλιτευτικοῖς καὶ ἐν τῷ εἰς Βασίλειον ἐπιταφίῳ λόγῳ, φ. 202.

8. «Νικολάου Μαυροκορδάτου τοῦ Κωνσταντινουπολίτου, περὶ γραμμάτων σπουδῆς καὶ βιβλίων ἀναγνώσεως». Ἀρχ. «Ἡ βιβλίων ἀνάγνωσις», φ. 243. Ἐξέδωκε τοῦτο Κύριλλος Ἀθανασιάδης, ἀρχιμανδρίτης: Ἑρμηνεία εἰς τοὺς ἀναβαθμοὺς τῆς Ὀκτωήχου παρὰ Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου. Ἐν Ἱεροσολύμοις 1862, σ. νε'-ξα'.

9. «Ἐράσμου» τεμάχιον, οὗ ἡ ἀρχή· «Ἐπεὶ τὸν εὐγενῆ καὶ ἐλευθέριον παῖδα τὸ ἡρμοσμένον» κτλ., φ. 247.



65. Τεῦχος ἐκ φύλλων χάρτου 233, μήκους 0,22, πλ. 0,158, ληφθὲν ἐκ τῆς λαύρας τοῦ ἁγίου Σάβα· περιέχει δὲ ᾀσματικὰς ἀκολουθίας ἑορτῶν ἑπτά· α′) Μεταμορφώσεως, β′) Γενεσίου τῆς Θεοτόκου, γ′) Ὑψώσεως τοῦ Σταυροῦ, δ′) Εἰσοδίων τῆς Θεοτόκου, ε′) Χριστουγέννων, ς′) Θεοφανείων, ζ′) Ὑπαπαντῆς. Τὸ κείμενον μονόστηλον· κεφαλαιώδη γράμματα, ἐπιγραφαὶ καὶ τυπικὰ διὰ γραμμάτων ἐρυθρῶν· ὡσαύτως καὶ τὸ σημείωμα τοῦ γραφέως τῆς βίβλου· «† Τῶ σύντελεστῆ πάντων καλῶν Θεῶ χάρις· ἀμήν.·. † ὁ δὲ γράψας τἀπεινὸς Καλλιώπιος. ἁμαρτωλὸς τάχα καὶ ϊερεύς, καὶ ἐν πνικῆς Ἁγϊόσαββήτης μὲν τὴν κλῆσιν λεγόμενος, τῶ δὲ τρόπω μακρὰν ἀπεχόμενος ἀπ' αὐτῶν.·. ἔτους μὴν δεκέμβριος κγ′, ͵αφοθ′ [1579], ἔτους ͵ζπζ′. ἰνδικτιῶνος ζ′, ἡλίου κύκλοι γ′ ἀπὸ τῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐνανθρωπίσεως. ͵αφοθ′. ἰνδικτιῶνος ζ′. ἔτους ͵ζπζ′ ἡμέρα Τρίτη». Τὰ κάτω ἄκρα τοῦ βιβλίου σητόβρωτα.

66. Θεοτοκάριον, οὗ τὰ ἄκρα σητόβρωτα, γραφὲν ἀμφὶ τὴν ἀρχὴν τῆς ιζ′ ἑκατ. Τεῦχος ἐκ χάρτου, μήκους 0,22, πλ. 0,16. Ἐν τῇ ἀρχῇ κόσμημα καὶ σημείωσις ἐν τῇ ᾤᾳ· «Μνήσθητι, Κύριε, τοῦ δούλου σου Γεωργίου». Ἐπιγραφή· «Κανόνες ἱκετήριοι εἰς τὴν ὑπεραγίαν καὶ δέσποιναν ἡμῶν Θεοτόκον· ποίημα Ἰωάννου μοναχοῦ καὶ πρεσβυτέρου, τοῦ Δαμασκηνοῦ. Τῷ Σαββάτῳ ἑσπέρας. Ὠδὴ α′, ἦχος α′. Σοῦ ἡ τροπαιοῦχος. Πάντων καὶ ἀγγέλων καὶ βροτῶν» κτλ. Δύο γραφικοὶ χαρακτῆρες. Λείπει τὸ τέλος.

67. Πραξαπόστολος μήκους 0,222, πλ. 0,176. Τὸ κείμενον δίστηλον ἐκ γραμμῶν 22. Ἡ ἀρχὴ καὶ τὸ τέλος ἐλλείπουσι. Φύλλα 155, ὧν ἱκανὰ ἐκ χάρτου, τὰ δὲ λοιπὰ μεμβράνινα. Σελίδες τινὲς ἐγράφησαν τῇ ιε′ ἑκατ. (21-22, 37-38, 151-152, 151α-152α, 165α-166α, 167-168 καὶ 169-170), ἕτεραι δὲ τῇ ιδ′ ἑκατ. ἐπὶ χάρτου βαμβακεροῦ (281-304). Τὰ μεμβράνινα φύλλα ἐγράφη τῇ ἑνδεκάτῃ ἑκατ. Ἡ τάξις τῶν ἀναγνωσμάτων προσήκει τῇ Μεγάλῃ Ἐκκλησίᾳ, καθὼς ἀποδεικνυσι τὸ πρὸς τῷ τέλει συναξάριον, ὅπερ ἐμπεριέχει τυπικὰς ὁδηγίας ἀφθόνους. Τὰ ἐν τοῖς μεμβρανίνοις φύλλοις ἀναγνώσματά ἐστι τετονισμένα διὰ μουσικῶν σημαδίων πορφυρῶν· αὐτῶν δὲ τῶν ἀναγνωσμάτων τὸ

πρῶτον γράμμα κεφαλαιῶδες, μέγα καὶ πορφυροῦν· πορφυραῖ δέ εἰσι καὶ τῶν ἀναγνωσμάτων αἱ ἐπιγραφαί. Μεταγενεστέρα χεὶρ ἐν ταῖς ᾤαις ἔγραψε προσθήκας, ἑτέρα δὲ πάλιν διὰ γραμμάτων ἀραβικῶν ἡρμήνευσεν ἐν ταῖς ᾤαις ὡσαύτως τὰς ἐπιγραφὰς τῶν ἀποστολικῶν ἀναγνωσμάτων. Ἀρχ. « - - - Ματθαῖος, Ἰάκωβος Ἀλφαῖος καὶ Σίμων ὁ Ζηλωτής, καὶ Ἰούδας Ἰακώβου· οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες» κτλ. Μετὰ τὸ νῦν δεύτερον φύλλον ὑπάρχει· χάσμα, δύο φύλλων, ὡς ἔοικεν, ἀποκοπέντων ἐκεῖθεν. — Σελ. 199 - 272 Συναξάριον τοῦ Πραξαποστόλου.—Σελ. 272 κἑ. ἀναγνώσματα εἰς ἐγκαίνια ναοῦ τῆς Θεοτόκου καὶ τῶν ἁγίων, εἰς λιτὰς καὶ λειτουργίας, εἰς μνήμην φόβου, εἰς ἐφόδους Βαρβάρων κλπ.—Σελ. 279 Προκείμενα.—Σελ. 282 Ἀντίφωνα τῆς λειτουργίας τοῦ Πάσχα, τῆς Ἀναλήψεως καὶ τῆς Πεντηκοστῆς. — Σελ. 289 Ἀντίφωνα τοῦ συναξαρίου μέχρι τοῦ φεβρουαρίου μηνός.—Σελ. 302 Προκείμενα εἰς ἁγίους ἀνωνύμους.

68. Τεῦχος ἐκ φύλλων χάρτου 282, μήκους 0,212, πλ. 0,153, γραφὲν τῇ ις' ἑκατ. Φύλλα ἄγραφα: 7β - 8 καὶ 253 - 282. Μετηνέχθη καὶ τοῦτο ἐκ τῆς λαύρας τοῦ ἁγίου Σάβα.

1. «Στίχοι πολιτικοὶ τοῦ μακαριωτάτου ὑπερτίμου, τοῦ Ψελλοῦ, ἐφερμηνευτικοὶ τῶν ἐπιγραμμάτων τῶν ψαλμῶν: στοιχηδόν». Ἀρχ. «Οὐκ ἔστι τὸ Ψαλτήριον, ἀγαπητέ, βιβλίον», φ. 1 - 7α. Μέμνηται τούτου τοῦ ἀντιγράφου Διονύσιος ὁ Κλεόπας. Ἑρμηνεία εἰς τοὺς ρν' ψαλμούς, τ. I, σ. ριγ'.

2. «Ἅπαντα τὰ ἐπιγράμματα τὰ πρὸ αὐτῶν (τῶν) ψαλμῶν», φ. 9 κἑ.

3. «Ἐξήγησις τῶν ψαλμῶν τοῦ Δαβίδ, ἤτοι παράφρασις εἰς κοινὴν γλῶσσαν». Ἀρχ. «Μακάριος (ὅσον εἶναι δυνατὸν νὰ ποθῇ εἰς τὴν ζωὴν ταύτην) ἠμπορεῖ νὰ ὀνομασθῇ ἐκεῖνος ὁ ἄνθρωπος, ὁ ὁποῖος δὲν περιπατεῖ τὸν δρόμον» κτλ., φ. 17 - 152. Ἑρμηνεία μέχρι τοῦ ριε' ψαλμοῦ. Τὸ κείμενον δίστηλον· ἡ μὲν πρώτη στήλη περιέχει τὸ παλαιὸν κείμενον, ἡ δ' ἑτέρα τὴν ἑρμηνείαν.

69. Τεῦχος ἐκ χάρτου στιλπνοῦ, συνδεθὲν ἔτει 1790-ῳ· ἀριθμεῖ δὲ τετράδια κζ'. Ἐγράφη περὶ τὸ τέλος τῆς ιε' ἑκατ.



Μήκους 0,205, πλ. 0,163. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 22 (0,16×0,098). Μετηνέχθη καὶ τοῦτο ἐκ τῆς λαύρας τοῦ ἁγίου Σάβα.

1. Ἰωάννου τοῦ Χρυσοστόμου «ὑπόμνημα εἰς τοὺς ψαλμούς». Ἀρχ. «Πᾶσαι μὲν ἅγιαι αἱ θεῖαι Γραφαί», φ. 1.

2. «Ὑπόθεσις Εὐσεβίου τοῦ Παμφίλου εἰς τοὺς ψαλμούς». Αρχ. «Τῆς βίβλου τῶν ψαλμῶν ἥδε ἂν εἴη» κτλ., φ. 9.

3. «Ὑπόθεσις Εὐσεβίου εἰς τὸ διάψαλμα». Ἀρχ. «Πολλάκις ζητήσας τὴν αἰτίαν» κτλ., φ. 9β.

4. Γρηγορίου Νύσσης «ἑρμηνεία εἰς τὸ διάψαλμα». Ἀρχ. «Χρὴ δὲ μηδὲ τὸ διάψαλμα παραδραμεῖν», φ. 10.


5. «Στίχοι εὔρυθμοι πολιτικοὶ εἰς τὸ Ψαλτήριον καὶ τὰς τῶν ψαλμῶν ἐπιγραφάς, καὶ εἰς τὸ διάψαλμα· ποίημα τοῦ σοφωτάτου καὶ ὑπερτίμου Ψελλοῦ, τοῦ ὑπάτου τῶν φιλοσόφων· γραφέντες εἰς τὸν εὐσεβέστατον κύριν Μιχαὴλ τὸν Μονομάχον». Ἀρχ. «Οὐκ ἔστι τὸ ψαλτήριον, δέσποτά μου, βιβλίον, | ὡς οἱ πολλοὶ νομίζουσιν ἴσως ἐξ ἀγνοίας», φ. 10β. Ἐξέδωκε δὲ τούτους τοὺς στίχους ἔτει 1855-ῳ Διονύσιος ὁ Κλεόπας, βασισθεὶς εἰς τοῦτον τὸν κώδικα [Ἑρμηνεία εἰς τοὺς ρν' ψαλμούς, Ι, σ. ρζ' καὶ ριγ' - ριζ']· ἀγνοηθείσης δὲ τῆς ἐκδόσεως ταύτης, ἐξετύπωσε τοὺς αὐτοὺς στίχους εἶτα Charles Émile-Ruelle [Εἰκοσιπενταετηρὶς τοῦ Ἑλλην. Φιλολογ. Συλλόγου. Ἐν Κ/πόλει 1888, σ. 609 - 614].

6. Ψαλτήριον πλῆρες μεθ' ἑρμηνείας τῶν ἐπιγραφῶν ἁπάντων τῶν ψαλμῶν, φ. 16 κέ.

7. Αἱ ἐννέα τοῦ Ψαλτηρίου ᾠδαί, φ. 157.

8. «Βίος καὶ πολιτεία Ἀδὰμ καὶ Εὔας, ἀποκαλυφθεὶς ἐκ προστάξεως Θεοῦ διὰ τοῦ ἀρχαγγέλου τῷ Μωϋσῇ τῷ θεράποντι αὐτοῦ, ὅτε καὶ τὰς πλάκας τῆς διαθήκης ἐδέξατο». Ἀρχ. «Ἀδὰμ καὶ Εὔας τῶν πρωτοπλάστων. Μετὰ τὸ ἐξελθεῖν αὐτοὺς» κτλ., φ. 168β.

9. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος περὶ ψευδοπροφητῶν καὶ ψευδοδιδασκάλων καὶ ἀθέων αἱρετικῶν, καὶ περὶ σημείων τῆς συντελείας τοῦ αἰῶνος τούτου· ἐρρέθη μέλλοντος αὐτοῦ ἐκδημεῖν ἐκ τοῦ σώματος». Ἀρχ. «Ὀδυνηρὸς ὁ λόγος», φ. 182 - 211.



70. Ἀνθολογία μουσικῆς ἐκκλησιαστικῆς, γραφεῖσα περὶ τὴν ἀρχὴν τῆς ιη' ἑκατ. συνίσταται δ' ἐκ φύλλων χάρτου στιλπνοῦ 438, μήκους 0,21, πλ. 0,152. Ἐν τῇ ἀρχῇ μεμελισμένον τὸ «Ἅγιος ἰσχυρὸς» ὑπὸ Γερμανοῦ ἀρχιεπισκόπου Νέων Πατρῶν (φ. 1-2)· εἶτα τὸ κείμενον διατριβῆς, ἧς ἡ ἐπιγραφή· «Ἀρχὴ σὺν Θεῷ τῶν σημαδίων τῆς μουσικῆς τέχνης, τῶν τε ἀνιόντων καὶ κατιόντων» κτλ., φ. 3. Κατόπι μετροφωνία Ἰωάννου τοῦ Δαμασκηνοῦ, Νὰρ Θετταλικὸν καὶ ἕτερα ποιήματα, μεμελισμένα ὑπὸ πολλῶν ψαλτῶν, οἷον Ἰωάννου Ξηροῦ δομεστίκου, Ἰωάννου τοῦ Γλυκέος, Γρηγορίου Ἀλυάττου, Κορώνη, Ἰωάννου Κουκουζέλη, Πλουσιαδηνοῦ, Καμπάνη, Γεωργίου Κοντοπετρῆ, Μανουὴλ Χρυσάφη, Ἀγάθωνος, Ἰωάννου πρωτοψάλτου τῆς Μεγάλης Ἐκκλησίας, Ἀναστασίου Ῥαψανιώτου καὶ πολλῶν ἑτέρων.

71. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, συνιστάμενον ἐκ φύλλων 296, μήκους 0,205, πλ. 0,15, οὗ τὸ κείμενον μονόστηλον. Τὰ πρῶτα 32 φύλλα χάρτινα, γραφέντα τῇ ιδ' ἑκατ. Ἐν τῇ ἀρχῇ τοῦ βιβλίου σημείωμα, ὅτι ἐλήφθη «ἐκ τῆς ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάββα Βιβλιοθήκης, τῆς ἐν τῇ ἐκκλησίᾳ», καὶ ὅτι κατετέθη ἐν τῇ βιβλιοθήκῃ τῆς ἐν τῷ Σταυρῷ σχολῆς τῇ 9-ῃ τοῦ μηνὸς αὐγούστου, ἔτους 1858-ου. Ἐν δὲ τῷ κρασπέδῳ φύλλου τινὸς (131β) ὑπάρχει σημείωμα τῆς ιδ' ἑκατ., δηλοῦν ὅτι τὸ τεῦχος ἐπώλησεν ἱερεὺς ὄνομα Παναγιώτης, καὶ ὅτι ἀνετέθη μονῇ τινι τοῦ ἁγίου Γεωργίου. Ἀλλὰ καὶ ἐν τῷ κρασπέδῳ τοῦ 1-ου φύλλου γέγραπται τὸ «Ἐκ τῶν τοῦ Ἐφραὶμ», διὰ τῆς χειρὸς αὐτοῦ τοῦ Ἐφραὶμ Ἀθηναίου, πατριάρχου τῶν Ἱεροσολύμων. Περιέχεται δὲ τέλος ἐν τῷ τεύχει ἡ θεία Κλίμαξ τοῦ ἐν ἁγίοις Ἰωάννου τοῦ Σχολαστικοῦ, ἧς προτέτακται βίος αὐτοῦ ἐπίτομος· μεθ' ὃν στίχοι Δανιὴλ μοναχοῦ τοῦ Ῥαϊθηνοῦ, πρόλογος τῆς Κλίμακος καὶ ἐπιστολαὶ δύο. Τὸ κείμενον τῆς Κλίμακος λήγει εἰς τὸ φ. 212β. Εἶτα «σχόλια τῆς θείας καὶ ἱερᾶς Κλίμακος τῶν Ἀπορρήτων», ὧν ἡ ἀρχή· «Νοεραὶ νεάνιδες, αἱ ψυχικαὶ καταστάσεις», φ. 212β. — Φύλλ. 249 κἑ. Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας «πρὸς Ἀντίοχον ἄρχοντα περὶ πλεί-



στων καὶ ἀναγκαίων ζητημάτων τῶν ἐν ταῖς θείαις Γραφαῖς ἀπορουμένων καὶ παρὰ πᾶσιν χριστιανοῖς γινώσκεσθαι ὀφειλομένων» ἀποκρίσεις, ὧν τὸ τέλος ἐξέπεσεν ἐκ πολλοῦ.

72. Τεῦχος ἐκ χάρτου (μήκους 0,205, πλ. 0,145), σελίδας ἀριθμοῦν 188, αἳ περιβάλλονται πλαισίοις· ἐγράφη δὲ «ἐν ἔτει ,αωιδ', μηνὶ σεπτεμβρίῳ». Ἐπιγραφή· «Ἀκολουθία τῆς ἁγίας μεταλήψεως, ὡς εὕρηται ἔν τινι μεμβραΐνῳ τῆς βιβλιοθήκης τοῦ Παναγίου Τάφου, ἐν ᾧ διὰ τὴν παλαιότητα ἔλιπε καὶ ἡ ἀρχὴ τῆς ἐνάρξεως τῆς ἀκολουθίας ταύτης, καὶ τὸ τέλος τοῦ βιβλίου, οὐχὶ τῆς ἀκολουθίας· ὅθεν καὶ ἄγνωστος ἡμῖν ὁ χρόνος, καθ' ὃν ἐκεῖνο ἐγράφη· ἔτι δὲ καὶ ὁ γράψας καὶ ὁ συνθεὶς καὶ ὅπου ἀφιερώθη» κτλ. Ὅρα Ἱεροσολ. Βιβλιοθ. II, σ. 602.

73. Τυπικὸν ἐκ μεμβράνης (0,192 × 0,15), ὅπερ ἦν πρότερον ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα σφόδρα παραλελυμένον· διὸ καὶ τὰ τετράδια κατόπιν ὁ δέτης ἥρμοσεν ἀτάκτως. Ἀριθμεῖ δὲ φύλλα 172, μεμβράνινα μὲν 116, χάρτινα δὲ 56, ὧν δύο μὲν ἔνδον τῆς πρώτης πινακίδος, τὰ δὲ λοιπὰ πρὸς τῷ τέλει τοῦ τεύχους. Δύο μεμβράνινα φύλλα τοῦ αὐτοῦ κώδικος εὗρον ἐγὼ ἔτει 1887-ῳ ἐν αὐτῇ τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα, ἃ καὶ προσέθηκα πρὸ τοῦ κειμένου τῶν κεφαλαίων Μάρκου τοῦ ἐπισκόπου Ἱδροῦντος. Τὸ κείμενον τῶν μεμβρανίνων φύλλων μονόστηλον ὂν ἐκγραμμῶν 24 (0,148 × 0,12) ἐγράφη περὶ τὴν ιβ' ἑκατ., τὸ δὲ τῶν χαρτίνων τῇ ιε' ἑκατ.—Φύλ. 1α «Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας τε καὶ συνάξεως τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ μηνὸς σεπτεμβρίου μέχρι μηνὸς αὐγούστου».

74. Τετραευαγγέλιον τῆς δεκάτης ἑκατ., εὑρεθὲν ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα παραλελυμένον, ὃ καὶ συνηρμόσθη διὰ δεσίματος ἰσχυροῦ· πλὴν ἀλλὰ φύλλα πολλὰ τούτου τάξιν ἔχει τανῦν ἄτακτον. Ἀριθμεῖ δὲ τὸ τεῦχος ἐν συνόλῳ φύλλα 183, μήκους 0,19, πλ. 0,145· πρότερον ὅμως ἠρίθμει πολλῷ πλείω· λείπει γὰρ αὐτῷ τὰ πρῶτα ἕνδεκα τετράδια, τοῦ δὲ δυοκαιδεκάτου τετραδίου φύλλα δύο. Τὸ κείμενον κατὰ σελίδα μονόστηλον ἐκ γραμμῶν 19 (0,12 × 0,08), χαριέστατα γεγραμμένον, κοσμούμενόν τε πέντε κοσμήμασι

κεχρωματισμένοις, μεγάλοις τέ τισι κεφαλαιώδεσι γράμμασι πολυχρωματίστοις, καὶ πολλοῖς ἑτέροις μικροῖς μέν, ἐρυθροῖς δέ· ἐρυθραὶ δὲ ὡσαύτως εἰσὶν αἱ τῶν κεφαλαίων ἐπιγραφαί. Ἐν τῷ κάτω κρασπέδῳ τοῦ 1-ου φύλλου διὰ τῆς χειρὸς Ἰωάσαφ, ἡγουμένου τῆς λαύρας τοῦ ἁγίου Σάβα, γέγραπται τὸ σημείωμα τοῦτο· «Χάριν εὐλογίας ἐδόθη τῷ κυρίῳ Ἀβραὰμ Νόροφ ἐκ τῆς λαύρας τοῦ ἁγίου Σάββα παρὰ τοῦ πνευματικοῦ Ἰωάσαφ». Ἐν ἄλλῳ τινὶ φύλλῳ γέγραπται τὸ Φ γράμμα διὰ τῆς χειρὸς Πορφυρίου τοῦ Οὐσπένσκη, μηνύον ὅτι κἀκ τούτου τοῦ κώδικος ἀπέσπασεν οὗτος φύλλα τινά. Ἐν τῷ φύλ. 168β κεῖται σημείωμα διὰ γραμμάτων ἀραβικῶν, τῆς τεσσαρεσκαιδεκάτης ἴσως ἑκατονταετηρίδος, ὃ λέγει, ὅτι τοῦτο τὸ τετραευαγγέλιον ἀφιέρωσε τῇ μονῇ τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου, τῇ ἐγγὺς Ἰορδάνου ποταμοῦ, Ἰβραχὴμ ἱεροδιάκονος, υἱὸς Μασσοὺδ, ὁ ἐκ τῆς κώμης Καφριπχὲμ ([illegible]) ἐπαρχίας Χάμας (=Ἐπιφανείας).

1. Εὐαγγέλιον κατὰ Ματθαῖον ἀπὸ τοῦ β' στίχου κεφ. κς' μέχρι ιθ' στίχου κεφαλ. κζ', φύλ. 10-15. Ἀρχ. « - - τοῖς μαθηταῖς καὶ εἶπε· λάβετε φάγετε» κτλ. Τέλος· «μηδέν σοι καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σή - - - ».

2. Εὐαγγέλιον κατὰ Μᾶρκον», οὗ προτέτακται κόσμημα χρυσοῦν τε καὶ πολύχρωμον, φ. 1-2, 6-9, 4-5, 16-65. Φύλλ. 66β-67β παντάπασιν ἄγραφα. Φύλλ. 68-70 «Τοῦ κατὰ Λουκᾶν εὐαγγελίου τὰ κεφάλαια»· αὕτη δὲ ἡ ἐπιγραφὴ κεφαλαιώδεσι γράμμασι χρώματος κυανοῦ τε καὶ πορφυροῦ καὶ πρασίνου, ἧς ὑπέρκειται κόσμημα ταινιοειδές· κεφαλαιώδη δὲ καὶ πορφυρᾶ τὰ τῶν κεφαλαίων γράμματα.

3. «Εὐαγγέλιον κατὰ Λουκᾶν», οὗ προτέτακται κόσμημα, φ. 71 μέχρι φ. 168α, ἔνθα διὰ γραμμάτων πορφυρῶν ἀναγινώσκεται τοῦτο· «Εὐαγγέλιον κατὰ Λουκᾶν· ἐγγράφη ἑλληνιστὶ εἰς Ἀλεξάνδρειαν τὴν μεγάλην μετὰ ιε' ἔτη τῆς ἀναλήψεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἐν τῷ φ. 109β τὸ κείμενον ἔχει ὧδε· «ὡς καὶ Ἠλίας ἐποίησεν· στραφεὶς δὲ ἐπετίμησεν αὐτοῖς, καὶ ἐπορεύθησαν εἰς ἑτέραν κώμην» (Λουκ. θ', 54, 55). Ἀλλ' ἐν τῷ κρα-



πέδῳ διὰ τῆς χειρὸς τοῦ καλλιγράφου αὐτοῦ τούτου τοῦ κώδικος ἐγράφη τὸ χωρίον ἐκεῖνο ὧδε· «Ἐν ἄλλοις εὕρηται οὕτω: Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐκ οἴδατε οἵου πνεύματος ἐστὲ ὑμεῖς; ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε ψυχὰς ἀνθρώπων ἀπολέσαι, ἀλλὰ σῶσαι. Καὶ στραφεὶς ἐπετίμησεν αὐτοῖς».

4. Πίναξ τῶν Ἰωάννου κεφαλαίων, φ. 169.

5. «Εὐαγγέλιον κατὰ Ἰωάννην» μέχρι τῶν λέξεων «ὑγιὴς ἐγένετο ᾧ δήποτε κατείχετο» (ε', 4), φ. 170 κέ. Ἐν τῇ ἀρχῇ κόσμημα.

75. Μαθηματάριον ἐκ φύλλων χάρτου 468, μήκους 0,21, πλ. 0,14, γραφὲν μεταξὺ τῶν ἐτῶν 1781 καὶ 1789. Ἐπιστολαί, λόγοι τινὲς καί τινα τῶν ἐμμέτρων Γρηγορίου τοῦ Θεολόγου. Ψυχαγωγικαὶ ἑρμηνεῖαι τοῦ πρωτοτύπου κειμένου καὶ παραφράσεις οὐκ ὀλίγων ὁμιλιῶν. Τὰ φύλλα 341-400 ἐγράφη ἔτει 1781-ῳ, τὰ δὲ πρῶτα 321 ἔγραψε τελειώσας ἔτει «1789 φευρουαρίου 14 Κεραμεὺς Ἐμμανουήλ».

76. Μαλαξοῦ νομοκάνων, διῃρημένος εἰς κεφάλαια χηδ'. Τεῦχος ἐκ φύλλων χάρτου 205 (μήκους 0,21, πλ. 0,158), γραφὲν τῇ ἑπταχαιδεκάτῃ ἑκατ. Τὸ κείμενον κατὰ σελίδα μονόστηλον ἐκ γραμμῶν 22 (0,162 × 0,105)· περὶ δὲ τὴν ἀρχὴν τῆς ἡμετέρας ἑκατονταετηρίδος οὗτος ὁ νομοκάνων ἦν Νικάνδρου ἀρχιμανδρίτου.

77. Τεῦχος ἐκ φύλλων χάρτου 158, μήκους 0,218, πλ. 0,164, γραφὲν τῇ ις' ἑκατ. — Λαυσαϊκὸν Παλλαδίου ἐπισκόπου Ἑλενουπόλεως ἄχρι κεφαλαίου τοῦ περὶ τοῦ ἀββᾶ Πιάμμωνος.

78. Τεῦχος ἀτελὲς ἐκ φύλλων χάρτου 279, μήκους 0,212, πλ. 0,15, γραφὲν περὶ τὸ μέσον τῆς ιζ' ἑκατ. Τὸ κείμενον κατὰ σελίδα μονόστηλον ἐκ γραμμῶν 20 (0,145 × 0,092).—Παραφράσεις ἀρχαίων κειμένων, ἐξ ὧν σημειοῦμαι κατ' ἐκλογὴν ταῦτα· α') «Λόγος κατ' ἐπιτομὴν διαλαμβάνων περὶ τῆς πρώτης καὶ δευτέρας καὶ τρίτης εὑρέσεως τῆς κεφαλῆς τοῦ προφήτου Προδρόμου». Ἀρχ. «Πάλιν εἰς ἡμᾶς, ἀδελφοί, ὁ μέγας ἐφανερώθη» κτλ., φ. 1.—β') Βίος τοῦ ἁγίου Φιλαρέτου. Ἀρχ. «Βίον ἀρεστὸν τῷ Θεῷ», φ. 11β. — γ') Μαρτύριον τοῦ ἁγίου Παντελεήμονος,

μεταφρασθὲν ὑπὸ Ἰγνατίου ἱερομονάχου. Ἀρχ. «Αἱ ἀρεταὶ καὶ αἱ πανηγύρεις», φ. 34. — δ') Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἰωάννου τοῦ Καλυβίτου. Ἀρχ. «Βίον καλὸν καὶ ἐνάρετον», φ. 63β. — ε') Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἀλεξίου. Ἀρχ. «Ἐν ταῖς ἡμέραις τῆς βασιλείας» κτλ., φ. 77. — ς') Βίος καὶ πολιτεία τοῦ ὁσίου Ξενοφῶντος καὶ τῶν παίδων αὐτοῦ. Ἀρχ. «Διηγήσατό τις γέρων», φ. 86. — ζ') Βίος καὶ πολιτεία τῆς ὁσίας Εὐπραξίας· μετάφρασις Ἰγνατίου ἱερομονάχου. Ἀρχ. «Ἄλλο δὲν εἶναι πιθανώτερον», φ. 101. — η') Μαρτύριον τῆς ἁγίας Αἰκατερίνης. Ἀρχ. «Εἰς τοὺς τριανταπέντε χρόνους», φ. 152β. — θ') Βίος καὶ πολιτεία τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας. Ἀρχ. «Ἕναν καιρὸν ἦτόν τις», φ. 175β. — ι') Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὸν μάταιον βίον, οὗ ἡ ἀρχή· «Ὅσοι τὰ τοῦ βίου μάταια», φ. 181. — ια') Ἐφραὶμ τοῦ Σύρου λόγος περὶ ὠφελείας ψυχῆς, οὗ ἡ ἀρχή· «Δεῦτε, ἀγαπητοί, δεῦτε», φ. 187β — ιβ') Ἰωάννου τοῦ Χρυσοστόμου λόγος περὶ μετανοίας καὶ ἐλεημοσύνης, οὗ ἡ ἀρχή· «Βασιλέως μὲν τοῦ ἐπιγείου», φ. 202. — ιγ') «Διήγησις περί τινος γέροντος σημειοφόρου μοναχοῦ, πῶς ἀπεκαλύφθη αὐτῷ τὰ περὶ τοῦ βασιλέως Θεοδοσίου». Ἀρχ. «Γέρων τις ἐκαθέζετο», φ. 216. Παρέπονται διηγήσεις ἕτεραι, ὧν μία περὶ τῶν Σαρανταρίων. — ιδ') Ἰωάννου τοῦ Δαμασκηνοῦ λόγος περὶ τῶν ἐν πίστει κεκοιμημένων. Ἀρχ. «Τὰ τῶν βρωμάτων ἡδέα», φ. 249. — ιε') «Ἐκ τῶν Ἀποστολικῶν Διατάξεων». Ἀρχ. «Τοῦ νομοθέτου Μωϋσέως εἰρηκότος», φ. 277β. — ις') Τεμάχη διάφορα.

79. Ἰσαὰκ τοῦ Σύρου λόγοι ἀσκητικοί. Τεῦχος ἐκ φύλλων χάρτου 197, μήκους 0,21, πλ. 0,15, παραλελυμένον, ἀκέφαλον, ἀτελὲς καὶ τὰ ἄκρα σητόβρωτα ἔχον· ἐγράφη δὲ μεταξὺ τῆς ιδ' καὶ τῆς ιε' ἑκατ. Τὸ κείμενον κατὰ σελίδα μονόστηλον ἐκ γραμμῶν 18 (0,132×0,092). Ἐλήφθη καὶ τοῦτο τὸ τεῦχος ἐκ τῆς λαύρας τοῦ ἁγίου Σάβα.

80. Τεῦχος μεμβράνινον τῆς δυοκαιδεκάτης ἑκατονταετηρίδος ἐκ φύλλων 156, μήκους 0,22, πλ. 0,165· οὗ τὸ κείμενον κατὰ σελίδα μονόστηλον. — Μηναῖα τῶν μηνῶν Σεπτεμβρίου,



Οκτωβρίου καὶ Νοεμβρίου, ἔχοντα καὶ δύο φύλλα ἐκ χάρτου (32-ον καὶ 33-ον), ἅπερ ἐγράφη πρὸς ἀναπλήρωσιν ἐκπεσόντος κειμένου τῇ ις′ ἑκατ., αἱ δὲ τελευταῖαι τέσσαρες ᾠδαὶ τοῦ ψαλλομένου κανόνος εἰς τὸν ἅγιον ἀπόστολον Στάχυν (τῇ 31-ῃ τοῦ μηνὸς ὀκτωβρίου) ἐλλείπουσιν ἐκ παλαιοῦ τῷ κώδικι Τὸ. τέλος αὐτοῦ σημείωσιν ἀραβικὴν ἔχει δυσανάγνωστον· τέλος δὲ καὶ οὗτος ὁ κῶδιξ ἐκ τῆς λαύρας ἐλήφθη τοῦ ἁγίου Σάβα.

81. Ψαλτήριον ἐκ χάρτου, γραφὲν περὶ τὸ μέσον τῆς ἐκκαιδεκάτης ἑκατονταετηρίδος ἐπιμελῶς, καὶ συνιστάμενον ἐκ φύλλων ἠριθμημένων 344 (μήκους 0,205, πλ. 0,16), ἀκριβῶς δὲ ἐκ φύλλων 346, ἐπειδὴ τούτων δύο τοὺς αὐτοὺς ἀριθμοὺς ἔχει, οὓς καὶ τὰ δύο πρότερα (56 καὶ 137). Ἐν τῇ ἀρχῇ τοῦ βιβλίου κόσμημα ταινιοειδὲς καὶ μέγα κεφαλαιῶδες γράμμα, τὸ Π, ποικιλόχρουν καὶ περικεκοσμημένον. Περικεκοσμημένον δὲ καὶ πολύχρουν ὡσαύτως ἐστὶν ἑκάστου ψαλμοῦ καὶ τῶν κατόπιν ᾠδῶν τὸ πρώτιστον γράμμα, κεφαλαιῶδες ὡς εἰκὸς ὑπὸ τοῦ καλλιγράφου γραφέν. Τῶν ψαλμῶν καὶ τῶν ᾠδῶν αἱ σελίδες ἀριθμοῦσι γραμμὰς δέκα καὶ τέσσαρας (0,128 × 0,08), τῶν δὲ λοιπῶν κειμένων πολλῷ πλείους (0,138 × 0,085).—Φύλλ. 1 «Γνῶσις τοῦ διάψαλμα. Πολλάκις ζητησάντων τὴν αἰτίαν τοῦ ἐπιγράφεσθαι μεταξὺ τῶν ψαλμῶν διάψαλμα» κτλ. — Φύλλ. 5β «Περὶ τοῦ Ἀλληλούια, ὃ σημαίνει ἐκ τῆς ἑβραΐδος φωνῆς εἰς τὴν ἑλληνίδα μετατιθέμενον».— Φύλλ. 8β «Περὶ τῶν ἀναβαθμῶν. Πάλιν ἑτέρα ἐπιγραφή: ψαλμὸς τῶν ἀναβαθμῶν. Τί δὲ βούλεται λέγειν; ποίων ἀναβαθμῶν» κτλ.— Φύλλ. 11 «Πρόλογος τῆς ἑρμηνείας τῶν ψαλμῶν. Πᾶσα γραφὴ θεόπνευστος» κτλ.—Φύλλ. 12 «Εὐσεβείου εἰς τὸ διάψαλμα. Ἔγραψαν τὸ διάψαλμα οἱ ἑρμηνεύσαντες τέσσαρες ἄρχοντες» κτλ.— Φύλλ. 13 «Στίχοι εἰς τὸ θεῖον καὶ ἱερὸν Ψαλτήριον. Ψαλτήριον τοῦτό ἐστι τερπνὸν μετὰ κιθάρας, | ὅπερ ὠργάνωσε σοφὸς ὁ θαυμαστὸς ἐκεῖνος» κτλ.—Φύλλ. 14 «Ἕτεροι στίχοι εἰς τὸ ἱερὸν Ψαλτήριον. Τὴν ᾀσματοδοψαλτοσύνθεντον βίβλον | τὴν θεοκοσμόκοσμον ψυχόσωστον θείαν πυξίδα» κτλ.—Φύλλ. 14β «Στίχοι εἰς τὸν θεῖον Δαυίδ. Ἄκουε, Δαυίδ, τοῦ παρ' ἡμῖν Ὀρφέως» κτλ.—Φύλλ. 15β

«Στίχοι ἕτεροι εἰς τὸν προφήτην Δαυίδ. Τοῦ πνεύματος τὰ θεῖα τόξα καὶ βέλη» κτλ.—Φύλλ. 15^{β} «Ἕτεροι. Δαυὶδ τὸ Ψαλτήριον, οὗ λίθοι λόγοι» κτλ.—Φύλλ. 16 «Ἕτεροι εἰς τὸν αὐτὸν προφήτην. Σίγησον, Ὀρφεῦ· ῥῖψον, Ἑρμῆ, τὴν λύραν» κτλ.—Φύλλ. 16^{β} «† Ὁ στιχολογῶν καὶ ἀναγινώσκων μετὰ προθυμίας εὔχου καὶ ὑπὲρ τοῦ γράψαντα» [sic].—Φύλλ. 17 «Ὅπως ὀφείλει στιχολογεῖσθαι τὸ Ψαλτήριον ἐν ὅλῳ τῷ ἐνιαυτῷ». Ἀρχ. «Δεῖ γινώσκειν ὅπως ὀφείλει στιχολογεῖσθαι» κτλ.—Φύλλ. 19 «Δαυὶδ προφήτου καὶ βασιλέως μέλος», τουτέστιν οἱ ρν′ ψαλμοί.—Φύλλ. 304^{β} «Τέλος σὺν Θεῷ τῶν ρν′ ψαλμῶν, τοῦ θείου καὶ ἱεροῦ Ψαλτῆρος, τοῦ προφήτου Δαυίδ, ἐκτὸς τοῦ τελευταίου, ἤγουν τοῦ Μικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μου:—πλὴν κἂν τὸν ὕστερον ψαλμὸν, τὸ, Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, δίκαιόν μοι ἐπενοήθη ἵνα προσθέσω δεύτερον, οὕτως ὡς ἑρμήνευσαν οἱ θεῖοι φωστῆρες καὶ μέγιστοι διδάσκαλοι τῆς ἐκκλησίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, λέγω δὴ Χρυσόστομος καὶ μέγας Ἀθανάσιος· τὰ πλεῖστα τοῦ Ὠριγένους, ὅ(ς) καὶ αἱρετικὸς ὕστερον ἐπεφάνη καὶ βλάσφημος ἐπὶ τῆς ἁγίας τριάδος· ὅ(ν) καὶ ἀνεθεμάτισαν καὶ ἀπεδίωξαν αὐτὸν ἀπὸ τὴν Ἀλεξάνδρειαν, καὶ ἀπῆλθεν εἰς τὴν Ἰουδαίαν» κτλ. Ἕπονται τεμάχη Ἰωάννου τοῦ Χρυσοστόμου, Ὠριγένους καὶ Ἀθανασίου.—Φύλλ. 302^{β} «Ἑτέρα ἑρμηνεία εἰς τοὺς αἴνους, ἤγουν εἰς τοὺς τρεῖς ψαλμοὺς ρμη′, ρμθ′, ρν′». Ἀρχ. «Εἰδὼς ὁ Δαυὶδ ὅτι πάντα τὰ κτίσματα» κτλ.—Φύλλ. 317^{β} «Στίχοι εἰς τὸν θεῖον Δαυίδ. Δαβιτικὴ πέφυκε δέλτος» κτλ. — Φύλλ. 317^{β} «Ἕτεροι στίχοι εἰς τὸν αὐτόν. Δῶρον Θεοῦ πέφυκεν ἀνθρώποις ξένον» κτλ.—Φύλλ. 317^{β} «Ἕτεροι. Σίγησον, Ὀρφεῦ, καὶ πεφίμωσο στόμα» κτλ.—Φύλλ. 318 «Ἕτεροι. Ἡ μουσικὴ μὲν Ὀρφέως πάλαι λύρα» κτλ.—Φύλλ. 319-344 αἱ ἐννέα ᾠδαὶ καὶ ἡ προσευχὴ τοῦ προφήτου Ζαχαρίου.

82. Τεῦχος ἐκ χάρτου (0,206 × 0,16), φύλλα συναριθμοῦν 202 + 2 (φ. 107^{α} καὶ 161^{α}). Ἔνδον τῆς πρώτης πινακίδος ἐπὶ φύλλου προσθέτου σημείωμα, ὅτι «ἐλήφθη καὶ τὸ παρὸν χειρόγραφον ἐκ τῆς ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάββα βιβλιοθήκης, τῆς ἐν τῷ Πύργῳ», τῇ 9-ῃ μηνὸς αὐγούστου ἔτους 1858-ου. Καὶ



ἐν τῇ ἄνω ᾤᾳ τοῦ 5-ου φύλλου, ἐν τῇ προσθίῳ σελίδι· «Φιλοθέου οεϊθωπκε». Καὶ πάλιν αὐτόθι ἐν τῇ κάτω ᾤᾳ· «Ἐκ τῶν τοῦ Ἐφραίμ» Ἀθηναίου, πατριάρχου τῶν Ἱεροσολύμων. Φύλλ. 1-4 πίναξ τῶν ἐν τῷ κώδικι συγγραφῶν ἀναλυτικός.

1. «Ῥητορικῆς τέχνης Θεοφίλου Κορυδαλέως προοίμιον», οὗ ἡ ἀρχή· «Τὴν ἔμφυτον ἐπιθυμίαν καὶ ἔφεσιν» κτλ. Εἶτα κείμενον ῥητορικῆς, διῃρημένον εἰς τρία βιβλία καὶ σχολίοις ἐν ταῖς ᾤαις ἐπεξηγημένον, φ. 5-97, ἔνθα τὸ τέλος ἔχει ὧδε· «- - - τοῖς ἐπιμόνως ἐνδιατρίβουσι τούτοις τοῖς ἀτελέσι τῆς κατὰ ῥητορικὴν τελειότητος ἐγκρατεῖς γενέσθαι καὶ προθύμως ταύτην μετιέναι:— Ἔλαβε πέρας ἡ παροῦσα δέλτος, διὰ χειρὸς χαμοῦ τοῦ εὐτελοῦς καὶ ἁμαρτωλοῦ Φιλοθέου διακόνου ἐκ νήσου Κύπρου κατὰ μῆνα ἀπρίλλιον, ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑπτακοσιοστῷ τριακοστῷ· ἥτις ἑρμηνεύθη παρὰ τοῦ ἐλλογωτάτου ἱεροδιδασκάλου κυρίου Ἰακώβου Πατμίου κατὰ μῆναν ἀπρίλλιον ἐν ἔτει ͵αψλγʹ».

2. Ἀνώνυμα κεφάλαια «περὶ παραλήψεως» καὶ «περὶ περιπλοκῆς», φ. 98. Φύλλα ἄγραφα: $98^{β}$ - $104^{β}$.


3. Ῥητορικὴ κατ' ἐρωταπόκρισιν ἀνεπίγραφος (Ἀλεξάνδρου Μαυροκορδάτου). Ἀρχ. «Τί ἐστι Ῥητορική; Ῥητορική ἐστι τεχνικὴ δύναμις λόγων» κτλ. Φύλλ. 202 «Ἐγράφθη παρ' ἐμοῦ τοῦ ταπεινοῦ Φιλοθέου διακόνου Θωμᾶ κατὰ τὸ ͵αψλʹ μαΐου 21. Ἀπὸ Η-ην ἄχρις κβʹ ἰουνίου ἀνεγνώσθη».

83. Τεῦχος ἐξ ἑπτὰ φύλλων χάρτου καὶ μεμβρανίνων 139, ὅπερ ἦν πρότερον ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα.

Αʹ. Φύλλα χάρτινα, γραφέντα περὶ τὸ μέσον τῆς ιδʹ ἑκατονταετηρίδος.

1. Γερμανοῦ βʹ, πατριάρχου Κωνσταντινουπόλεως, σιγίλλιον ἀκέφαλον «ἐπὶ τοῖς παραλαυρίοις τῶν πατριαρχικῶν μονῶν», οὗ αἱ πρῶται λέξεις ὧδε· «- - - - ἀρχὴν ἐσχηκότα πατριαρχικὸν σταυροπήγιον», φ. 1. Σύνταγμα τῶν θείων καὶ ἱερῶν κανόνων, τ. V, σ. 111, γρ. 11 κέ.

2. «Ἕτερον τοῦ αὐτοῦ μηνὶ ἰουνίῳ ἰνδικτιῶνος ιγʹ. Οἱ ἀρχιερεῖς ὁ δεῖνα καὶ δεῖνα καὶ ὁ δεῖνα». Ἀρχ. «Τὰ κατὰ συ-



ναρπαγὴν λαβόντα σύμπηξιν οὐθ' ὁ καιρὸς περιτρέχει» κτλ., φ. 1β. Σύνταγμα, τ. V, σ. 112-113.

3. Σιγίλλιον ἀνεπίγραφον πατριάρχου τῆς 'Αχρίδος, οὗ ἡ ἀρχή· «'Ανηνέχθη τῇ ἡμῶν μετριότητι», φ. 3. 'Ανάλεκτα 'Ιεροσολ. Σταχυολ., I, σ. 474-476.

4. «'Εκ τοῦ ἐναποκειμένου ὑπομνήματος τῷ εὐαγεῖ χαρτοφυλακείῳ τῆς ἐν Κωνσταντινουπόλει ἁγιωτάτης ἐκκλησίας, τοῦ γεγονότος παρὰ τοῦ ἐν μακαρίᾳ τῇ λήξει ἁγιωτάτου πατριάρχου κυροῦ 'Αλεξίου καὶ τῆς τότε θείας καὶ ἱερᾶς συνόδου, ἔχοντος, πρὸς ἄλλοις κεφαλαίοις ἐκκλησιαστικοῖς, καὶ ταῦτα». 'Αρχ. «Κληρικοὺς κληρικοῖς διαμφισβητοῦντας» κτλ., φ. 4β. Σύνταγμα, τ. V, σ. 28, γραμμῇ 15.

5. Πίναξ τῶν περιεχομένων ἐν τοῖς μεμβρανίνοις φύλλοις τούτου τοῦ κώδικος, φ. 5β-7β.

Β'. Φύλλα μεμβράνινα, γραφέντα περὶ τὸ τέλος τῆς ιγ' ἑκατ., ὧν τὸ κείμενον κατὰ σελίδα μονόστηλον (0,201 × 0,14).

1. 'Ιωάννου τοῦ Δαμασκηνοῦ πηγὴ γνώσεως, φ. 8. Τῶν κεφαλαίων ἡ τάξις σφόδρα διάφορος τῆς ἐν τῷ τετυπωμένῳ κειμένῳ· ἐλλείπει γὰρ οὕτω τῷ κώδικι τὰ πρῶτα τριάκοντα κεφάλαια καὶ τὸ σύνηθες ξη' κεφάλαιον· ἔχει μέντοι κεφάλαιά τινα παντάπασιν ἀτύπωτα.

2. Τοῦ αὐτοῦ «ἔκδοσις ἀκριβὴς περὶ τῆς ὀρθοδόξου πίστεως», ἧς ἡ ἀρχή· «Θεὸν οὐδεὶς ἑώρακε πώποτε» κτλ., φ. 69-76+45-68+37-44+77-129. Migne τ. 94, σ. 789 κέ.

3. Τοῦ αὐτοῦ «ἐπιστολὴ γραφεῖσα πρὸς 'Ιορδάνην ἀρχιμανδρίτην περὶ τοῦ τρισαγίου ὕμνου». 'Αρχ. «Τῷ θεοτιμήτῳ κτλ. Τοῦ πρὸς σέ μου πόθου ἡ ἀκρότης» κτλ. φ. 130-141. Migne τ. 95, σ. 21.

4. «Τοῦ ἁγίου 'Ιωάννου τοῦ Δαμασκηνοῦ περὶ τοῦ ἀχράντου σώματος τοῦ Κυρίου, ὃ μεταλαμβάνομεν:—'Ιστέον, ὅτι εὗρον τοῦτο τὸ κεφάλαιον εἰς χαρτίον παλαιότατον, κατεφθαρμένον, ἐξ ἰδιοχείρου αὐτοῦ, ἐσχεδιασμένον γράμμα κατὰ σιγίλ(λ)ον· ὡς ἠδυνήθην δὲ τὰ σῳζόμενα ἀνελεξάμην, εἰ καὶ ἀτελῶς, ἵνα μὴ πάντῃ



ἀπόλωνται». Ἀρχ. «Τὸ τοῦ κυρίου καὶ Θεοῦ ἡμῶν σῶμα», φ. 141β - 144 [Migne τ. 95, σ. 401]. Τὸ πέρας τούτου τοῦ κειμένου ἔχει ἐν τῷ κώδικι οὕτως· «Χρὴ γινώσκειν, ὅτι ὁ ἱερεὺς τύπον ἔχει τοῦ Χριστοῦ· ἐκλαμβάνεται γὰρ ἡ μὲν γαργάρα τῆς κεφαλῆς αὐτοῦ εἰς τύπον τοῦ ἀρράφου χιτῶνος, ὃν ἐφόρεσεν ἐν τῷ σταυρῷ· τὸ δὲ ἐπιτραχήλιόν ἐστι τὸ φραγέλλιον σχοινίον, μεθ' οὗ ἔδησαν αὐτόν· τὸ δὲ στιχάριον ὁ χιτὼν ὁ ἐπὶ τοῦ σταυροῦ, ἤγουν ἡ κοκκίνη χλαμύς· τὸ δὲ χειρομ - - στον αὐτοῦ τὸ ἐπὶ τῆς ζώνης τὸ λέντιον, μεθ' οὗ τοὺς πόδας τῶν μαθητῶν ἀπέμαζε. Καὶ οὕτως μὲν κεκοσμημένος ὁ ἱερεὺς εἰσέρχεται, ὥσπερ ὁ Χριστὸς ἐν τῇ παρθενικῇ νηδύι, οὕτω καὶ οὗτος διὰ τοῦ ναοῦ ποιεῖται τὴν εἴσοδον, φορῶν τὴν μετὰ σταυρίου ἐπωμίδα. Ὅπερ λέγεται ὠμοφόριον, ὁ τύπος ἐστὶ τοῦ ἐπὶ τοῦ ὤμου αὐτοῦ κειμένου σταυροῦ· πληροῖ γὰρ ὁ ναὸς τύπον σχήματος σωματικοῦ· ἔχει γὰρ πόδας τὸν νάρθηκα, χεῖρας τοὺς γυναικίτας, κεφαλὴν τὸ βῆμα, καὶ μέσον ὁ ναός ἐστι, τὸ σῶμα. Εἰσέρχεται οὖν ὁ ἱερεὺς διὰ τοῦ ναοῦ, ὥσπερ ὁ Κύριος διὰ τοῦ παρθενικοῦ σώματος· καὶ ὥσπερ ἀναληφθέντος αὐτοῦ, οὕτως ἐκηρύχθη τὸ εὐαγγέλιον ἐν ὅλῳ τῷ κόσμῳ, καὶ μετὰ ταῦτα γίνεται ἡ δευτέρα παρουσία αὐτοῦ, οὕτως διὰ τῶν ἀναβαθμῶν τοῦ θυσιαστηρίου ἀνερχόμενος ὁ ἱερεὺς εἰς τύπον τῆς ἀναλήψεως, λέγεται μὲν ὁ Ἀπόστολος, κηρύσσεται δὲ καὶ τὸ Εὐαγγέλιον ἐν τῷ ναῷ, ἤγουν ἐν ὅλῳ τῷ κόσμῳ· καὶ μετὰ ταῦτα κατέρχεται λειτουργῆσαι, καὶ χωρίζει δικαίους καὶ ἁμαρτωλούς, ἤγουν τοὺς κατηχουμένους καὶ τοὺς πιστοὺς καὶ ἀξίους μυστηρίων. Εἶθ' οὕτως λέγει· "Τὰς θύρας πρόσχωμεν", ἤγουν τὰς ε' αἰσθήσεις· εἶτα αἴρει τὴν σινδόνα ἀπὸ τῶν θείων μυστηρίων τῆς ἀναφορᾶς, ἀντὶ τοῦ Ἰωσὴφ τοῦ ἀπὸ Ἀριμαθείας· ἡ δὲ σινδὼν ἔστιν ὁ ἀὴρ ὁ κείμενος ἐπάνω τῶν ἁγίων· εἶτα ὑψοῖ τὸν ἄρτον εἰς τύπον τῆς σαρκὸς τοῦ Κυρίου, λέγων "Τὰ ἅγια τοῖς ἁγίοις", καὶ λέγει ὁ λαὸς "εἷς ἅγιος, εἷς κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ πατρὸς ἀμήν".

5. «Τοῦ αὐτοῦ Ἰωάννου μοναχοῦ τοῦ Δαμασκηνοῦ περὶ ἑνώσεως καὶ διακρίσεως». Ἀρχ. «Χρὴ εἰδέναι, ὅτι διακεκριμένως

τὸ πατὴρ καὶ τὸ υἱὸς καὶ τὸ πνεῦμα καὶ τὸ ἀναίτιον» κτλ., φ. 144. Ἔστι δὲ τοῦτο αὐτὸ τὸ 10-ον κεφάλαιον τῆς Ἐκδόσεως ἀκριβοῦς ὀρθοδόξου πίστεως [Migne τ. 94, σ. 837], ὅπερ εὑρίσκεται καὶ ἐν ἑτέρῳ τόπῳ τοῦ κώδικος, φ. 48β-49α.

6. «Τοῦ ἁγίου Κυρίλλου ἐκ τοῦ Β-ου βιβλίου, οὗ ἡ ἀρχή· Περὶ τῆς θυσίας τοῦ ἀμνοῦ». Ἀρχ. «Ἕως μὲν γὰρ ἐν τῷδε τῷ κόσμῳ» κτλ., φ. 144β.

7. Ἰωάννου τοῦ Δαμασκηνοῦ «ἔτι περὶ θείων ὀνομάτων ἀκριβέστερον: λείπει δὲ ἐντὸς ἀπὸ τῆς τάξεως τῶν κεφαλαίων, τρισκαιδέκατον ὄν». Ἐν τῷ κρασπέδῳ διὰ τῆς χειρὸς τοῦ καλλιγράφου· «Εὕρηται δὲ εἰς βιβλίον τῆς μονῆς τῶν Μαγγάνων». Ἀρχ. «Τὸ θεῖον ἀκατάληπτον», φ. 145 κἑ [Migne τ. 94, σ. 845-849]· διὸ καὶ ἐν τῷ κρασπέδῳ τοῦ 50-οῦ φύλλου γέγραπται τοῦτο· «Ζήτει εἰς τὸ τέλος τοῦ βιβλίου ὃ λείπει, τρισκαιδέκατον ὄν».

84. Τεῦχος ἐκ φύλλων χάρτου 183 (μήκους 0,208, πλ. 0,14), οὗ τὰ ἄκρα ὑπὸ πυρᾶς ἐβλάβη· ἦν δὲ καὶ τοῦτο πρότερον ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα. Ἔνδον τῆς δευτέρας πινακίδος· «Καὶ τόδε σὺν τοῖς ἄλλοις Νεοφύτου Ῥοδίου».

1. «Μεταμόρφωσις τοῦ παλαιοῦ ἀνθρώπου καὶ [τοῦ νέου] γένεσις, ἤτοι βίβλος κατανυκτικὴ περὶ [τῶν τεσ]σάρων τοῦ ἀνθρώπου ἐσχάτων, μεταφρ[ασθεῖ]σα ἐκ τῆς λατινίδος εἰς τὴν κοινὴν τῶν Ἑλληνορωμαίων διάλεκτον παρὰ Ἰωάννου Κομνηνοῦ τοῦ ἰατροῦ». Ἀρχ. «Τῷ φιλαναγνώστῃ. Ἀπόφασις εἶναι μαρτυρημένη», φ. 1-54β, ἔνθα τὸ σημείωμα τοῦ καλλιγράφου· «[Ἐν] Πτολεμαΐδι τῆς [Φοι]νίκης ἀπριλλίου κς-ῃ. Νεόφυτος δοῦλος ὑμῶν Ῥόδιος, ͵αψμδ'» [1744].

2. (Νεοφύτου Ῥοδίου) ἐγκωμιαστικὸς λόγος εἰς Μελέτιον μητροπολίτην Καισαρείας Παλαιστίνης, ἐπίτροπον Χρυσάνθου πατριάρχου τῶν Ἱεροσολύμων. Ἀρχ. «Καθὼς ἀπὸ ὅλας τὰς ἀρετὰς καὶ προτερήματα», φ. 55. Ἐν τῷ λόγῳ τούτῳ γέγραπται, ὅτι Μελέτιος ὁ Καισαρείας «καὶ σπουδαστήριον τῆς μουσικῆς τέχνης» συνεκρότησεν ἐν Ἱεροσολύμοις.

3. Λόγοι διάφοροι νεοελληνικοί, φ. 59β-83β.

4. Ὁμηρόκεντρα μετὰ ψυχαγωγικῆς ἑρμηνείας, φ. 84-166.

5. (Νεοφύτου Ῥοδίου) λόγοι τρεῖς, φ. 167-183. α') Εἰς τὰ Εἰσόδια τῆς Θεοτόκου· «ἐρρέθη ἐν Ῥόδῳ ‚αψνςῳ» [1756]. β') Εἰς τὴν μεταμόρφωσιν τοῦ Κυρίου· ἐρρήθη «‚αψνθῳ ἀπριλλίου ιη'» [1759]. γ') Εἰς τὴν Χριστοῦ γέννησιν.

85. Τεῦχος ἐκ χάρτου (0,205 × 0,155), γραφὲν περὶ τὸ τέλος τῆς ἑκκαιδεκάτης ἑκατ. καὶ φύλλα συναριθμοῦν 299, ὧν ἄγραφα τάδε: 22, 37β-38, 42, 43, 46β-51, 55β-56α, 57β-57 (δίς), 73-76, 114-117, 132, 133, 194β-197, 214-216, 237β-249, 252-257, 261, 262, 275β-277, 283β-285. Ἐν τῇ ἀρχῇ φύλλον ἄνευ ἀριθμοῦ, περιέχον τοῦτο μόνον τὸ σημείωμα· «Риторіка Ермогенѣ, Χλ λ (=Χριστόδουλος μοναχός).—Post obitum R. P. Bezzanslii bibliotecae Mohilevensis applicitus».

1. Στοιχεῖα ῥητορικῆς ἀνωνύμου. Ἀρχ. «Γίνωσκε, ὅτι ὁ Ἑρμογένης γένος μὲν ἦν Ταρσεύς, πατρὸς δὲ εὐδαίμονος» κτλ., φ. 1.


2. «Προλεγόμενα εἰς τὴν ῥητορικήν». Ἀρχ. «Τέσσαρά εἰσι τὰ εἰωθότα ζητεῖσθαι περὶ παντὸς πράγματος», φ. 23.

3. «Historie in genere των καθεκαστα γνωσιν etc. Ἀρχ. «Historia a veteribus non est in solum» κτλ., φ. 31.

4. «Περὶ ἐποποιίας τῶν ἡρωϊκῶν στίχων». Ἀρχ. «Πᾶσα συλλαβὴ ἢ δι' ἑνὸς φωνήεντος τῶν μακρῶν φύσει» κτλ., φ. 33.—«Περὶ τῶν τῆς τραγῳδίας προλεγομένων». Ἀρχ. «Τραγῳδία πόθεν παράγεται; Ἀπὸ τοῦ τράγου, ἢ ἀπὸ τῆς τρυγός, ἣν ἐλάμβανον, ἤγουν ἠλείφοντο» κτλ., φ. 39.—«Περὶ ῥαψῳδίας. Τί ἐστι ῥαψῳδία; Ποίημα ἐμπεριειληφός τινα ὑπόθεσιν, καὶ ἄλλως μέρος τοῦ ὅλου ποιήματος» κτλ., φ. 44. — «Περὶ ῥήματος. Τρία γάρ τινα σημαίνει τὸ ῥῆμα, ἐνέργειαν καὶ πάθος» κτλ., φ. 52. — Ἐκ τῆς Φωτίου βιβλιοθήκης ἀπόσπασμα περὶ Πτολεμαίου τοῦ Ἡφαιστίωνος, φ. 64-72.

5. «Τὰ ὀφφίκια τοῦ βασιλέως τῶν Ῥωμαίων, ἅπερ ἐτύπωσε καὶ ἔστησεν αὐτὸς ὁ μέγας Κωνσταντῖνος ὁ βασιλεύς». Ἀρχ. «α' ὁ βασιλεύς, β' ὁ σεβαστοκράτωρ» κτλ., φ. 77.

6. «Περὶ τοῦ πῶς χρὴ συντάττειν τὰς ἐπιστολάς». Ἀρχ.



«Ἐπειδὴ τὰς ἐπιστολὰς οἱ τὴν ἀρχὴν εὑρόντες διὰ πρόσρησιν εὗρον» κτλ., φ. 80.

7. Παροιμίαι ἐκ τοῦ Α στοιχείου. Ἀρχ. «Ἀγαθοὶ δ' ἀριδάκρυες ἄνδρες· ἐπὶ τῶν σφόδρα πρὸς ἔλεον ῥεπόντων», φ. 88-93. Macarii cent. I, 12.

8. «Τρύφωνος περὶ τρόπων· γράφεται δὲ καὶ Φιλοπόνου». Ἀρχ. «Φράσις ἐστὶ λόγος ἐγκατάσκευος, ἢ λόγος κατά τινα δήλωσιν περισσοτέραν ἐκφερόμενος», φ. 95. Walz, Rhetores Graeci, τ. VIII, σ. 728.

9. «Λόγος εἰς Γρηγόριον τὸν Θεολόγον τοῦ σοφωτάτου Κορτησίου τοῦ Ἠπειρώτου». Ἀρχ. «Νόμος οὗτος ἤνθησε παρὰ τοῖς πρὸ τῶν ἡμετέρων χρόνων ἀκμάσασιν Ἕλλησι», φ. 118.

10. «Τοῦ αὐτοῦ εἰς τὸν ἐκλαμπρότατον καὶ αἰδεσιμώτατον καρδινάλιον Καράσφαν» λόγος, οὗ ἡ ἀρχή· «Οὐ σμικρὰν ἀχαριστίας ὑπόνοιαν ἀποκλίνειν ἔχοιμεν», φ. 125.

11. «Τοῦ αὐτοῦ ἐγκώμιον εἰς τὸν ἅγιον Ἀθανάσιον», οὗ ἡ ἀρχή· «Ὀχνοῦντά με τὰ θέατρα τῶν πανδήμων συλλόγων», φ. 129. Κείμενον ἀτελές.

12. «Τῷ σοφωτάτῳ καὶ λογιωτάτῳ κυρίῳ Ἀντωνίῳ τῷ Κορέγγῳ Κορτήσιος ὁ Βρανάιος εὖ πράττειν». Ἀρχ. «Ἐγὼ μέν, ὦ θεία καὶ ἱερὰ κεφαλή», φ. 134.

13. Λόγος ἀνεπίγραφος εἰς τὴν κοίμησιν τῆς Θεοτόκου, οὗ ἡ ἀρχή· «Ἐν μεγίστῃ ἀπορίᾳ καθέστηκα», φ. 135β.

14. Λόγος ἀνεπίγραφος εἰς τὸν ἀπόστολον Ἀνδρέαν, οὗ ἡ ἀρχή· «Οὐκ ἀπεικός, δέσποτά μου πανιερώτατε», φ. 137.

15. «Τοῦ ὑπερτίμου κυρίου Μιχαὴλ τοῦ Ψελλοῦ περὶ τῆς ἁγίας καθολικῆς ἐκκλησίας καὶ τῶν ἐν αὐτῇ τελουμένων: ἑρμηνεία ἐκ διαφόρων ἁγίων πατέρων». Ἀρχ. «Κατὰ πρῶτον λόγον ἐκκλησία οἰκοδομεῖσθαι παρεδόθη» κτλ., φ. 160.

16. Ἀνεπίγραφον περὶ τοῦ πῶς γράφονται αἱ εἰκόνες Ὁμήρου, Ἀριστοτέλους, Γαληνοῦ, Σιβύλλας, Πλάτωνος, Πλουτάρχου, Σωκράτους καὶ Πυθαγόρα, φ. 165.



17. «Κυρίλλου» τεμάχιον, οὗ ἡ ἀρχή· «Τί ἦν τὸ ἐφοὺδ, δι' οὗ ἐπηρώτα ὁ ἱερεὺς τὸν Θεόν», φ. 166.

18. «Ἐπιφανίου περὶ τῶν ιβ' λίθων τῶν ἐν τῷ λογίῳ τοῦ ἱερέως ἐμπεπερωνυμένων». Ἀρχ. «Σάρδιον τὸ Βαβυλώνιον καλούμενον», φ. 167. Epiphanii opera ed. G. Dindorfii, τ. IV, σ. 233.

19. «[Π]οίημα ὡς ἐν συνόψει περὶ φύσεως ἀνθρώπου. Μελετίου μοναχοῦ». Ἀρχ. «α' Περὶ μὲν τῆς τοῦ ἀνθρώπου κατασκευῆς», φ. 172. Κείμενον ἀτελέστατον.

20. «[Ἐ]ρωτήσεις διάφοροι ἐρωτηθεῖσαι παρὰ Ἀντιόχου τινὸς ἄρχοντος πρὸς τὸν μέγαν Ἀθανάσιον». Ἀρχ. «[Π]ολλὴ παρὰ ἀνθρώποις ὑπάρχει ζήτησις», φ. 179.

21. «Λόγος Ἰωάννου Μποναφέδη εἰς τὸν μέγαν Γρηγόριον», οὗ ἡ ἀρχή· «Ἔδει μέν, αἰδεσιμώτατοι ἔμοι γε πατέρες καὶ δεσπόται λαμπρότατοι, λοιποὶ θ' ὅσοι ἀκροαταὶ θεοφιλεῖς καὶ φιλέορτοι» κτλ., φ. 190. Περὶ τοῦ συγγραφέως ὅρα É. Legrand, Bibliographie hellénique, τ. II, σ. 210-213, 224, 378, 423.

22. «Ἐπιστολαὶ Θεοδώρου Ῥεντίου τοῦ Χίου» ὀκτώ, ἑτοιμασθεῖσαι πρὸς τύποις ἔκδοσιν, φ. 198. Ἑτέραν ἐπιστολὴν αὐτοῦ ὅρα παρὰ τῷ Legrand, Bibliogr. hell., τ. I, σ. 128-129, καὶ πάλιν ἑτέραν παρὰ τῷ Δημητρακοπούλῳ, Προσθ. καὶ διορθ. σ. 37. Ματθαῖος ὁ Παρανίκας ἐξετύπωσε τοῦ αὐτοῦ Θεοδώρου «ποιητικῆς τοῦ Ἀριστοτέλους παράφρασιν». Ἑλλην. Φιλολογ. Σύλλογος, τ. XII, σ. 75-100, ἐν δὲ τῷ IX-ῳ τόμῳ τοῦ αὐτοῦ βιβλίου κατεχώρισε βιογράφημα περὶ τοῦ Ῥεντίου, σ. 207.

23. «Δημήτριος Χαλκοκονδύλης τῷ λαμπροτάτῳ ἡγεμόνι Οὐρβίνου εὖ πράττειν. — Εὖ, οἶμαι, εἴρηταί τινι τῶν ἀρχαίων φιλοσόφων, ὡς τὰ μήπω μὲν ὀφθέντα ἀγαπᾶν οἷοί τ' ἐσμέν, ἥκιστα δὲ τὰ μὴ γνωσθέντα, ὡς τῶν καλῶν τῆς ψυχῆς ἀγνοουμένων καὶ τὸν πρὸς ἑαυτὰ ἔρωτα ἀφαιρουμένων· τούτων δὲ γνωριζομένων, μὴ μόνον ἱκανῶν ὄντων ἐπισπᾶσθαι πολλοὺς πρὸς τὴν σφῶν αὐτῶν ἔφεσιν καὶ ζῆλον, ἀλλὰ καὶ τοὺς εὐμοιροῦντας αὐτῶν θείᾳ τινὶ φύσει καὶ προσηκούσῃ παιδείᾳ, κἂν ὡς πορρωτάτω τυγχάνωσι

διεστηκότες, μηδ' ὄψει μηδέπω τοῦ φιλοῦντος ὑποπεπτωκότες, ἀναγκαζόντων ἡμᾶς φιλεῖν καὶ διὰ θαύματος ἄγειν. Κἀγὼ τοίνυν, κράτιστε δέσποτα, τοιοῦτόν τι πεπονθὼς πρὸς σὲ γενναῖον τῷ ὄντι ὑπάρχοντα καὶ πολλοῖς καὶ καλλοῖς πλεονεκτήμασιν εὖ μάλα κεκοσμημένον, ἔτι τε φιλομαθῆ τε καὶ λόγων ἑλληνικῶν ἐραστὴν ὄντα, εἰκότως, καὶ μήπω ἑωρακὼς μηδὲ συγγενόμενος, σφόδρα ἐρωτικῶς διάκειμαι περὶ σέ, εὐχόμενός ποτε καὶ ἰδεῖν καὶ ὡς ἱερόν τι καὶ σπάνιον ἀσπάσασθαι χρῆμα. Ἀλλὰ τούτου μὲν Θεῷ μελήσει φασίν, καὶ γένοιτο τυχεῖν ὀψέποτε τοῦ ποθουμένου· νῦν δὲ Λουκᾶ τοῦ ἀδελφοῦ, μᾶλλον δὲ πατρὸς καὶ καθηγεμόνος, ἐπανερχομένου πρὸς τὴν σὴν ἐκλαμπρότητα, ἔγνων διὰ βραχέων δηλῶσαι πρὸς σὲ τὴν ἐμὴν διάθεσίν τε καὶ γνώμην· νῦν γὰρ ᾗδιον ἢ πρότερον, καιροῦ λαβόμενος, ποιητέον τὸ πάλαι σκοπούμενον ἐδόκει, τοῦ καλοῦ κἀγαθοῦ προτρεψαμένου με πρὸς τοῦτο, ᾧ αὐτός τε διδασκάλῳ πρὸς γεωμετρίαν ἄσμενος ἐχρησάμην, ἀρίστῳ γε ὄντι καὶ τὰ πρῶτα τῶν καθ' ἡμᾶς ἐν τοῖς μαθήμασι μὴ μόνον φερομένῳ, ἀλλὰ καὶ τὴν σὴν ὑψηλότητα ᾔδειν δεσπότην ἑαυτοῦ εὐμενῆ καὶ εὐεργέτην ἁπανταχοῦ κηρύττοντι. Τούτῳ τε οὖν καὶ ἐμαυτῷ χαριζόμενος νῦν πρῶτον τὰ πρὸς τὴν σὴν λαμπρότητα ἐνεχείρισα γράμματα, καὶ τοῦ λοιποῦ δέ, ἄν περ αἴσθωμαί σοι κεχαρισμένα ποιῶν, οὐκ ὀκνήσω ἐπιστέλλειν, δεικνὺς τήν τε εὔνοιαν καὶ διάθεσιν, ἣν τρέφων πρὸς σὲ τυγχάνω, ὡς εἷς τῶν σῶν εὔνων καὶ πιστῶν οἰκετῶν, καὶ προθυμίαν τοῦ πάνθ' ἡδέως ὑπηρετεῖν ὅσα ἂν ἡμῖν ἐπιτάττῃς, καὶ πρὸς τούτοις ἔτι χάριν ὁμολογεῖν, εἴ τι τῶν ἡμῖν δυνατῶν ὑπὸ σοῦ κελευόμεθα. Εἴης εὐδαιμονῶν διὰ παντός, ἄριστε ἄρχων, καὶ ἡμῶν ὡς πάλαι μὲν τῇ γνώμῃ σῶν, νῦν δὲ καὶ γράμμασι τοῦτ' αὐτὸ ἐκφαινόντων, οὐκ ἀμνημονῶν». Φύλλ. 205.

24. Ἐπιστολαὶ Ἀντωνίου τοῦ Ἐπάρχου, φ. 206-216. α') Πέτρῳ Βέμβῳ, Ἐνετ. Ποσειδεῶνος θ' ἱσταμένου 1537. Ἀρχ «Ὥσπερ αἱ μέλιτται». Legrand, Bibliogr. hell. II, σ. 361. β') Φουλβίῳ Οὐρσίνῳ. Ἀρχ. «Ἱερώνυμος ἀνὴρ ἐλλογιμώτατος». Legrand αὐτόθι, σ. 372. γ') Βακχίῳ Παλδίνῳ. Ἀρχ. «Κόσμος ὁ τῶν Με-



δίκων». Legrand αὐτόθι, σ. 373. δ') Φαρνεσίῳ καρδινάλει. Ἀρχ. «Οἷος ἐξ ἀρχῆς ἐδείχθης». Legrand αὐτόθι, σ. 370.

25. «Λεξικὸν περὶ πνευμάτων, ἐκλεγὲν ἐκ τῶν πνευμάτων Τρύφωνος, Χοιροβοσκοῦ, Θεοδωρήτου καὶ ἑτέρων». Ἀρχ. «Τὸ ᾱ πρὸ τοῦ β ψιλοῦται· Ἄβυδος, Ἀβειρών, Ἀβιμέλεχ» κτλ., φ. 217 κέ. Egenolf, Die orthoepischen Stücke der byzantinischen Litteratur. Leipzig 1887, σ. 20.


26. Ἀνωνύμου «περὶ φωνῆς». Ἀρχ. «Ἐπειδὴ σκοπὸς ἡμῖν ἐστι διαλαβεῖν περὶ πάσης ἁπλῶς φιλοσόφου φωνῆς», φ. 250.

27. Ἀνωνύμου α') «περὶ τῶν ιβ' ὅρων τῆς γῆς». Ἀρχ. «Ὅρος α'. Πρῶτον ὄρος τὸ καλούμενον Ἄτλας» κτλ., φ. 258. β') «Περὶ τῶν τεσσάρων θαλασσῶν». Ἀρχ. «Τέσσαρες θάλασσαί εἰσιν ἐν τῷ κόσμῳ» κτλ., φ. 259. γ') «Περὶ τοῦ Ὠκεανοῦ ποταμοῦ». Ἀρχ. «Κύκλωθεν τῆς γῆς ὅλης ἐστὶ ποταμός», φ. 360.

28. «Τοῦ αὐτοῦ, ἔτι ἐν διακόνοις ὄντος, πρόλογος τῶν πινδαρικῶν παρεκβολῶν, ἤγουν τοῦ Εὐσταθίου». Ἀρχ. «Ἅπαντι μὲν ποιητῇ μέμηλε τοῦ ᾄδειν», φ. 263. Eustathii opuscula ed. L. Tafel, σ. 53.

29. «Τοῦ σοφωτάτου Ψελλοῦ χαρακτῆρες ἐπιστολῶν διάφοροι». Ἀρχ. «Ἐπιστολὴ πρώτη παραινετικὴ ἐξ ἐπιχειρήματος προσωπικοῦ. Τῶν πανταχόσε διαφημιζομένων σπουδαίων ἀνδρῶν» κτλ., φ. 278. Ἐπιστολῶν ὀκτὼ τύποι. Νικοδήμου Ἁγιορείτου, Κῆπος χαρίτων. Ἑνετίῃσιν 1819, σ. 250.

30. Ἀντωνίου τοῦ Ἐπάρχου ὀκτὼ ἐπιστολαί· α') Σιρλέτῳ καρδινάλει. Ἀρχ. «Ἄρτι παραγενόμενος», φ. 286. Legrand, Bibl. hell. II, σ. 367. β') Ἀμουλίῳ καρδινάλει. Ἀρχ. «Πλάτων ὁ θεῖος», φ. 287^{β}. γ') Πίῳ Ῥώμης ἐπισκόπῳ. Ἀρχ. «Τὸ περὶ τῆς συνόδου ἱερόν σου παράγγελμα, φ. 288. δ') «Ἐπιτροπικὸν γράμμα Ἀντωνίου τοῦ Ἐπάρχου πρὸς Μάρκον Ἀντώνιον τὸν Γαλδῖνον, νέον φιλομαθῆ καὶ σπουδαῖον». Ἀρχ. «Προθυμούμενος κατὰ τοὺς νόμους», φ. 293. ε') Τῷ αὐτῷ Γαλδίνῳ. Ἀρχ. «Τρισὶ λόγοις ἐμαυτὸν πείθω», φ. 294. Legrand, Bibl. hell. II, σ. 375. ϛ') Σιρλέτῳ καρδινάλει. Ἀρχ. «Οὕτω πέφυκεν ἀρετή», φ. 295.



Legrand, II, σ. 368. ζ') Καρδινάλει Τράνης. Ἀρχ. «Εὐστόχου φύσεως», φ. 295β. Legrand, II, σ. 368. η') Ἀντωνικίῳ Περενότῳ. Ἀρχ. «Περὶ μὲν τῶν ἐκτὸς λεγομένων», φ. 297. Legrand, II, σ. 364.

86. Εὐχολόγιον ἐκ χάρτου σητόβρωτον, ὅπερ ἦν πρότερον ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα, φύλλα συναριθμοῦν 152, σχήματος 8-ου· ἐλλείπει μέντοι τῷ κώδικι ἥ τε ἀρχὴ καὶ τὸ τέλος. Ἐγράφη τῇ πεντεκαιδεκάτῃ ἑκατονταετηρίδι· ὅμως δὲ πολλὰ φύλλα προσετέθη τῇ κατόπιν ἑκατ.—Κατ' ἐκλογὴν ἐγὼ σημειοῦμαι τάδε· α') «Ἑτέρα εὐχὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον», ἧς ἡ ἀρχή· «Παναγία δέσποινά μου Θεοτόκε, ἡ ἐλπὶς πάντων τῶν περάτων», φ. 2β.— β') «Εὐχὴ εἰς τὴν Θεοτόκον καὶ εἰς πάντας τοὺς ἁγίους». Ἀρχ. «Δέσποινα Θεοτόκε, ἡ μήτηρ τοῦ Κυρίου μου καὶ σκέπη καὶ σωτηρία μου», φ. 3.—γ') «Εὐχὴ τοῦ ἁγίου Ἐφραίμ», ἧς ἡ ἀρχή· «Δέσποτα κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ἥμαρτον εἰς τὸν οὐρανόν», φ. 4β.—δ') «Εὐχὴ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν», ἧς ἡ ἀρχή· «Σὲ μὲν καρδιογνῶστα», φ. 5. — ε') Ἑτέρα εὐχὴ λεγομένη εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν». Ἀρχ. «Κύριε ὁ Θεὸς ὁ καὶ πατρὸς καὶ μητρὸς περὶ ἡμᾶς κηδεμονικώτερος», φ. 6β. — ς') «Εὐχὴ Παύλου μοναχοῦ», ἧς ἡ ἀρχή· «Δέσποτα παντοκράτορ καὶ ποιητὰ τοῦ παντός», φ. 8.—ζ') «Εὐχαὶ διάφοραι [sic] ψυχωφελεῖς, καὶ εἰς τὸν ἐνυπνι(α)σμόν». Ἀρχ. «Ἄχραντε, ἀμόλυντε, πολυεύσπλαγχνε Κύριε», φ. 9. — η') «Εὐχὴ ἑτέρα τοῦ μεγάλου Βασιλείου», ἧς ἡ ἀρχή· «Πολυέλεε καὶ πολυεύσπλαγχνε Κύριε, ἀκήρατε, ἀμόλυντε» κτλ., φ. 11β.—θ') «Εὐχὴ τοῦ ἁγίου Συμεὼν τοῦ θαυματουργοῦ». Ἀρχ. «Κύριε Ἰησοῦ Χριστέ, (υἱὲ) τοῦ Θεοῦ, ἀθάνατε λόγε, ὁ μὴ καταισχύνων» κτλ., φ. 11β. — ι') «Εὐχὴ τοῦ ἁγίου Νίκωνος», ἧς ἡ ἀρχή· «Ὁ Θεὸς ὁ μέγας καὶ ἰσχυρός», φ. 12.—ια') «Εὐχὴ ἑτέρα», ἧς ἡ ἀρχή· «Δέσποτα κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἡ ἀίδιος φύσις» κτλ., φ. 13. — ιβ') «Εὐχὴ ἑτέρα», ἧς ἡ ἀρχή· «Κύριε ὁ Θεὸς ὁ ἐν ἐλέει πλούσιος», φ. 16β [Εὐχαὶ κατανυκτικαὶ διαφόρων ἁγίων. Ἐν Τεργεστίῳ 1804, σ. 41]. —ιγ') «Εὐχὴ τοῦ Χρυσοστόμου». Ἀρχ. «Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν», φ. 18. —



ιδ') «Εὐχὴ ἑτέρα», ἧς ἡ ἀρχή· «Δέσποτα κύριε ὁ Θεὸς τῶν ἁπάντων», φ. 19. — ιε') «Εὐχὴ ἑτέρα», ἧς ἡ ἀρχή· «Δέσποτα κύριε Ἰησοῦ Χριστέ, υἱὲ τοῦ ζῶντος Θεοῦ», φ. 19β.— ις') «Εὐχὴ τῆς ἁγίας Μακρίνης, ἀδελφῆς τοῦ ἁγίου Βασιλείου». Ἀρχ. «Ὁ Θεὸς ὁ αἰώνιος, εἰς ὃν ἐπερρίφην ἐκ κοιλίας» κτλ., φ. 20.— ιζ') Πέντε εὐχαὶ ἀνώνυμοι.—ιη') «Εὐχὴ τοῦ μεταφραστοῦ κυροῦ Συμεών», ἧς ἡ ἀρχή· «Ὁ μόνος καθαρὸς καὶ ἀκήρατος Κύριος, ὁ δι' οἶκτον φιλανθρωπίας» κτλ., φ. 24.—ιθ') Πολλαὶ εὐχαὶ ἀνώνυμοι. —κ') «Εὐχὴ τοῦ Χρυσοστόμου», ἧς ἡ ἀρχή· «Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τὰς κοινὰς ταύτας» κτλ., φ. 27β. — κα') «Εὐχὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον, πάνυ ὠφέλιμος διὰ στίχου». Ἀρχ. «Ἀλλ' ὦ παρθένε δέσποινα, ἄχραντε Θεοτόκε», φ. 29 [Εὐχαὶ κατανυκτικαὶ διαφόρων ἁγίων. Ἐν Τεργεστίῳ 1804, σ. 47]. — κβ') «Εὐχὴ κατανυκτικὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον κατὰ αβ». Ἀρχ. «Ἀνυμνῶ σου τὴν χάριν, ὦ δέσποινα», φ. 30β.— κγ') «Ἔπειτα αὕτη ἡ θαυμασία εὐχὴ εἰς πάντας τοὺς ἁγίους Ἀγγέλους». Ἀρχ. «Πᾶσα ἡ πληθὺς τῶν ἀσωμάτων», φ. 31.— κδ') «Εὐχὴ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωαννικίου τοῦ μεγάλου», ἧς ἡ ἀρχή· «Κύριε ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ πάντων τῶν ἐν αὐτοῖς», φ. 32. — κε') «Εὐχὴ τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου Στουδίτου». Ἀρχ. «Δέσποτα κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ προσδεξάμενος τοῦ Μανασσῆ τὴν ἐξαγόρευσιν», φ. 34β. —κς') «Εὐχὴ τοῦ ἁγίου Ἐφραίμ», ἧς ἡ ἀρχή· «Δέσποτα κύριε ὁ Θεὸς ὁ τοῖς πάθεσί σου τὰ πάθη μου θεραπεύσας», φ. 35. — κζ') «Εὐχὴ ἐξομολογήσεως», ἧς ἡ ἀρχή· «Κύριε βασιλεῦ ἐπουράνιε, παράκλητε», φ. 35β. — κη') «Εὐχὴ ἑτέρα τοῦ Χρυσοστόμου», ἧς ἡ ἀρχή· «Φιλάνθρωπε δέσποτα καὶ δημιουργὲ τῆς ὁρατῆς καὶ ἀοράτου κτίσεως», φ. 36. — κθ') «Εὐχὴ ἑτέρα τοῦ μεγάλου Βασιλείου», ἧς ἡ ἀρχή· «Δέσποτα κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους» κτλ., φ. 37. —λ') «Εὐχὴ τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου», ἧς ἡ ἀρχή· «Ἡ πανσθενὴς καὶ ζωοποιὸς παναγία τριάς», φ. 37β. — λα') «Εὐχὴ ἑτέρα τοῦ ἁγίου Ἐφραίμ», ἧς ἡ ἀρχή· «Σοὶ Κύριε



τῷ μόνῳ ἀγαθῷ καὶ ἀμνησικάκῳ», φ. 38. — λβ΄) «Εὐχὴ ἑτέρα τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ». Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ἐλέει πλούσιος καὶ οἰκτιρμοῖς», φ. 39β. — λγ΄) «Εὐχὴ τοῦ ἁγίου Εὐστρατίου», ἧς ἡ ἀρχή· «Μεγαλύνων μεγαλυνῶ σε, Κύριε», φ. 41.—λδ΄) «Εὐχὴ τῆς ὁσίας μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας». Ἀρχ. «Παρθένε δέσποινα Θεοτόκε, ἡ τὸν Θεὸν Λόγον κατὰ σάρκα γεννήσασα», φ. 41β.—λε΄) «Εὐχὴ τοῦ ἁγίου Ἰωάννου τοῦ Καλυβίτου εἰς τὴν ὑπεραγίαν Θεοτόκον». Ἀρχ. «Δέχου τοίνυν εὐμενεστάτη», φ. 44β.—λϛ΄) Ἀκολουθία εἰς τὸν ἅγιον Ἰωάννην τὸν Πρόδρομον. Ἀρχ. «Προφῆτα θαυμάσιε», φ. 46. — λζ΄) Ἀκολουθία εἰς τὸν ἅγιον Δημήτριον. Ἀρχ. «Λάμπεις τῇ πατρίδι σου ἀεί», φ. 47. — λη΄) «Ἕτερος κανὼν εἰς τὸν ἅγιον Δημήτριον· ποίημα Γεωργίου τοῦ Σκυλίτζη, οὗ ἡ ἀκροστιχίς: Μύρου γεραίρω τὴν χάριν Δημητρίου Γεώργιος Σκυλίτζης». Ἦχος πλάγιος δ΄. Ἀρχ. «Μύρου εὐώδους καὶ σεπτοῦ, Δημήτριε» κτλ., φ. 50β.— λθ΄) «Κανὼν τοῦ Χρυσοστόμου, φέρων ἀκροστιχίδα τήνδε: Τῷ χρυσογλώσσῳ πατρὶ καὶ χρυσοστόμῳ ὕμνος κροτεῖται μακρὸς ἐξ Ἰωάννου τοῦ Μαυροπόδι» [sic]. Ἦχος πλάγιος δ΄. Ἀρχ. «Τὸ χαριτόπνουν τῆς σοφίας ὄργανον», φ. 55. — μ΄) «Ἀκολουθία εἰς τὸν ὅσιον πατέρα ἡμῶν Ἰωάννην τὸν Δαμασκηνόν, συγγραφεῖσα παρὰ Ἰωάννου Εὐχαΐτων τοῦ Μαυροπόδ(ι)». Στιχηρά, ἦχος β΄. Ἀρχ. «Ποίοις ὑμνῳδιῶν ᾄσμασιν», φ. 61. Μετὰ τὰ στιχηρὰ κανών. — μα΄) «Κανὼν τοῦ ἁγίου Γεωργίου, φέρων ἀκροστιχίδα τήνδε: Γεωργίῳ μάρτυρι τὴν ᾠδὴν φέρω Γεώργιος Σκυλίτζης». Ἦχος πλάγιος δ΄. Ἀρχ. «Γεωργηθεῖσαν ἐκ καρδίας αὔλαξιν» κτλ., φ. 65β. Fabrici-Harles, Bibl. Graeca, XII, σ. 37.—μβ΄) «Ἀκολουθία εἰς τοὺς ἁγίους μεγαλομάρτυρας Θεοδώρους, τὸν Τήρωνα καὶ τὸν στρατηλάτην» κτλ. Εἶτα «Ὁ κανὼν εἰς τοὺς ἁγίους μεγαλομάρτυρας Θεοδώρους, φέρων ἀκροστιχίδα τήνδε: Θεοδώρων εἷς ὕμνος ἀθλητῶν δύο· Γεώργιος». Ἦχος β΄. Ἀρχ. «Θαυμαστὴ γενέσθω», φ. 70β.—μγ΄) «Ἀκολουθία εἰς τὴν ὁσίαν μητέρα ἡμῶν Θεοδώραν τὴν μυροβλύτιδα». Ἀρχ. «Ποίοις ὑμνῳδιῶν κάλλεσιν», φ. 73β. Εἶτα «Ὁ κανὼν εἰς τὴν ὁσίαν Θεοδώραν· ποίημα Δη-



μητρίου τοῦ Κανίσκη, ἔχον ἀκροστιχίδα ἐν τοῖς θεοτοκίοις Δημητρίου· καθ' ἓν τροπάριον τὸ Μύρον». Ἦχος α'. Ἀρχ. «Ἀναστάσεως ἡμέραν», φ. 75. — μδ') Κανὼν εἰς τὸν ὅσιον Σάβαν, οὗ ἡ ἀρχή· «Θεοσεβείας ἀληθῶς ὁ βίος σου» κτλ., φ. 76β. — με') Ἕτερος κανὼν εἰς τὸν αὐτόν, οὗ ἡ ἀρχή· «Ἐκ θείας δόξης φρουρούμενος», φ. 78. — Ἕπονται παρακλητικοὶ κανόνες διάφοροι καί τινες εὐχαί.

87. (Ἰωάννου τοῦ Δαμασκηνοῦ) Θεοτοκάριον, οὗ ἡ ἀρχή· «Πάντων καὶ ἀγγέλων καὶ βροτῶν» κτλ. Τεῦχος ἐκ φύλλων χάρτου 207, σχήματος 8-ου, σητόβρωτον, ἐφθαρμένον καὶ κακόγραφον, ὃ δῶρον ἔδωκεν Ἀναστάσιός τις ἔτει 1664-ῳ τῇ μονῇ τοῦ Σταυροῦ· ἐγράφη δὲ τῇ ἑκκαιδεκάτῃ ἑκατονταετηρίδι. Ἐπὶ φύλλου τινὸς ὑπάρχει σημείωμα (ἔτους 1717-ου) Νεοφύτου ἱερομονάχου Κυπρίου καὶ τῆς μονῆς τοῦ Σταυροῦ ἐφημερίου.

88. Τεῦχος μεμβράνινον τῆς ιβ' ἑκατ., μήκους 0,208, πλ. 0,16, φύλλα σῷζον 59, ὧν τὸ κείμενον ἀριθμεῖ κατὰ σελίδα γραμμὰς 40 (0,16 × 15)· ἦν δὲ καὶ τοῦτο πρότερον ἐν τῇ μονῇ τοῦ ἁγίου Σάβα. «Ψαλτήριον τερπνόν, εἰς Θεὸν μέλος»· ὅπερ ὅμως, ὅτε τὴν μονὴν ἐκόσμει τοῦ ἁγίου Σάβα, κατέφθειρεν ὁ Πορφύριος Οὐσπένσκης, ἀποκόψας διὰ ψαλίδος μέρη φύλλων τινῶν, ἐν οἷς ὑπῆρχον εἰκονίσματα μικρά, καὶ πάλιν ἕτερα φύλλα ῥιζηδόν, εἰκόνας ἔχοντα μεγάλας· οἷον τὸ κάτω ἥμισυ τοῦ 29-ου φύλλου, ὅθεν ἤρχετο ὁ οζ' ψαλμός· τὸ ἄνω ἥμισυ τοῦ 55-ου φύλλου, ὅθεν ἄρχεται ψαλμός, οὗ ἡ ἀρχή· «Μικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μου»· φύλλον ὅλον, ὅπερ ἦν μετὰ τὸ νῦν 57-ον, καὶ τὸ τέλος αὐτοῦ τοῦ Ψαλτηρίου. Ἐν δὲ τῇ ἀρχῇ τοῦ τεύχους πίναξ ὑπάρχει νῦν ἐγκεκοσμημένος, σχήματος τετραγώνου, οὗ τὸ μέσον ἀπεικάζει προτομὴν τοῦ ὑπερτάτου Ὄντος, ἔνδον κύκλου χρυσοῦ κεκλεισμένην. Ἐν τῷ 56-ῳ φύλλῳ γέγραπται μικρὸν εἰκόνισμα, ὅπερ ἀπεικάζει τὸν Μωϋσέα διαπερῶντα τὴν Ἐρυθρὰν Θάλασσαν μετὰ τοῦ λαοῦ Ἰσραήλ· ἐκεῖ καὶ ἡ «ᾠδὴ Μωϋσέως ἐν τῇ Ἐξόδῳ»· ἐν δὲ τῇ ὀπισθίῳ σελίδι τοῦ αὐτοῦ φύλλου, ἔνθα ἡ «ᾠδὴ Μωϋσέως ἐν τῷ Δευτερονομίῳ», παρέστησεν ὁ ζωγράφος τὸν Μωϋσέα ἱστάμενον·

καὶ ἐν τῇ προσθίῳ σελίδι τοῦ 57-ου φύλλου τὴν ἁγίαν Ἄνναν· ἐκεῖ γὰρ καὶ ἡ «ᾠδὴ Ἄννης μητρὸς Σαμουήλ»· ἐν δὲ τῇ ὀπισθίῳ σελίδι τὸν προφήτην ἐξεικόνισεν Ἀββακούμ, οὗτινος ὅμως ἡ ᾠδὴ κεκολοβωμένη· τελευτᾷ γὰρ εἰς τὰς λέξεις «ἔβαλες εἰς κεφαλὰς ἀνόμ - -». Ἐν τῷ 59-ῳ φύλλῳ εἰκών ἐστιν ἀπεικάζουσα τοὺς τρεῖς παῖδας ἐν τῇ καμίνῳ καὶ τούτων ἄνωθεν ἄγγελον ἠνεῳγμένας ἔχοντα τὰς πτέρυγας· μετὰ δὲ τὴν εἰκόνα τὸ κείμενόν ἐστι τῆς ᾠδῆς αὐτῶν, ἥπερ ἀριθμεῖται ὀγδόη· καὶ πάλιν ἐν τῇ ὀπισθίῳ σελίδι τοῦ αὐτοῦ φύλλου μικρὰ εἰκών, ἀπεικάζουσα τὴν Θεοτόκον ἱσταμένην· ἔστι δὲ αὐτοῦ καὶ ἡ ᾠδὴ αὐτῆς καὶ ἡ τοῦ προφήτου Ζαχαρίου μέχρι τῶν λέξεων «ἐξ ὕψους ἐπιφάναι τοῖς ἐν σκότει».

89. Τεῦχος ἐκ φύλλων χάρτου 96, μήκους 0,205, πλάτους 0,15, ὅπερ ἦν πρότερον ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα· ἐγράφη δὲ περὶ τὸ μέσον τῆς ιη' ἑκατ.—Φύλλ. 1-94α «Παροιμίαι συλλεγεῖσαι ἀπὸ διαφόρων βιβλίων ὑπὸ Παρθενίου ἱερομονάχου Κατζιούλη τοῦ ἐξ Ἰωαννίνων, εἰς χρῆσίν τε καὶ ὠφέλειαν τῶν φιλοπόνων σπουδαίων καὶ ἐν Χριστῷ ἡμῶν ἀδελφῶν». Φύλλ. 95-96 «Ἐπιγράμματα διαφόρων» δίστιχα, ὧν ἡ ἀρχή· «Εἰς κόρεις. Οἱ κόρεις ἄχρι κόρου κορέσαντό μου» κτλ. — Τοῦ αὐτοῦ Παρθενίου βιβλίον ἐξεδόθη ἔτει 1728-ῳ, οὗ ἡ ἐπιγραφή· «Ἀποφθεγμάτων ἀπανθίσματα ἁγίων πατέρων καὶ φιλοσόφων, συλλεχθέντα παρὰ τοῦ ἐν ἱεροδιδασκάλοις λογιωτάτου κυρίου Παρθενίου τοῦ Κατζιούλη, προσφωνηθέντα δὲ τοῖς εὐγενεστάτοις καὶ χρησιμωτάτοις αὐταδέλφοις κυρίῳ Ζαχαρίᾳ καὶ κυρίῳ Νικολάῳ Σελέκη τῶν ἐξ Ἰωαννίνων· τανῦν πρῶτον τύποις ἐκδοθέντα καὶ μετὰ πλείστης τῆς ἐπιμελείας διορθωθέντα. Ἑνετίῃσι ‚αψκη', παρὰ Νικολάῳ Γλυκεῖ» [Ἀ. Π.-Βρετοῦ, Νεοελληνικὴ φιλολογία, τ. Ι, σ. 66].—Ἡ δὲ τῶν παροιμιῶν συλλογὴ τὴν ἀρχὴν ἔχει ἀπὸ τοῦ προλόγου τούτου.

Οἶμον ἀνακτορίων διζήμενος ὦ τὰν Ἀθήνης,
οἶμον ἄθροι πυκνῶς τήνδε παροιμιάων·
ἔμφρονα γὰρ ψυχὴν κἀστείην ἔξοχα δείξεις,
Παρθενίῳ εἰδὼς καὶ χάριν ἀθάνατον.

«Τοῖς ἐντευξομένοις ἐν Χριστῷ ἡμῶν ἀδελφοῖς εἰδήμοσι,

*



πᾶσί τε καὶ σπουδαίοις, ὅσοι τε τῆς ἱερατικῆς τάξεως, ὅσοι τε τοῦ λαϊκοῦ καταλόγου, ὑγείαν καὶ σωτηρίαν παρὰ Θεοῦ. — Ἀγαθόν τι χρῆμα τὸν πόνον ἀποφήναντά τινα τῶν ἐπὶ φιλοσοφίᾳ βεβοημένων ἀνδρῶν κομιδῇ θαυμάσας τὰ μέγιστα ἐπῃνεσάμην, ὡς κάλλιστά τε καὶ δοκιμώτατα φιλοσοφήσαντα· διὰ πόνου γὰρ τοῖς ἀνθρώποις ἐπεισρέει τὰ ἀγαθά, διὰ πόνου πάντες τιμῆς ἀξιοῦνται· διὰ τούτου πλουτοῦσι, διὰ τούτου Θεοῦ βασιλείαν κληρονομοῦσιν. Ὄντως ἀγαθὸν ὁ πόνος· τῷ γὰρ πονοῦντι καὶ Θεὸς συλλαμβάνει, κατὰ τὴν παροιμίαν. Τούτῳ δὴ καὐτὸς τῷ πόνῳ ὡς μέσῳ τινὶ χρησάμενος ἔρχομαι πρὸς τὴν ὑμετέραν ἀγάπην καὶ ἐν Χριστῷ ἡμῶν ἀδελφότητα ἀσπασόμενος ὑμᾶς τὸν ἐν Χριστῷ ἀσπασμόν· ἐπόνησα γὰρ οὐ μετρίως περὶ τὴν συλλογὴν τῶν παροιμιῶν· καὶ γάρ, ὡς δῆλον, διεσπαρμένων τυγχανουσῶν καὶ μὴ ἐν ταὐτῷ, πόνον τε οὐκ ὀλίγον τοῖς θέλουσι χρῆσθαι ταύταις παρεχουσῶν, συνελεξάμην ἔγωγε ταύτας ἀπὸ βιβλίων διαφόρων, ἀπό τε Βαρίνου καὶ Σουίδα, ἀπό τε Μιχαήλου Ἀποστολίου καὶ Ταρραίου καὶ Διδύμου, ἀπό τινος Γραικολατίνου καὶ ἄλλων ἀνωνύμων, πολλάς τε ἀπὸ τῆς τῶν χυδαίων γλώττης, ἃς καὶ μετήνεγκα εἰς τὸ ἀρχαῖον κάλλος τῆς ἑλληνίδος διαλέκτου, παρ' ἧς καὶ ἐπέζευσαν· τῶν δὲ λαχουσῶν μοι οὐδεμίαν παρῆκα. Τούτων δὲ τὸ χρήσιμόν τε καὶ ὑπουργὸν ἐγνωσμένον ὑμῖν· ἤθη γὰρ παραινοῦσι καὶ πάθη ἐπανορθοῦσι· λόγος γὰρ βιωφελὴς ἡ παροιμία. Καὶ εἰσὶν οἷον ὕλη ἀναγκαιοτάτη τοῖς λόγου καὶ ἐπιστήμης μετεσχηκόσιν· ὑπουργοῦσι γὰρ ὑμῖν πρὸς τὸ ὁμιλεῖν ἀστείως καὶ συγγράφειν κοσμίως. Τοῦτο κἀγὼ προορῶν ἐπόνησα περὶ τὴν συλλογὴν τῶν αὐτῶν· ἃς τάξεως ἀμοιρούσας εὑρών, ταύτην ἐχαρισάμην αὐταῖς· ἐξ ὧν τὰς μὲν εἰς τὴν αὐτὴν ἔννοιαν συντεινούσας, ἃς καὶ ταὐτοσημάντους καλέσας, ἐν τῷ τέλει μετεθέμην τοῦ βιβλίου. Τοῦτον οὖν τὸν πόνον προσανατίθημι τῇ ὑμῶν λογιότητι, ὃν ὑπτίαις ὑποδέξασθε χερσὶν ἀξιῶ, οὐκ ἀφορῶντες εἰς τὸ τοῦ δώρου λιτόν, ἀλλὰ τὸ πρόθυμον τοῦ πονήσαντος μετὰ φιλοφροσύνης δεξιώσασθε· καὶ γὰρ καὶ Ἀλέξανδρος ὁ μέγας οὐκ ἀπηξίωσε τὸν ὀλίγον τι ταῖς χερσὶν ὕδωρ κομίσαντα.

Μετ' οὐ πολὺ δέ, ἣν Θεὸς διδῷ, καὶ ἄλλην συλλογήν, τὴν τῶν ἀποφθεγμάτων προσοίσω ὑμῖν· ἀδελφὰ γάρ, κατὰ τὸν εἰπόντα, παροιμίαι καὶ ἀποφθέγματα. Ἐγὼ μὲν οὖν, ὦ σεβασμία ὁμήγυρις, ὃ κατὰ δύναμιν εἶχον, πάρεστιν· ὑμῶν δὲ ἕκαστος τὸν οἰκεῖον ἔρανον μὴ ἀποστερείτω, καθὰ δυνάμεως ἔτυχεν· οὕτω δὲ ποιοῦντες ἐντολὴν πληροῦμεν Θεοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν. Ἔρρωσθε μὲν τῷ σώματι, ὑγιαίνετε δὲ τῇ ψυχῇ, κατὰ Χριστὸν ἀδελφοί. Παρθένιος ἱερομόναχος ὁ Κατζιούλης, ἐξ Ἰωαννίνων, τῆς ὑμετέρας λογιότητος ἐν Χριστῷ ἀδελφός».

90. Τεῦχος ἐκ φύλλων ἠριθμημένων στιλπνοῦ τε καὶ χονδροῦ χάρτου 190, ὧν ὁ Πορφύριος Οὐσπένσκης ἀπέκοψε τό τε 186-ον καὶ τὸ 187-ον· ἔχει δὲ ταῦτα νῦν ἡ Πετρουπόλεως αὐτοκρατορικὴ δημοσία βιβλιοθήκη [ἀριθ. 458. Отчетъ Импер. Публ. Библiот. за 1883 г., σ. 153]. Τὸ τεῦχος μήκους ἐστὶ 0,202, πλάτους 0,142· ἐγράφη δὲ μεγαλογραμμάτως καὶ ἀραιῶς ἔτει 1619-ῳ. Ἐπιγραφή· «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα τοῦ ὑγιασμένου [sic] καὶ καθηγητοῦ τῆς ἐρήμου, μεταφρασθὲν [sic] εἰς τὴν κοινὴν γλῶτταν». Ἀρχ. «Δὲν εἶναι κανένα πρᾶγμα ὁποῦ νὰ παρακινᾷ ἔτζι εὔκολα» κτλ. Μετὰ τὸ κείμενον σημείωμα τοῦ καλλιγράφου· «Ἐμεταφράσθη ὁ τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα βίως, ἐκ τῆς ἐληνίδως εἰς τὴν κινὴν γλῶτταν, πόνω καὶ ἱδρώτ(ι) Νεοφύτου ἱερομονάχου Ροδύνου τοῦ Κυπρέου, ἐν Γιάσι πόλ(ει) τῆς Ανω-Δακίας, ἡγεμονέβωντος τοῦ Ἀιχχτῶγ, Ἰωάννου Ρανδούλα, βοεβῶνδα, ὑγουμενέβωντος ἐν μὲν τῇ μεγίστη Λαύρα Δανιὴλ ἱερομονάχου, ἐν δὲ τῶ παρόντι καταγωγίω, Γαλακτίωνος ἱερομονάχου. Ἔτει σρίω ,αχιθ' [1619]· εἴληψε δὲ πέρας ἰανουαρίω κη'». Περὶ Νεοφύτου τοῦ Ῥοδινοῦ ὅρα Κ. Σάθα, Νεοελλην. φιλολογ. σ. 266. Ἀ. Π-Κεραμέως, Συμβολαὶ εἰς τὴν ἱστορίαν τῆς νοελλ. φιλολογίας [Ἑλλην. Φιλολογ. Σύλλ. τ. XVII, σ. 57-58, 79-80]. Κ. Οἰκονόμου τὰ σῳζόμενα φιλολογικὰ συγγράμματα, τ. Ι, σ. 432-434.


91. Ὡρολόγιον ἀκέφαλον, ἐμπεριέχον τὰς ἀκολουθίας ὄρθρου μετὰ τῶν ὡρῶν, ἑσπερινοῦ καὶ μεγάλου ἀποδείπνου, καὶ πολλὰς εὐχὰς



ἐξομολογητικάς τε καὶ παρακλητικάς· ἐγράφη δὲ περὶ τὸ τέλος τῆς ιϛ' ἑκατ., καὶ φύλλα μὲν ἀριθμεῖ χάρτου χονδροῦ καὶ στιλπνοῦ 236, ἐν μιᾷ δ' ἑκάστῃ τῶν σελίδων γραμμὰς πεντεκαίδεκα (0,205× 0,152 = 0,145 × 0,10)· ἔχει δὲ καί τινα κεφαλαιώδη γράμματα πεποικιλμένα μέν, κακότεχνα δέ.

92. Τεῦχος ἐκ χάρτου χονδροῦ τε καὶ στιλπνοῦ, γραφὲν ἔτει 1581-ῳ καὶ συνιστάμενον ἐκ φύλλων 155, μήκους 0,202, πλ. 0,151, ὧν τὸ κείμενον κατὰ μίαν ἑκάστην τῶν σελίδων μονόστηλον ἐκ γραμμῶν 20 ἢ 21 (0,15 × 0,095)· ἔνδον τῆς πρώτης πινακίδος ἐπὶ φύλλου προσθέτου σεσημείωται, ὅτι καὶ τοῦτο τὸ τεῦχος «ἐλήφθη ἐκ τῆς ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάββα βιβλιοθήκης, τῆς ἐν τῇ ἐκκλησίᾳ», τῇ 9-ῃ μηνὸς αὐγούστου ἔτους 1858-ου. Σημείωμα δὲ τοῦ καλλιγράφου ἐν τῷ τελευταίῳ κεῖται φύλλῳ (155β)· «Ἐτελειώθει τὸ παρὸν βιβλίον, παρὰ συνδρομεῖς τοῦ ἐν ἱερομονάχοις καὶ καθ' ἡγουμένου (=τῆς λαύρας τοῦ ἁγίου Σάβα). κυροῦ Τϊμοθέου: - ἐπὶ ἔτι, ζω πθω: ἐν μηνὶ αὐγούστω, εἰς τὰς ιβ': ἡμέρα Σαββάτω». Τὸ γράψιμον ἐπιμεμελημένον καὶ ἀραιόν, κεκοσμημένον δὲ καί τισι κεφαλαιώδεσι γράμμασι κοκκίνοις περιπεποικιλμένοις· ἐν δὲ τῇ ἀρχῇ τοῦ τεύχους ὑπάρχει κόσμημα ταινιοειδὲς καὶ τὸ στοιχεῖον Α κεχρωματισμένον τε καὶ πάνυ μέγα· ἐν δὲ ταῖς ᾤαις τῶν φ. 8β-9α σημείωμα παλαιόν ἐστι, δηλοῦν ὅτι τὸ τεῦχος ἦν μονῆς τινος ἐπ' ὀνόματι τιμωμένης ἁγίου Γεωργίου τοῦ μεγαλομάρτυρος· ἐν ἑτέρᾳ δὲ ᾤᾳ (φ. 127β) εὑρίσκεται τὸ «Ὁ ἐν ἱερομονάχοις Νεόφυτος καὶ πρωτοσύγκελλος», ὅπερ ἐγράφη τῇ ιη' ἑκατ.

1. «Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοδώρου ἡγουμένου τῶν Στουδίου κατηχήσεις πρὸς τοὺς ἑαυτοῦ μαθητάς, ἀρχόμεναι ἀπὸ τῆς Κυριακῆς τῆς Τυροφάγου μέχρι τῆς Μεγάλης Ἑβδομάδος». Ἀρχ. «Τῇ Κυριακῇ τῆς Τυροφάγου. Ἀδελφοὶ καὶ πατέρες, ὁ ἀγαθὸς ἡμῶν Θεός, ὁ διδοὺς ἡμῖν τὸ ζῆν» κτλ., φ. 1-140. — Θεοδώρου τοῦ Στουδίτου «προοίμιον εἰς τὸν ῥηθέντα κατηχητικὸν λόγον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, τῆς ἁγίας καὶ μεγάλης λαμπρᾶς Κυριακῆς, περὶ τῆς ἁγίας καὶ ἐνδόξου Χριστοῦ



τοῦ Θεοῦ ἡμῶν ἀναστάσεως». Ἀρχ. «Τί τοῦτο, πατέρες φιλέορτοι», φ. 141 [Migne τ. 99, σ. 709]. — Φύλ. 142β Ἰωάννου τοῦ Χρυσοστόμου λόγος κατηχητικός, οὗ ἡ ἀρχή· «Εἴ τις εὐσεβὴς καὶ φιλόθεος»· ὑπὸ δὲ τὸ πέρας τούτου τοῦ λόγου ἔγραψεν ὁ καλλιγράφος τὸ σημείωμα τοῦτο, ἵνα τὸ αὐτοῦ ὄνομα δῆλον γένηται· «Χριστοῦ τὸ δώρων, καὶ πόνος, Κ̄

ρ̊′ λ ἱ

ρ μ ν


ȣ

ὅπερ ἐγὼ οὕτως ἀναγινώσκω· «Χριστοῦ τὸ δῶρον καὶ πόνος Κ(υ)ρ(ί)λ(λ)ου ἱ(ε)ρ(ο)μ(ο)ν(άχ)ου».

2. «Μηνὶ μάρτιος [sic] εἰς θ′ τῶν ἁγίων Τεσσαράκοντα Μαρτύρων· τοῦ αὐτοῦ (= Θεοδώρου τοῦ Στουδίτου) περὶ τοῦ μιμεῖσθαι ἡμῶν τὰ τοῦ Κυρίου παθήματα». Ἀρχ. «Ἀδελφοὶ καὶ πατέρες, ὡς καλὸν ἡμῖν ἐγένετο» κτλ., φ. 144β [Mai, Novae Patrum bibl. tomus IX editus a Joepho Cozza-Luzzi. Romae 1888. σ. 147]. — «Μηνὶ μαρτ. κε′ περὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ὅτι δεῖ πνευματικῶς ἑορτάζειν· (ὁμιλία) ῥηθεῖσα ἐν τῇ ἡμέρᾳ τοῦ Εὐαγγελισμοῦ». Ἀρχ. Ἀδελφοὶ καὶ πατέρες, ὁ Εὐαγγελισμὸς πάρεστι», φ. 146β [Mai σ. 152].— «Εἰς τὸ ἔαρ, ὅτι δεῖ ἡμᾶς ἀεὶ ἀνακαινίζεσθαι ἐπὶ τὰ πρόσωπα δι' ὑπομονῆς τῶν προσπιπτόντων ἡμῖν ὁρωμένων τε καὶ ἀοράτων πειρασμῶν». Ἀρχ. «Ἀδελφοὶ καὶ πατέρες, ὅτι ὁ χειμὼν παρῆλθεν καὶ τὸ ἔαρ εἰσῆλθεν», φ. 149. Mai σ. 160.

3. «Θεοδώρου, ἡγουμένου μονῆς τῶν Στουδίων, κατήχησις ἱστορικὴ περὶ τῶν ἀναιρεθέντων ἐν Βουλγαρίᾳ χριστιανῶν ἐν τῇ ἁγίᾳ Τεσσαρακοστῇ, ἕνεκα τῆς κρεοφαγίας». Ἀρχ. «Ἀδελφοὶ καὶ πατέρες, ἐν τῇ παρούσῃ κατηχήσει βούλομαι» κτλ., φ. 152. Mai σ. 149.

93. Τεῦχος μεμβράνινον τῆς ιγ′ ἑκατ., συνιστάμενον ἐκ τετραδίων κη′ σχήματος 8-ου, ἅτιν' ἀριθμεῖ φύλλα 222· τούτων δὲ ἄγραφα τάδε: 164β, 209-212 καὶ 222. Ἔν τινι φύλλῳ εὑρίσκεται σημείωμα τῆς ιδ′ ἑκατ., ἔχον ὧδε· «✝ Ἐτοῦτος ὁ Κλίμαξ ἔνε τῆς λαύρας τοῦ



οσίου πατρὸς ἡμῶν Γερασίμου τοῦ ἐν τῷ Ἰορδάνῃ· ὁποίος βουληθῇ ἆραι τῶ βιβλίον ἐτοῦτω ἐκ τῆς μονῆς ταύτης» κτλ. Ἐν δὲ τῇ ἀρχῇ τοῦ τεύχους ἐστὶ φύλλον ἐκ χάρτου λευκοῦ πρόσθετον, ἐμπεριέχον δήλωσιν περὶ τοῦ ὅτι «ἐλήφθη καὶ ὁ παρὼν μεμβράινος κῶδιξ ἐκ τῆς ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάββα βιβλιοθήκης, τῆς ἐν τῇ ἐκκλησίᾳ», τῇ 9-ῃ μηνὸς αὐγούστου ἔτους 1858-ου. Τὸ κείμενον αὐτοῦ μέχρι τοῦ 66-ου φύλλου μονόστηλον.

1. «Ἐπιστολὴ τοῦ ἀββᾶ Ἰωάννου, τοῦ ἡγουμένου τῆς Ῥαϊθοῦ, πρὸς Ἰωάννην ἀξιάγαστον, τὸν τοῦ Σινᾶ ὄρους ἡγούμενον». Ἀρχ. «Γινώσκοντες ἡμεῖς οἱ εὐτελεῖς», φ. 1.—«Κλίμαξ θείας ἀνόδου». Ἀρχ. «Τοῖς ἐν τῇ βίβλῳ τῆς ζωῆς», φ. 1^{β}. Πρόλογος καὶ τῆς κλίμακος εἰκών.—«Βίος ἐν ἐπιτομῇ τοῦ ἀββᾶ Ἰωάννου, ἡγουμένου τοῦ ἁγίου ὄρους Σινᾶ, τοῦ ἐπίκλην Σχολαστικοῦ, τοῦ ἐν ἁγίοις ἀληθῶς». Ἀρχ. «Τὸ μὲν τίς ἡ ἐνεγκαμένη», φ. 2^{β}.— «Δανιὴλ μοναχοῦ Ῥαϊθηνοῦ εἰς τὸν βίον τοῦ κυροῦ Ἰωάννου τοῦ ἐπίκλην Σχολαστικοῦ». Ἀρχ. «Πεπείραμαι κυροῦν ἐν βραχέσι πλεῖστα», φ. 6. — Ἐπίγραμμα καὶ μετὰ τοῦτο ἐπιστολή, ἧς ἡ ἀρχή· «Ἀπεδεξάμην ὡς πρέπουσαν» κτλ.

2. «Ὁ πρόλογος τοῦ λόγου, οὗ ἡ ἐπωνυμία Πλάκες Πνευματικαὶ καὶ τετέλεσται: — Τοῦ ἀββᾶ Ἰωάννου τοῦ ὄντως μεγάλου μοναχοῦ, τοῦ γενομένου ἡγουμένου ἐν τῷ ἁγίῳ ὄρει τοῦ Σινᾶ, τοῦ ἐπικληθέντος Σχολαστικοῦ, λόγοι ἀσκητικοὶ τριάκοντα, ὧν ἡ ἐπωνυμία Φωτισμὸς Ψυχῆς· οὓς καὶ ἀπέστειλε τῷ ἀββᾷ Ἰωάννῃ τῷ ἐν τῇ Ῥαϊθοῦ ἡγουμένῳ, προτραπεὶς παρ' αὐτοῦ συντάξαι ἐπὶ σωτηρίᾳ τῶν τὸν μονήρη βίον ἐπανῃρημένων». Ἀρχ. «Τοῦ ἀγαθοῦ καὶ ὑπεραγάθου» κτλ., φ. 7-163. Ἐν ταῖς ᾤαις πυκνὰ σχόλια, τὰ μὲν κιτρίνῃ βαφῇ γεγραμμένα, τὰ δὲ μελαίνῃ.

3. Γενναδίου μοναχοῦ «στιχερὸν εἰς τὸν ἅγιον Ἰωάννην τὸν τῆς Κλίμακος· ἦχος β'», φ. 163^{β}. Ἔχει δὲ τοῦτο ὧδε· «Ἀσματικῶς σήμερον τὸν ἰατῆρα τῶν παθῶν ἰσάγγελον Ἰωάννην ὑμνήσωμεν· | οὗτος γὰρ ἀρετῶν τὰ κάλλη βαθμῷ ἀνέθηκε | καὶ δόλους καὶ ἐνέδρας κακίας ἐδήλωσε | καὶ νόμος ἀσκήσεως καὶ τῶν μοναστῶν γέγονε κανὼν τῆς πραότητος | καὶ θεῖος διδάσκαλος· | ὃς καὶ

ἐκ τῆς ἀστάτου κινήσεως | τῶν ἐνύλων ἐν φωτὶ ἀύλῳ ἀναδραμὼν | ἐπέβη ψαλμικῶς ἐπὶ πτερύγων ἀνέμων, | ἀναπετάσας τὸν νοῦν διὰ πίστεως πρὸς Θεόν· | τὸν γὰρ σταυρὸν ἀναλαβὼν | ὡς κλῆμα ἔφερε τὰς ὑψώσεις αὐτοῦ, | πρακτικώτατα μελετῶν διὰ παντὸς ἐν τῷ λάρυγγι, | καὶ τῆς ἐκεῖθεν ἀναπηγαζούσης χάριτος κατηυγάσθη τὴν ψυχήν, | φῶς δεύτερον γεγονὼς κατὰ μέθεξιν | · ἀλλ' ὦ πατὴρ ἡμῶν ὅσιε, | συναγελάζων τοῖς ἀγγέλοις πρέσβευε | λυτρωθῆναι ἐκ πάσης περιστάσεως | καὶ κολάσεως αἰωνίου ῥυσθῆναι τοὺς δούλους σου».

4. «Ἐπίγραμμα», ἔχον ὧδε (φ. 164):

Σὺ δίστομός τις καὶ τομώτατος πτέρυξ,
τέμνων παθῶν ῥίζωμα καὶ πυρὶ φλέγων
τῷ τῶν ἐλέγχων, Ἰωάννη πάνσοφε·
τὸν σὸν βίον καθάρσιον ἐννοιῶν, πάτερ,
ψυχῆς ἁγνισμὸν καὶ παθῶν σαρκὸς λύτρον
εἰπών τις οὐκ ἂν τῆς ἀληθείας πέσοι·
τὸν σὸν λόγον μάχαιραν ἐκτεθηγμένην,
ἢ ἀξίνην ὀξεῖαν, ἢ ὀξὺ ξίφος
κόπτον πέτρας λέγοντες οὐ ψευσθήσομεν.
Ὁ μὲν παλαιὸς Ἰακὼβ ἁπλοῦς τρόπον,
ἄπλαστος, εὐθύς, χριστοειδὴς ἦθος ὤν,
ὃς Ἀβραὰμ μὲν ἔγγονος σαφῶς ἔφυ,
γόνος δὲ λαμπρὸς Ἰσαάκ, πατρὸς τέκνον·
οὗτος σοφισθεὶς μητρικαῖς συμβουλίαις
τὸν δεινὸν Ἡσαῦ, σύγγονον σαρκὸς μόνον,
ἐπτέρνισε δίς, πατρικὰς εὐκληρίας,
πρεσβυτικήν τε τὴν προτίμησιν φέρων,
οὕτως ἐχώρει μητρικὰς πρὸς ἑστίας·
ἐνύπνιον δὲ θεῖον ἱερὰ κλίμαξ
ἀρρήτως παρέστη γῇ μὲν ἐρριζωμένη,
κόλποις (δ') ἐπῆρτο μέχρι δι' ἀνθρώπων κύτους·
ἐφ' ἣν ἐπεστήρικτο Χριστὸς ὑψόθεν·
λαμπροὶ δ' ἐπ' αὐτὴν ἱερουργικοὶ νόες
ἀνῄεσάν τε καὶ κατῄεσαν φόβῳ.
Σὺ δ' αὖ, μοναστῶν ἱερῶν ἡ ἀκρότης,

8 κῶδ. ξόφος. 11 κῶδ. εὐθής. 16 κῶδ. ἐπτέρνοσε. 20 κῶδ. ἀρήτως - - ἐρριζομένη.




ἄλλος τις ἡμῖν Ἰσραὴλ ὤφθης νέος·
τοῦ Ἀβραὰμ δὲ πίστιν ἐξησκημένος,
τοῦ Ἰσαὰκ τε τὸν πανευαγῆ τρόπον,
ἀμφοῖν τέκνον τὸ πνεῦμα καὶ πρᾶξιν πέλεις.
Ἐντεῦθεν λαμπραῖς τῆς σοφῆς ἐκκλησίας
ὡς μητρὸς ὄντως ἐντολαῖς ἡγνισμένος
τὸν σάρκινον νοῦν καὶ λίχνον παθοτρόφον
ὡς ἄλλος Ἡσαῦ πτέρνισας ῥίψας κάτω,
αὐτὴν καταθρεῖς τὴν πανύμνητον θέαν,
τὴν μυστικὴν ἄγνωστον ἔνθεον τρίβον,
δι' ἧς ἄνεισι πρὸς Θεὸν Θεοῦ τέκνα.
Αὕτη κλίμαξ πέφυκεν οὐρανοδρόμος,
κλίμαξ ἐφ' ἣν χωροῦσιν οἱ θεῖοι νόες,
ἣν ὡς λίθοι ἤγειραν ἐν στερροῖς λόγοις.

5. Τεμάχη καὶ σχόλια πρὸς ἑρμηνείαν τῶν λόγων Ἰωάννου τοῦ Σχολαστικοῦ, φύλ. 165-208 (Βασιλείου, Θαλασσίου, Ἀντωνίου, Μαξίμου, Γρηγορίου Νύσσης, Ἰσαάκ, Εὐαγρίου, ἀββᾶ Ἡσαΐου, Μάρκου μοναχοῦ, Ἰωάννου Χρυσοστόμου, Διαδόχου, Δωροθέου, Σολομῶντος, Σειράχ, Ἰσιδώρου, Ἐφραίμ, Θεοδώρου Ἐδέσσης, Συγκλητικῆς, Νείλου, Ἰωάννου Καρπαθίου, Συμεὼν τοῦ νέου Θεολόγου, Βαρσανουφίου, Μακαρίου καὶ Φωτίου πατριάρχου· τὰ δὲ τοῦ Φωτίου σχόλια ὅρα τετυπωμένα ἐν τῷ βιβλίῳ μου τῷ ἐπιγεγραμμένῳ: «Φωτίου τοῦ ἁγιωτάτου ἀρχιεπ. Κωνσταντινουπόλεως τὸ περὶ τοῦ τάφου τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὑπομνημάτιον καὶ ἄλλα τινὰ πονημάτια τοῦ αὐτοῦ ἑλληνιστί τε καὶ ἀρμενιστὶ γεγραμμένα». Ἐν Πετρουπόλει 1892, σελ. 21-25.

6. «Τοῦ μακαρίου Μάρκου περὶ μετανοίας τῆς πᾶσι πάντοτε προσηκούσης, ἧς τὴν δύναμιν οἱ πιστοὶ καὶ πρὸ τῆς ἐργασίας διὰ τοῦ βαπτίσματος ἔλαβον. Λόγος πρῶτος», οὗ ἡ ἀρχή· «Ἐπειδὴ πολλάκις ἐβουλήθητε γνῶναι» κτλ., φ. 213. Migne τ. 65, σ. 965.

94. Τεῦχος μεμβράνινον, γραφὲν μεταξὺ τῆς ιγ' καὶ τῆς ιδ' ἑκατ., ὅπερ ἦν πρότερον ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα· ἀριθμεῖ δὲ φύλλα 3 + 250 μήκους 0,20, πλάτους 0,16. Ἡ μεμβράνα λεπτή. Κοσμήματά τινα ἀκαλλῆ. Κείμενον μονόστηλον ἐκ γραμ-



μῶν 31 ἢ 32 (0,16×0,112). Τὰ τρία πρώτιστα φύλλα πρόσθετα, ὧν τὸ πρῶτον ἐμπεριέχει συναξαρίου τῶν Εὐαγγελίων τεμάχιον, τὰ δὲ λοιπὰ δύο πίνακα πασχαλίων ἀπὸ τοῦ ,ςωλ' μέχρι τοῦ ,ςωξη' ἔτους (=1322-1360). Ἀπὸ τοῦ 173-ου φύλλου μέχρι τέλους τοῦ κώδικος διακρίνονται τρία ἢ τέσσαρα γραφίματος ὕφη. Σημειωτέον καὶ τοῦτο, ὅτι δύο φύλλων ἀριθμοὶ (172 καὶ 176) δὶς ἐγράφησαν.

1. Εὐαγγέλιον κατὰ Ματθαῖον, φ. 1.—Κατὰ Μᾶρκον, φ. 38.—Κατὰ Λουκᾶν, φ. 59.—Κατὰ Ἰωάννην, φ. 39.

2. Πράξεις τῶν Ἀποστόλων, φ. 115.

3. Ἐπιστολαὶ καθολικαὶ τῶν Ἀποστόλων καὶ κατόπιν αἱ τοῦ Παύλου, ὧν τελευταία ἡ πρὸς Φιλήμονα· τὴν δὲ πρὸς Ἑβραίους οὐχ εὗρον ἐν τούτῳ τῷ κώδικι· πάσης δ' ἐπιστολῆς ἡ συνήθης ὑπόθεσις Εὐθαλίου προτέτακται.

4. Ἀποκάλυψις ἀκέφαλος Ἰωάννου τοῦ Θεολόγου ἀπὸ τῶν λέξεων τούτων· « - - - διάβολος ἐξ ὑμῶν εἰς φυλακήν, ἵνα πειρασθῆτε» κτλ., φ. 236. Μετὰ δὲ τὸ πέρας αὐτῆς σημείωμα τοιόνδε· «Ἀποκάλυψις τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου: τέλ(ος): τέλος εἰληφὼς πανσόφω ῥήτωρ γλώττη». Τὸ τελευταῖον φύλλον ἄγραφον.

95. Τεῦχος μεμβράνινον, γραφὲν περὶ τὸ τέλος τῆς ιβ' ἢ περὶ τὴν ἀρχὴν τῆς ιγ' ἑκατ., ὅπερ ἦν πρότερον ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα· ἀριθμεῖ δὲ φύλλα 252+2 μήκους 0,182, πλ. 0,136, ὧν τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ γραμμῶν 28 (0,135×0,085). Φύλλων τινῶν οἱ ἀριθμοὶ δὶς ἐγράφησαν (56, 140 καὶ 200)· ἀριθμὸς δὲ 235-ος οὐ σεσημείωται.

1. Φύλλον ἄγραφον ἐξ ἀρχῆς, ὅπερ ὕστερον ἐμπεριέλαβέ τινα σημειώματα, οἷον· «† Ἔτους ,ςωϟα (1383)· νομικο πασχα, απριλ. α. επαρελαβα: ετοῦτο ις 'τ'' Καφα:απε το χηρι Θεοδωρο τ(ου) Κυνουπι(να) ιμιρα Σαβάτ̃ δια εθιμισι Μανου(η)λ ο Κυνιγος:—† Ετος ,ςωϟζ' (1388) μινι οκτοβριου κ̅ς̅ του αγιου Στεφανου: εγενιθι ονομα . . . Θεοδορο υ Κυνοπινα» κτλ.




2. «Συναξάριον - - - τῶν Εὐαγγελίων, ἀρχόμενον ἀπὸ τὸ ἅγιον Πάσχα», φ. 2.

3. «Ἀρχὴ σὺν Θεῷ τοῦ μηνολογίου», φ. 7β.

4. «Εὐαγγέλια ἀναγινωσκόμενα εἰς διαφόρους ἁγίους καὶ εἰς προφήτας καὶ εἰς λιτὰς καὶ παννυχίδας καὶ λειτουργίας», φ. 1.

5. Τὰ τέσσαρα εὐαγγέλια (Ματθαῖος, Μᾶρκος, Λουκᾶς, Ἰωάννης) μετὰ τῶν ὑποθέσεων καὶ πινάκων τῶν κεφαλαίων αὐτῶν· ἕκαστον δὲ τῶν εὐαγγελίων ἐπὶ κεφαλῆς ἔχει κόσμημα ταινιοειδὲς ἐκ κιτρίνου καὶ κοκκίνου χρώματος· ἐν δὲ ταῖς ᾤαις τοῦ κειμένου κόκκινά ἐστι σημειώματα, δηλοῦντα τάς τε ἐπιγραφὰς καὶ τοὺς ἀριθμοὺς τῶν κεφαλαίων καὶ τὰς ἀναγνωστέας περικοπὰς ἐν ταῖς ἱεραῖς λειτουργίαις.

96. Ψαλτήριον τῆς ἐνάτης ἑκατονταετηρίδος ἀκέφαλόν τε καὶ σφόδρα κεκολοβωμένον, συνιστάμενον ἐκ φύλλων μεμβρανίνων 182 μήκους 0,18, πλάτους 0,142· γέγραπται δὲ διὰ κεφαλαιωδῶν ὀγκίνων γραμμάτων· τὸ κείμενον διῃρημένον εἰς καθίσματα μονόστηλόν ἐστιν ἐκ γραμμῶν 21 (0,13×0,095). Τὸ πρώτιστον ἑκάστου ψαλμοῦ γράμμα μέγα· καὶ τῶν στίχων τὰ πρώτιστα γράμματα κεχρωματισμένα διὰ κιτρίνου ἢ διὰ πορφυροῦ χρώματος. Ἐν δὲ ταῖς ᾤαις ὁ καλλιγράφος διὰ γραμμάτων ὡσαύτως κεφαλαιωδῶν ἔγραψέ τινα σχόλια, ἤτοι ἑρμηνευτικά, ἢ κριτικά, ἢ γραμματικά, καί τινα ἀναγνώσματα διαφόρων ἑρμηνευτῶν, οἷον Θεοδοτίωνος, Συμμάχου καὶ ἀνωνύμου τινός. Τῶν ψαλμῶν αἱ ἐπιγραφαὶ πορφυραῖ. Ἄρχεται δὲ τὸ Ψαλτήριον ἀπὸ τῶν λέξεων τούτων· «Ὅτι θήσεις αὐτοὺς εἰς κλίβανον πυρὸς» (κ', 10). Τέλος· «Πρόσταγμα ἔθετο καὶ οὐ παρελεύσεται» (ρμη', 6). Αἱ ἄνω γωνίαι τῶν πρώτων 16 φύλλων ἐβλάβησαν ὑπὸ σήψεως· μετὰ δὲ τὸ 72-ον φύλλον ὑπάρχει χάσμα φύλλων ἕξ, ἅπερ ὁ Πορφύριος Οὐσπένσκης ἀπέκοψε, δοὺς ὕστερον αὐτὰ τῇ Πετρουπόλεως αὐτοκρατορικῇ δημοσίᾳ βιβλιοθήκῃ (ἀριθ. 263. **Отчетъ Импер. Публ. Библ. за 1883 г.**, σ. 120). Ἔνδον τῆς πρώτης πινακίδος ἐστὶ φύλλον ἐκ χάρτου πρόσθετον, ἐμπεριέχον σημείωμα περὶ τοῦ ὅτι «ἐλήφθη καὶ τὸ παρὸν ἀρχαιότατον μεμβράινον Ψαλτήριον μετὰ σχολίων εἰς τὰ περιθώρια ἐκ τῆς ἐν τῇ



Σελ. 156.
Κωδ. τῆς θ' ἑκατ. ἐν τῇ συλλογῇ τοῦ Σταυροῦ, ἀριθ. 96, φ. 88β–89α.




λαύρα τοῦ ἁγίου Σάββα βιβλιοθήκης, τῆς ἐν τῷ Πύργῳ», τῇ 9-η μηνὸς αὐγούστου ἔτους 1858-ου. Ἐν ἑτέρῳ δὲ τόπῳ τοῦ κώδικος (φ. 82β) ὑπάρχει σημείωμα κρυπτογραφικὸν σφόδρα νέον. Περὶ τοῦ πολυτίμου τούτου κώδικος ὅρα Tischendorf, Anecdota sacra. Lipsiae 1861, σ. 224, Vetus Testamentum secundum LXX. Lipsiae 1887, ἐκδ. 7-ης σ. 45. J. Rendel-Harris, The Library of the Convent of the Holy Sepulchre (Studies published by the Faculty of Haverford College, № I), σ. 12.

97. Ἀντίγραφον ἐντύπου βιβλίου, οὗ ἡ ἐπιγραφή· «Ἀπόκρισις ὀρθοδόξου τινὸς πρός τινα ἀδελφὸν ἐρωτήσαντα περὶ τῆς τῶν Κατολίκων δυναστείας καὶ περὶ τοῦ τίνες οἱ σχίσται καὶ οἱ σχισματικοὶ καὶ οἱ ἐσχισμένοι, καὶ περὶ τῆς βαρβαρικῶς λεγομένης Οὐνίας καὶ τῶν Οὐνιτῶν, καὶ περὶ τοῦ πῶς δεῖ τοὺς ὀρθοδόξους ἀπαντᾶν τῇ τῶν Κατολίκων τυραννίᾳ. Ἐν Χάλλῃ 1775». Φύλλα χάρτου 77, μήκους 0,188, πλ. 0,12. Πρὸς τῷ τέλει· «Ἐκ τῶν τοῦ Ἰωὴλ ἀρχιμανδρίτου Πελοποννησίου». Συγγραφεὺς τοῦ βιβλίου Νικηφόρος ὁ Θεοτόκης· ὅρα Βρετοῦ, Νεοελλην. φιλολογ. I, σ. 95.

98. Ἀντίγραφον ἐντύπου βιβλίου, οὗ ἡ ἐπιγραφή· «Ἱστορία συνοπτικὴ τῆς Ἑλλάδος, διῃρημένη εἰς τέσσαρα μέρη - - -, συντεθεῖσα μὲν ἀγγλιστί, μεταφρασθεῖσα δὲ εἰς χρῆσιν τῶν σχολείων εἰς τὴν γερμανικήν, καὶ ἐξ αὐτῆς μετενεχθεῖσα εἰς τὴν ἁπλοελληνικὴν ἡμῶν διάλεκτον παρὰ Βασιλείου π. π. Εὐθυμίου, τοῦ ἐκ Κωνστάντζικου τῆς Μακεδονίας». Τεῦχος ἐκ χάρτου σελίδας ἀριθμοῦν 421. ἔστι δὲ μήκους 0,168, πλ. 0,118. Πλήρη τὴν ἐπιγραφὴν ὅρα παρὰ τῷ Βρετῷ, Νεοελλ. φιλολογ. II, σ. 146.

99. Τεῦχος ἐκ χάρτου στιλπνοῦ, γραφὲν περὶ τὸ μέσον τῆς ις' ἑκατ. καὶ συνιστάμενον ἐκ φύλλων 194 μήκους 0,165, πλ. 0,115. Τὸ κείμενον κατὰ μίαν ἑκάστην τῶν σελίδων μονόστηλον ἐκ γραμμῶν 22 (0,135 × 0,085). Τὸ γράψιμον ἐπιμεμελημένον. Κεφαλαιώδη τινὰ στοιχεῖα μεγάλα καὶ περικεκοσμημένα. Ἔνδον τῆς πρώτης πινακίδος ἐπὶ φύλλου προσθέτου· «Τῇ βιβλιοθήκῃ τῆς ἐν Ἱεροσολύμοις θεολογικῆς σχολῆς. † Ὁ πρώην Βη-



ρυτοῦ Κύριλλος. 1870 ἰουνίου 18». Ἐν δὲ τῷ τελευταίῳ φύλλῳ τοῦ κώδικος ἕτερα σημειώματα· «† Τὸ παρὸν Ψαλτήριον ὑπάρχει κἀμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἐλαχίστου Γρηγορίου ἱερομονάχου τοῦ ἐκ Σαντορήνης τῆς νήσου· μηδεὶς δὲ τολμήσει κτλ. ͵αχλ' [1630]. — † Ἐδόθη μοι τὸ παρὸν Ψαλτήριον παρὰ Γρηγορίου ἱερομονάχου ἐμοῦ Παρθενίου ἱερομονάχου ἐκ νήσου Σαντορήνης κτλ. — † Ἐδόθη μοι - - - παρὰ Παρθενίου ἐμοῦ Ἀκακίου κτλ. — † Ὁ προηγούμενος Ἀκάκιος ͵αχοβ' [1672]. — † Νῦν δὲ Ἰωακεὶμ προηγουμένου καὶ σκευοφύλακος τῆς αὐτῆς μονῆς ͵αψκα' [1721] ἐκ νήσου Σαντορήνης».

1. «Διατύπωσις πῶς δεῖ λέγειν τὸ Ψαλτήριον κατὰ μόνας». Ἀρχ. «Ἀρξάμενος λέγειν τὸ Ψαλτήριον εἰπὲ τὸν στίχον, εἶτα τὸ Βασιλεῦ οὐράνιε» κτλ., φ. 1.

2. Ψαλτήριον μετὰ τῶν ᾠδῶν, φ. 3 - 126.

3. «Ὕμνος τριαδικὸς σὺν εὐχῇ εἰς τὸ μεσονυκτικόν· ἐκλογὴ καὶ σύνταξις Θηκαρᾶ μοναχοῦ». Ἀρχ. «Δόξα τῇ ἀπειροτάτῃ» κτλ., φ. 127.

4. «Εἰς τὴν ἀρχὴν τοῦ ὄρθρου ὕμνος τοῦ σοφωτάτου κῦρ Νικηφόρου τοῦ Βλεμμύδους». Ἀρχ. «Σὺ Κύριε ὁ μόνος ἀγαθός», φ. 128β.

5. «Ἀκολουθία τῆς ἁγίας μεταλήψεως», φ. 143.

6. «Εὐχὴ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἐφραὶμ εἰς ἐξομολόγησιν». Ἀρχ. «Ἐξομολογοῦμαί σοι πάτερ», φ. 158.

7. «Κανὼν κατανυκτικὸς εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν», οὗ ἡ ἀρχή· «Ἰησοῦ γλυκύτατε», φ. 160. Ἦχος δεύτερος.

8. «Ἕτερος κανὼν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν», οὗ ἡ ἀρχή· «Οἴμοι! τί κλαύσω» κτλ., φ. 163. Ἦχος πλάγιος δ'.

9. «Ἀκολουθία τῆς Ἀκαθίστου, ἤτοι τοῦ εὐαγγελισμοῦ τῆς Θεοτόκου», φ. 166.

10. «Κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον· ποίημα Θεοστηρίκτου μοναχοῦ». Ἀρχ. «Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν», φ. 178β.



11. «Κανὼν εἰς τὴν ὑπεραγίαν Θεοτόκον· χαιρετισμός». Ἀρχ. «Χαῖρε ἱλαστήριον ψυχῶν», φ. $182^β$.

12. «Κανὼν παρακλητικὸς εἰς τὸν φύλακα τῆς τοῦ ἀνθρώπου ζωῆς Ἄγγελον». Ἀρχ. «Τὸν ἄγρυπνον φύλακα», φ. 186.

13. «Εὐχὴ εἰς τὸν αὐτὸν φύλακα», ἧς ἡ ἀρχή· «Ἅγιε ἄγγελε, ὁ ἐφεστὼς τῆς ἀθλίας μου ψυχῆς», φ. $190^β$.

14. «Κανὼν ψαλλόμενος εἰς τὰς ἐπουρανίους δυνάμεις καὶ εἰς πάντας τοὺς ἁγίους ἱκετήριος», κατ' ἀλφάβητον. Ἀρχ. «Ἄναρχε Λόγε, ἱεραῖς δεήσεσι», φ. 191.

100. Τεῦχος μεμβράνινον, γραφὲν ἢ περὶ τὸ τέλος τῆς ιβ' ἢ περὶ τὴν ἀρχὴν τῆς ιγ' ἑκατ., καὶ συνιστάμενον ἐκ φύλλων 121+2, μήκους 0,165, πλ. 0,108, ὧν τὸ κείμενον κατὰ μίαν ἑκάστην τῶν σελίδων μονόστηλον (0,12 × 0,07). Ἅπαντα τὰ φύλλα παλίμψηστα· ἦν δὲ ἡ προτέρα γραφὴ ἔν τισι μὲν φύλλοις μικρά, ἐν δὲ τοῖς λοιποῖς κεφαλαιώδης· ἀλλ' οὕτως ὀξέως ἐστὶν ἀπεξεσμένη, ὥστε μόλις ἀναγινώσκει τις ἤδη λέξεις τινὰς ἐσπαρμένας. Ἔνδον τῆς πρώτης πινακίδος ἐπὶ φύλλου χάρτου προσθέτου σημείωμα περὶ τοῦ ὅτι καὶ τοῦτο τὸ τεῦχος «ἐλήφθη ἐκ τῆς ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάββα βιβλιοθήκης, τῆς ἐν τῷ Πύργῳ», τῇ 9-η μηνὸς αὐγούστου ἔτους 1858-ου. Ἐν τῇ ᾤᾳ τοῦ 1-ου φύλλου διὰ τῆς χειρὸς τοῦ καλλιγράφου· «ΔΡ βϊβλίον του αγ(ίου) Παύλου» τοῦ ἐν τῷ Λάτρῳ.

1. Ὑπὸ κόσμημα ταινιοειδὲς ἐρυθροῦ χρώματος ἐπιγραφὴ καθολικὴ τοῦ κώδικος· «Βίβλος μοναχικοῦ σχήματος πρὸς δοκιμὴν τῶν ἀπερχομένων κοσμικῶν ἐν μοναστηρίοις». Εἶτα· «Κατήχησις τοῦ ἐρχομένου λαϊκοῦ ἐν μοναστηρίῳ:—Χρὴ γινώσκειν, ὅτι τὸν ἐρχόμενον ἀπὸ κόσμου πρῶτον ἐπὶ χρόνον τινὰ μετὰ ἀκριβείας πολλῆς δοκιμάσαι, ἐπιτάσσοντες αὐτῷ πυκνῶς καὶ αὐστηρῶς εἰς πᾶσαν διακονίαν» κτλ., φ. 1.

2. «Τάξις ἀρχαρίου ἐρχομένου ἀπὸ κόσμου εἰς τ" μοναχόν». Ἀρχ. «Δεῖ δὲ εἰδέναι, ὅτι τὸν ἐρχόμενον ἀπὸ κόσμου εἰς τὸν μοναχὸν δοκιμάζειν τριετίαν χρόνον», φ. 8.

3. «Ἀκολουθία σὺν Θεῷ τοῦ πρώτου σχήματος». Ἀρχ.




«Μετὰ τὴν εἴσοδον ποιεῖ μετάνοιαν τῷ καθηγουμένῳ ὁ τὸ σχῆμα μέλλων λαβεῖν», φ. 9β.

4. «Τάξις καὶ ἀκολουθία τῆς τῶν ματαίων ἀποταγῆς τῶν μοναζόντων (διὰ τοῦ) ἁγιωτάτου καὶ τελείου μεγάλου σχήματος καὶ ὑψηλοῦ». Ἀρχ. «Ἀπὸ ἑσπέρας εἰσφέρονται τὰ ἱμάτια τοῦ μέλλοντος κουρεύεσθαι εἰς τὸ θυσιαστήριον», φ. 17. Μετὰ τὸ πέρας διὰ τῆς χειρὸς τοῦ καλλιγράφου σημείωμα (φ. 56β)· «Ἡ τῆδε βίβλος Ἰωσὴφ | μονοτρόπου: — | τοῦ ἐκ τῶν Λάτρων | τῆς μονῆς τῆς τοῦ Παύλου .·. | ἱεραρχοῦντος Χερσῶνος Ζαχαρίας».

5. Σημείωμα τῆς ιδ' ἑκατ., ἔχον ὧδε· «Ευρισκονται με(σα) εις την εκκλησίαν μου βϊβλήα οσα θελω γράψην· εὐαγγέλια β', Ἀπόστολοι β', Προφητίες β', Εὐχολόγια β', Εἱρμολόγια β'· το ἐν τονισμένον· καὶ το ἄλλον ἀτόνιστον με τριαδικοὺς κανόνας. Κατηχ(ησις) μὲ Ξοδιαστηκὸν καὶ Πασχάλ(ιον). Ψαλτήρια β', Ἐξαῦμερον δεύτερον, Μεταφραστῆς, Πανηγυρικόν, ἕτερον Ἀναγνωστικόν· κάμνει ἀπὸ τοῦ τελωνου καὶ του φαρισαίου μέχρι τῶν αγίων πάντων. Παλαι[όν] Συνοπτικών, Μιναία γ'· τοεν τριμύναιον· καὶ τὸ ἕτερον δϊμύναιον· καὶ τὸ ἕτερον παλαιὸν μὲ κανόνας καὶ Ἐκλογάδη. Τριόδια β' καὶ ἕναι τοέναν του μοναστυρίου. Τϊπυκὸν καλὸν βεβράηνον. Παπα[δι]κῆ με σανηδόπουλα. Συναξάρι ἐξαμυναί[ου] καὶ ἑτερον Ξαθόπουλος. Σχηματολόγην. Στηχ[ηράριν] βεβράηνον με βαρζερὸν ἐντιμένον». Φύλλα ἄγραφα: 57β—58β.

6. «Ἀρχὴν καλὴν δίδου μοι καὶ τέλος, Λόγε: — Ἀκολουθία εἰς τὸ ἐνταφιάσαι μοναχόν, τάξιν ἔχουσα τοιαύτην». Ἀρχ. «Μετὰ τὸ τελειωθῆναι τὸν ἀδελφὸν ὁ μέλλων ἀποσφουγκίσαι (κῶδ. ἀποσφουγγήσαι) αὐτὸν ποιεῖ σταυροὺς γ' εἰς τὸ πρόσωπον αὐτοῦ μετὰ τοῦ σπόγγου καὶ εἰς τὸ στῆθος γ'» κτλ. Τέλος· «ἐκεῖ ὅπου ὁ μισθὸς τῶν ἔργων ὑπάρχει, ἐκεῖ ὅπου ἡ - - - ».

101. Τεῦχος μεμβράνινον τῆς ιδ' ἑκατ., συνιστάμενον ἐκ φύλλων 237, ὧν τὸ 123-ον ἐκ χάρτου· ἔστι δὲ μήκους 0,15, πλ. 0,115, τὸ δὲ κείμενον αὐτοῦ μονόστηλον ὃν ἀριθμεῖ γραμμὰς 31 - 34 (0,12 × 0,075)· περιέχει δὲ καί τινα κόκκινα κοσμήματα (φ. 8α, 37α, 89α, 124α). Καὶ τοῦτο τὸ τεῦχος «ἐλή-



φθη ἐκ τῆς ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάββα βιβλιοθήκης, τῆς ἐν τῇ ἐκκλησίᾳ». Σημειωτέον ἔτι, ὅτι μετὰ τὸ 224-ον φύλλον προσέθηκεν ἕτερος ἕτερα κείμενα.

1. Συναξάριον τῶν Εὐαγγελίων, φ. 1.

2. Κεφάλαια τοῦ κατὰ Ματθαῖον εὐαγγελίου, φ. 6.

3. Τετράστιχον ἰαμβικὸν ἐπίγραμμα, οὗ ἡ ἀρχή· «Ἀνθρωπικὸν πρόσωπον ματαίως φέρει», φ. 7β. Αὐτόθι «στίχοι πολιτικοί», ὧν ἡ ἀρχή· «Εἰ θέλεις, ἄνθρωπε, τυχεῖν ζωῆς ἀκηράτου καὶ μοίρας τῆς ἐκ δεξιῶν» κτλ.

4. Τὸ κατὰ Ματθαῖον εὐαγγέλιον, φ. 8-35.

5. Κεφάλαια τοῦ κατὰ Μᾶρκον εὐαγγελίου, φ. 36β.

6. Τὸ κατὰ Μᾶρκον εὐαγγέλιον, φ. 37-55α.

7. Κεφάλαια τοῦ κατὰ Λουκᾶν εὐαγγελίου, φ. 56.

8. Τὸ κατὰ Λουκᾶν εὐαγγέλιον, φ. 57.

9. Κεφάλαια τοῦ κατὰ Ἰωάννην εὐαγγελίου, φ. 88β.

10. Τὸ κατὰ Ἰωάννην εὐαγγέλιον, φ. 89-114α.

11. Συναξάριον τοῦ Πραξαποστόλου, φ. 115-120β.

12. «Δήλωσις διαλαμβάνουσα τὴν τοῦ χρόνου τῶν εὐαγγελίων ἀνάγνωσιν καὶ τὴν τῶν εὐαγγελιστῶν διαδοχήν, πότε ἄρχονται καὶ ποῦ καταλήγουσιν». Ἀρχ. «Ἰστέον ὅτι ἀναγινώσκεται τὸ ὕφος» κτλ., φ. 120β.

13. «Δήλωσις ὅπως δεῖ εὑρίσκειν τὰ ζητούμενα ἀποστολοευαγγέλια». Ἀρχ. «Ἐπειδή σοι διῄρηται εἷς ἕκαστος» κτλ., φ. 123β.

14. «Ἐπιδιόρθωσις τῆς ἑρμηνείας τῆς χρονικῆς ἀναγνώσεως τῶν ἀποστολοευαγγελίων». Ἀρχ. «Ἰστέον ὅτι τὸ συναξάριον τῆς τοῦ ἀποστόλου» κτλ., φ. 123β. Τὸ τέλος ἐλλείπει.

15. Πράξεις τῶν Ἀποστόλων, φ. 124.

16. Ἐπιστολαὶ Παύλου μετὰ τῶν ὑποθέσεων, φ. 152.

17. Ἐπιστολαὶ καθολικαί, φ. 214.

18. «Κανὼν εὐχαριστήριος εἰς τὴν ὑπεραγίαν Θεοτόκον, οὗ ἡ ἀκροστιχίς: Χαρᾶς δοχεῖον, σοὶ πρέπει χαίρειν μόνῃ. Ἰωσήφ». Ἦχος δ'. Ἀρχ. «Χριστοῦ βιβλίον ἔμψυχον», φ. 225β.

19. «Ἀκολουθία τῆς Ἀκαθίστου», φ. 230.



20. «Ἕτερος κανὼν παρακλητικὸς εἰς τὴν πανάχραντον Θεοτόκον». Ἦχος πλάγιος δ'. Ἀρχ. «Πολλοῖς συνεχόμενος πειρασμοῖς», φ. 232β.

21. «Κανὼν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν βασιλέα· ποίημα τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Φιλοθέου, οὗ ἡ ἀκροστιχίς: Τὸν βασιλέα καὶ ἱερέα σὲ μόνον σέβω: ἐν δὲ τοῖς θεοτοκίοις: Φιλόθεος. Λέγομεν δὲ πρῶτον τὰ παρόντα δύο ἰδιόμελα πρὸς μίαν. Ἦχος πλ. δ'. Συγκαταβαίνων βασιλεῦ» κτλ., φ. 234.—Τοῦ κανόνος ἡ ἀρχή· «Ἰησοῦ γλυκύτατε Χριστέ», φ. 236.

22. Συνταγὴ πρὸς κατασκευὴν γραφικοῦ μέλανος διά τε μεμβράνας καὶ χάρτας, φ. 237β.

102. Τεῦχος ἐκ φύλλων χάρτου 294, γραφὲν μέσον τοῦ 1574-ου καὶ τοῦ 1575-ου ἔτους, μήκους 0,154, πλ. 0,103· οὗ τὸ κείμενον κατὰ μίαν ἑκάστην τῶν σελίδων μονόστηλον ἐκ γραμμῶν 20 (0,103 × 0,062), κεκοσμημένον δ' ἐνιαχοῦ μεγάλοις τισὶ κεφαλαιώδεσι γράμμασι περικεκοσμημένοις. Ἐν τῇ ἀρχῇ τοῦ τεύχους φύλλα τρία παντάπασιν ἄγραφα, περιέχοντα μόνον σημειώματα δύο, τὸ μὲν ὅτι «τὸ παρὸν βιβλίον ὑπάρχει Γρηγορίου ἱερομονάχου», τὸ δὲ ὅτι κατόπιν ἐλήφθη ἐκ τῆς ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάβα βιβλιοθήκης, «τῆς ἐν τῇ ἐκκλησίᾳ», τῇ 9-ῃ μηνὸς αὐγούστου, ἔτους 1858-ου.

1. «Βιβλεῖον [sic] χρονογραφικὸν ἀρχόμενον ἀπὸ κτίσεως κόσμου καὶ ἀπὸ τῆς βασιλείας κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ, καὶ καταλῆγον ἕως τῆς βασιλείας κυροῦ Νικηφόρου τοῦ Βοτανειάτου». Ἀρχ. «Ἀπ' ἀρχῆς ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν» κτλ., φ. 1—269β, ἔνθα τὸ «† Οἱ ἀναγινόνσκοντες, εὔχεσθαι καὶ ὑπὲρ αὐτῶν, τοῦ ταῦτα συγράψαντος. ὅτ ἅμηρος ἡμὶ τῆς θείας γραφῆς: — ἔτους ,ζπγῳ» [1574 - 1575].—Φύλλ. 270 «Οἱ βασιλεύσαντες ἐν Κωνσταντινουπόλει χριστιανοὶ καὶ αἱρετικοί». — Φ. 272 «Περὶ τῶν Τουρκῶν τῶν βασιλέων ἐν ποίῳ χρόνῳ ἔλαβαν τὰ κάτωθεν κάστρη». Ἀρχ. «Ἔτους ἀπὸ Ἀδὰμ 6854 ἐπέρασαν οἱ Τοῦρκοι εἰς τὴν Δύσιν» κτλ. — Φ. 273 «Ἑτέραν διήγησιν». Ἀρχ. «Ἔτους ,ςωι' ἐπεράσαν οἱ Ἀγαρηνοὶ εἰς τὴν Δύσιν· πρῶτος



αὐθέντης ὁποῦ ἐπέρασεν ἦτον ὁ Ἀτουμάνης» κτλ. Ἡ διήγησις λήγει εἰς τὸ ͵ζογ' ἔτος. — Φ. 275 «Ὅτι ἑπτὰ ἡλικίας ἔχει ὁ ἄνθρωπος καὶ πῶς καλοῦνται».

2. «Λέοντος τοῦ σοφωτάτου» χρησμός, οὗ ἡ ἀρχή· «Ἐν τῇ πρώτῃ τῆς ἰνδίκτου», φ. 275β.

3. «Διήγησις τινὸς φιλοσόφου περὶ τὴν ἄνω πρόνοιαν· τῶν ζ' φιλοσόφων». Ἀρχ. «Ἐν ταῖς ἡμέραις ἐκείναις Διογένους τοῦ φιλοσόφου», φ. 276β.

4. «Ἀνάμνησις μερικὴ περὶ τοῦ ἁγίου ὄρους τοῦ Ἄθω, τὰ λεγόμενα πάτρια». Ἀρχ. «Μετὰ τὴν φρικτὴν ἀνάστασιν», φ. 279-286, ἔνθα τὸ «Τέλος τῆς πατρίδος τοῦ Ἁγίου Ὄρους». Ἕτερον ἀντίγραφον παρὰ Νικολάῳ τῷ Κατραμῇ, Φιλολογικὰ ἀνάλεκτα Ζακύνθου. Ἐν Ζακύνθῳ 1880, σ. 186. Καὶ πάλιν ἕτερον ἔν τινι κώδικι τῆς μονῆς τοῦ Παντοκράτορος, ὅπερ ὅμως ἐστὶν ἐλλιπές, ὡς ἡ Μανουὴλ τοῦ Γεδεὼν ἐκτύπωσις, εἴπερ ἀκριβής ἐστιν, ἐδήλωσεν [Ὁ Ἄθως· ἀναμνήσεις ἔγγραφα σημειώσεις. Ἐν Κωνσταντινουπόλει 1885, σ. 296-306]· ἐλλείπει γὰρ αὐτῷ τὸ ἐφεξῆς κεφάλαιον. « - - - καὶ ἦν ὁ Εὐστράτιος—οὕτω γὰρ ἐκαλεῖτο—ποιμαίνων ἐν Χριστῷ τὸ αὐτὸ ποίμνιον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ:—Περὶ τοῦ Ξηροποτάμου τῆς μονῆς:—Ἐπὶ τῆς βασιλείας Ῥωμανοῦ ἐκτίσθη καὶ ἡ τοῦ Ξηροποτάμου μονὴ μετὰ βασιλικῶν ἀναλωμάτων· μετὰ γὰρ τὴν συμπλήρωσιν τοῦ ἔργου προσκαλεσάμενος τὸν ἀρχιερέα τοῦ καθιερῶσαι τὸν ναόν, ὃς καὶ προσελθὼν κατὰ τὴν τάξιν ἤρξατο καθιερῶσαι· μετὰ δὲ τὴν ἐπίκλησιν τοῦ ναοῦ ἐπὶ τῷ ὀνόματι τῶν ἁγίων τεσσαράκοντα μεγάλων μαρτύρων τῶν ἐν Σεβαστείᾳ, παρὰ τοῦ ἀρχιερέως ἐκφωνηθέντι (κῶδ. ἐκφωνηθέν), ᾧ τοῦ θαύματος ἔφυ ὑπὸ χαμαὶ τῷ ἐδάφει τῆς ἁγίας τραπέζης μανιτάριον, καὶ ὑψωθὲν ἐφ' ὕψει κατεσκήνωσεν ὅλον τὸ θυσιαστήριον· ὅπερ ἔχει (κῶδ. ὃ περιέχων) τεσσαράκοντα μῆλα ἐπὶ τοῖς ὄρπηξιν αὐτοῦ εἰς εἶδος μανιταρίων· τοῦτο δὲ ἦν εἰς δόξαν καὶ τιμὴν τῶν ἁγίων τεσσαράκοντα μεγάλων μαρτύρων, ὥστε τοὺς πάντας ἐκπλαγῆναι τῇ θέᾳ καὶ δοξάσαι τὰ μεγαλεῖα τοῦ Θεοῦ ἐπὶ τοῦ τοιούτου γενομένου παραδόξου θαύματος· πολλὰ γὰρ καὶ ἄλλα σημεῖα ἔδειξεν ὁ Θεὸς



ἐφ' ὅλῳ τῷ Ἁγίῳ Ὄρει καὶ πρῶτον καὶ ἐν ὑστέροις, εἰς δόξαν καὶ εἰς τιμὴν τοῦ ἁγίου τόπου καὶ τῶν κατοικούντων (κῶδ. τὸν κατοικοῦντα) ἐν αὐτῷ ἐν ἁγιωσύνῃ, ὅτι αὐτῷ πρέπει τιμὴ δόξα κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. Τέλος τῆς πατρίδος τοῦ Ἁγίου Ὄρους».

5. Τεμάχιον «ἐκ τοῦ τυπικοῦ τοῦ Ἁγίου Ὄρους, ὅπερ ἐξεδόθη καὶ ἐτυπώθη κατὰ τὴν βασιλεύουσαν τῶν πόλεων ἐπὶ Μανουὴλ τοῦ εὐσεβεστάτου βασιλέως καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Ἀντωνίου τοῦ θείου, ἐπὶ συνόδου κζ' ἀρχιερέων, κατ' αἴτησιν τοῦ τε πανοσιωτάτου πρώτου κυροῦ Δομετίου ἱερομονάχου καὶ ὁσιωτάτου καθηγουμένου τῆς βασιλικῆς μονῆς Λαύρας κῦρ Γρηγορίου ἱερομονάχου, κατὰ μῆνα μάιον τῆς β' ἰνδ. ἔτους ,ςϠβ [1394]» κτλ., φ. 286β. Τὸ ὅλον κείμενον τοῦ τυπικοῦ ὅρα παρὰ τῷ Ph. Meyer, Die Haupturkunden für die Geschichte der Alhosklöster. Leipzig 1894, σ. 195-203.

6. Τεμάχιον Ἰωάννου «τοῦ Χρυσοστόμου», οὗ ἡ ἀρχή· «Εἰ μὲν διὰ τοῦτο συνάγει εἰς τὴν ἐκκλησίαν», φ. 287β.

7. «Διήγησις περὶ τῶν ἀναιρεθέντων πατέρων ἡμῶν ἐν τῷ Ἁγίῳ Ὄρει ὑπὸ τῶν Λατινοφρονούντων». Ἀρχ. «Κατ' ἐκεῖνον τὸν καιρὸν παρεδυναστεύοντο οἱ Βούλγαροι», φ. 288.

8. «Στίχοι ἰαμβικοὶ εἰς τὴν Κωνσταντινούπολιν περὶ τῶν παθημάτων αὐτῆς». Ἀρχ. «Βύζαντος αὐλή, ἑστία Κωνσταντίνου», φ. 291.

9. «Τὰ πατριαρχικὰ ὀφφίκια τῆς Μεγάλης Ἐκκλησίας, καθὼς εὑρίσκονται σήμερον». Ἀρχ. «[Ὁ] μέγας οἰκονόμος κρατῶν τὰ κτήματα», φ. 291β.

103. Τεῦχος ἐκ χάρτου διμερές, οὗ ἡ γραφὴ λεπτὴ καὶ κανονική, γενομένη τῇ πεντεκαιδεκάτῃ ἑκατονταετηρίδι· ἔστι δὲ μήκους 0,13, πλ. 0,105. Τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ γραμμῶν 20 (0,077×0,05). Ἐν τῇ ᾤᾳ τοῦ 1-ου φύλλου σημείωμα· «† Τὸ παρὸν βιβλίον τὸ ἤφερα ἐγὼ ὁ παπᾶ Κύριλλος Νιότης ἀπὸ τὴν Ὄχριδα καὶ τὸ ἀφιέρωσα εἰς τὸν Προφήτην Ἠλίαν, καὶ εἴτις τὸ ἀποξενώσῃ ἂς [ἔχει] ἀντίδικον τὸν ἅγιον Ἠλίαν».



α') Φύλλ. 1-117 Ψαλτήριον ἀκέφαλον, ἀρχόμενον ἀπὸ τοῦ τέλους τοῦ ε' ψαλμοῦ· τὸ κατόπι τοῦ Ψαλτηρίου φύλλον, ὅπερ ἦν ἐξ ἀρχῆς ἄγραφον, ἐμπεριέχει τὸ σημείωμα τοῦτο· «1697 κθ-κθνέλφχψλωψβνβ'θπλώζ ℙ θφλψθχψθ» = «1697 παπὰ Νεόφυτος· Τηνηακὸς γράφο ταῦτα».

β') Φύλλ. 1-236 Ὡρολόγιον, ἐμπεριέχον τὰς ἀκολουθίας μεσονυκτικοῦ, ἑτέρου μεσονυκτικοῦ τοῦ Σαββάτου, ὄρθρου, ἑσπερινοῦ, ἀποδείπνου καὶ μικροῦ ἀποδείπνου· εἶτα «κανὼν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν», οὗ ἡ ἀρχή· «Ἰησοῦ γλυκύτατε», φ. 118^{β}.—«Κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον, εἰς νόσον ψαλλόμενος». Ἀρχ. «Πολλοῖς συνεχόμενος πειρασμοῖς», φ. 126^{β}.—«Ἕτερος κανὼν εἰς τὴν ὑπεραγίαν Θεοτόκον καὶ εἰς τὴν Ἀκάθιστον, οὗ ἡ ἀκροστιχίς· Χαρᾶς δοχεῖον σοὶ πρέπει χαίρειν μόνῃ· Ἰωσήφ», φ. 129^{β}.—«Ἕτερος κανὼν εἰς τὴν ὑπεραγίαν Θεοτόκον», οὗ ἡ ἀρχή· «Πῶς μου θρηνήσω τὸν βίον», φ. 134. —«Περὶ τῶν ἐπισήμων ἑορτῶν, ἐν αἷς ὀφείλομεν καταλύειν εἰς ἔλαιον καὶ οἶνον, εἰ ἐν τῇ Τετάρτῃ καὶ Παρασκευῇ τύχωσι, καὶ περὶ ἀργίας τῶν ἔργων. Ἀρχὴ τοῦ μηνολογίου. Συναξάριον σὺν Θεῷ ἐν ἐπιτομῇ τοῦ ὅλου ἐνιαυτοῦ», φ. 143.

104. Τεῦχος μεμβράνινον ἐκ φύλλων 330, μήκους 0,122, πλ. 0,095, οὗ τὸ κείμενον κατὰ σελίδα μονόστηλον ἐκ γραμμῶν 19-20 (0,09×0,055)· ἐγράφη δὲ τῇ δυοκαιδεκάτῃ ἑκατονταετηρίδι. Ἔνδον τῆς πρώτης πινακίδος ὁ δέτης ἔθηκε φύλλον λευκοῦ χάρτου, ἐν ᾧ σεσημείωται, ὅτι «ἐλήφθη καὶ τὸ παρὸν μεμβράινον τετραευάγγελον μετ' ἄλλων βίβλων ἐκ τῆς ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάββα βιβλιοθήκης, τῆς ἐν τῇ ἐκκλησίᾳ». Ἕτερον σημείωμα τῆς ις' ἑκατ. ἐν τῷ τελευταίῳ φύλλῳ· «Τὸ αὐτὸ θεῖον καὶ ἱερὸν ἅγιον τετραευάγγελον ἐδόθη καὶ ἀφιερώθη τῷ πανσέπτῳ ναῷ τοῦ Ταξιάρχου Μιχαὴλ τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα τοῦ ἐν τῇ ἐρήμῳ» κτλ. Τὰ πρῶτα τρισκαίδεκα φύλλα χάρτινα· περιέχει δὲ ταῦτα «δήλωσιν διαλαμβάνουσαν τὴν τοῦ χρόνου τῶν εὐαγγελίων ἀνάγνωσιν», τὸ μηνολόγιον, τὰ κεφάλαια καὶ τὴν ὑπόθεσιν τοῦ κατὰ Ματθαῖον εὐαγγελίου.—Φύλ. 14 τεμάχιον ἀκέφα-

λον Ἰωάννου τοῦ Χρυσοστόμου περὶ τοῦ αὐτοῦ εὐαγγελίου. Ἀρχ. « - - - χρημάτων περιουσία, δυναστείας μέγεθος καὶ ἀρχαὶ καὶ δόξαι καὶ τιμαὶ» κτλ. — Φύλ. 16β «Τοῦ αὐτοῦ Χρυσοστόμου εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον». Ἀρχ. «Ματθαῖος ὁ μακάριος ἅτε Ἑβραίοις γράφων» κτλ. — Φ. 16β «Ὠριγένους» τεμάχια δύο. Ἀρχ. «Πρῶτος δὲ τῶν λοιπῶν εὐαγγελιστῶν γεγράφηκεν ὁ θεῖος οὗτος ἀνὴρ τὸ παρὸν εὐαγγέλιον ἑβραΐδι φωνῇ» κτλ. — Φ. 17β «Ἱππολύτου Θηβαίου ἐκ τοῦ χρονικοῦ συντάγματος». Ἀρχ. «Ἰάκωβος ὁ γεγονὼς ἐπίσκοπος Ἱεροσολύμων ἀδελφὸς τοῦ Κυρίου ἐλογίζετο κατὰ σάρκα εἶναι» κτλ. — Φ. 20β «Εὐσεβίου ὑπόθεσις εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον», ἧς ἡ ἀρχή· «Κατὰ Ματθαῖον τὸ εὐαγγέλιον ἐπιγέγραπται» κτλ. — Φ. 21β «Ἐπίγραμμα εἰς τὸν ἅγιον Ματθαῖον», οὗ ἡ ἀρχή· «Ὁ πρὶν τελώνης καὶ σχολάζων τοῖς φόροις». — Φ. 22 - 102 Τὸ κατὰ Ματθαῖον εὐαγγέλιον, οὗ τὸ πέρας ἔχει τὸ «ἐγράφη καὶ ἀντεβλήθη ἐκ τῶν ἐν Ἱεροσολύμοις παλαιῶν ἀντιγράφων τῶν ἐν τῷ Ἁγίῳ Ὄρει ἀποκειμένων· ἐν στίχοις ͵βυπδ', κεφαλαίοις τνζ'». — Φ. 103 «Κοσμᾶ Ἰνδικοπλεύστου προοίμιον εἰς τὸ κατὰ Μᾶρκον εὐαγγέλιον», οὗ ἡ ἀρχή· «Οὗτος ὁ δεύτερος Πέτρου ἐν Ῥώμῃ» κτλ. — Φ. 103β «Εὐσεβίου ὑπόθεσις εἰς τὸ κατὰ Μᾶρκον εὐαγγέλιον». — Φ. 104β «Ἐπίγραμμα εἰς τὸν ἅγιον Μᾶρκον», οὗ ἡ ἀρχή· «Πέτρου μυηθεὶς τοῖς ἀπορρήτοις». — Φ. 104β «Ἄλλο Νικήτα», οὗ ἡ ἀρχή· «Υἱὸν Πέτρου τὸν Μᾶρκον». — Φ. 105 Κεφάλαια τοῦ κατὰ Μᾶρκον εὐαγγελίου. — Φ. 108 - 162 Τὸ κατὰ Μᾶρκον εὐαγγέλιον, οὗ τὸ πέρας ἔχει τὸ σημείωμα τοῦτο· «ἐγράφη καὶ ἀντεβλήθη ὁμοίως ἐκ τῶν ἐσπουδασμένων ἐν στίχοις ͵αφν', κεφ. σλδ'». Ἕπεται φύλλον ἄγραφον· μεθ' ὃ ἦν ἕτερον, ὅπερ ἐλλείπει νῦν ἀποκοπὲν ὑπὸ τοῦ Πορφυρίου ἢ ἄλλου τινός. — Φ. 164 Πρόλογος ἀκέφαλος εἰς τὸ κατὰ Λουκᾶν εὐαγγέλιον, οὗ ἡ ἀρχή· « - - - ῶν πρώην μεμάθηκεν, ἵνα γνῷς φησιν ἀκριβῶς» κτλ. — Φ. 165 «Εὐσεβίου ὑπόθεσις εἰς τὸ κατὰ Λουκᾶν». Ἀρχ. «Κατὰ Λουκᾶν τὸ εὐαγγέλιον ἐπιγέγραπται» κτλ. — Φ. 166 Κεφάλαια τοῦ αὐτοῦ εὐαγγελίου. — 168β «Ἐπίγραμμα εἰς τὸν ἅγιον Λουκᾶν», οὗ ἡ ἀρχή·



«Τρίτος δὲ Λουκᾶς. — Φ. 168β Ἕτερον ἐπίγραμμα Νικήτα, οὗ ἡ ἀρχή· «Ζωῆς τὸν ἄρτον». Κατόπι φύλλον ἄγραφον. — Φ. 170-257. Κείμενον τοῦ κατὰ Λουκᾶν εὐαγγελίου, ὅπερ «ἐγράφη καὶ ἀντεβλήθη ὁμοίως ἐκ τῶν αὐτῶν ἀντιγράφων ἐν στίχοις ,βψξ', κεφαλαίοις τμβ'». — Φ. 258 «Προοίμιον τοῦ κατὰ Ἰωάννην εὐαγγελίου ἐξ ἀνεπιγράφου». Ἀρχ. «Τὴν ἅπασαν ἱστορίαν τῆς Χριστοῦ παρουσίας». — Φ. 259β «Ἰωάννου τοῦ Χρυσοστόμου προοίμιον τοῦ αὐτοῦ εὐαγγελίου». Ἀρχ. «Τίνος ἕνεκεν τῶν ἄλλων εὐαγγελιστῶν» κτλ. — Φ. 261 «Θεοδώρου Μοψουεστίας» τεμάχιον, οὗ ἡ ἀρχή· «Μετὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν» κτλ. — Φ. 263 «Κυρίλλου Ἀλεξανδρείας» τεμάχιον. Ἀρχ. «Μετὰ τὸν τοῦ σωτῆρος ἡμῶν σταυρὸν» κτλ. — Φ. 263 «Εὐσεβίου ὑπόθεσις εἰς τὸ κατὰ Ἰωάννην εὐαγγέλιον». Ἀρχ. «Κατὰ Ἰωάννην τὸ εὐαγγέλιον ἐπιγέγραπται» κτλ. — Φ. 264 «Ἐπίγραμμα εἰς τὸν ἅγιον Ἰωάννην τὸν Θεολόγον», οὗ ἡ ἀρχή· «Βροντῆς τὸν υἱόν τις βροτῶν». — Φ. 264β Ἕτερον, οὗ ἡ ἀρχή· «Ὁ παρθένος τί τὸν τεκόντα» κτλ. — Φ. 264β Κεφάλαια τοῦ κατὰ Ἰωάννην εὐαγγελίου. — Φ. 266-329 Κείμενον τούτου τοῦ εὐαγγελίου.

105. Ψαλτήριον μεμβράνινον τῆς ιγ' ἑκατ., βεβλαμμένον ὑπὸ πυρᾶς, οὗ τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον· ἔστι δὲ μήκους 0,13, πλ. 0,092. Μετὰ τὸ κείμενον τῶν ᾠδῶν «Ὁ κανὼν μεσονυκτικός», οὗ ἡ ἀρχή· «Ἀκατάληπτε Θεέ,|ὁ ὑποδείξας διὰ Δαυὶδ με | μέσον τῆς νυκτὸς ἐξανίστασθαι» κτλ. Κατόπι «τροπάριον τοῦ Ἀμώμου τῇ Κυριακῇ πρωί· ἦχος πλάγιος α'». Ἀρχ. «Τῶν ἀγγέλων ὁ δῆμος κατεπλάγη» κτλ. Ἐν τῇ ἀρχῇ τοῦ κώδικος ἐρυθρόν ἐστι κόσμημα σχήματος τετραγώνου παραλληλογράμμου.

106. Τεῦχος μεμβράνινον τῆς ιγ' ἑκατ., συνιστάμενον ἐκ φύλλων 213, ὧν ἡ ἀρίθμησις ἐν τῷ κώδικι μικρὸν ἐσφαλμένη· οἱ γὰρ ἀριθμοὶ φύλλων 131 καὶ 160 δὶς ἐσημάνθησαν ἐν αὐτῷ· ἐλήφθη δὲ καὶ τοῦτο τὸ τεῦχος «ἐκ τῆς ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάββα βιβλιοθήκης, τῆς ἐν τῇ ἐκκλησίᾳ», τῇ 9-ῃ μηνὸς αὐγούστου, ἔτους 1858-ου. Καὶ μήκους μέν ἐστι 0,11, πλά-



τους δὲ 0,092, τὸ δὲ κείμενον ἐκ γραμμῶν 18 ἢ 19 μονόστηλον (0,08 × 0,06). — Φύλλ. 1 «Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τῆς ἐν Ἱεροσολύμοις λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα· αὕτη δὲ ἡ ἀκολουθία γίνεται καὶ ἐν ταῖς λοιπαῖς (ἐκκλησίαις) τῶν ἐν Ἱεροσολύμοις μονῶν». Διαιρεῖται τὸ τυπικὸν τοῦτο ὧδε· α') Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ.—β') Περὶ τῆς ἀγρυπνίας διάταξις, φ. 1β.—γ') «Εἴδησις τῶν ἀγρυπνιῶν τοῦ ὅλου ἐνιαυτοῦ», φ. 10.—δ') «Ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως τῶν ἐν Ἱεροσολύμοις ἁγίων μοναστηρίων», φ. 11.—ε') «Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας καὶ συνάξεως τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ μηνὸς σεπτεμβρίου μέχρι μηνὸς αὐγούστου», φ. 26.—ς') «Ἀκολουθία τῆς ἁγίας καὶ μεγάλης Τεσσαρακοστῆς», φ. 145. — ζ') «Ἀκολουθία τοῦ Νιπτῆρος», φ. 174β. — η') «Ἀκολουθία τῶν ὡρῶν τῆς μεγάλης Παρασκευῆς· ποίημα Κυρίλλου, ἀρχιεπισκόπου Ἀλεξανδρείας», φ. 178β. — θ') Ἀκολουθία τοῦ Πεντηκοσταρίου. — ι') «Νηστεία τῶν ἁγίων Ἀποστόλων», φ. 190β. — ια') «Περὶ τοῦ πῶς δεῖ θυμιᾶν», φ. 192β.—ιβ') «Τὰ ἀναστάσιμα προκείμενα τοῦ Ἀποστόλου τῆς ὀκτωήχου, ἤτοι τὰ ἄμνημα», φ. 194. — ιγ') «Τὰ ἀναστάσιμα ἀλληλουάρια τῆς ὀκτωήχου, τὰ λεγόμενα ἄμνημα», φ. 194β. — ιδ') Προκείμενα ἀναστάσιμα, φ. 196. — ιε') Κανὼν παρακλητικὸς εἰς πάντας τοὺς ἁγίους, φ. 197· τούτου δὲ μόνον ἡ ἀρχή. Τὰ κατόπι φύλλα (198-205) συνδεῖ κεφάλαιον ἕτερον, ὅπερ ὑπάρχει πρὸ τοῦ 182-ου φύλλου.

107. Τεῦχος μεμβράνινον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ὅπερ ὑφ' ὕδατος βλαβὲν ὑπέστη διὰ τοῦτο πολλαχοῦ σῆψιν· ἐξήλειψε δὲ τὸ ὕδωρ καὶ τὰ γράμματα πολλαχοῦ, μάλιστα δὲ τὰ τῶν σχολίων, ὧν ὀλίγιστα νῦν ἀναγινώσκεται. Τὸ γράψιμον τοῦ κειμένου λεπτόν, τὸ δὲ τῶν σχολίων λεπτότερον· ἔστι δὲ τὸ τεῦχος μήκους 0,091 καὶ πλ. 0,08. Τὸ κείμενον ἐκ γραμμῶν 29 κατὰ μίαν ἑκάστην τῶν σελίδων ἐμπεριλαμβάνει χῶρον αὐτῆς ὡς 0,06 × 0,05. Ἔνδον τῆς πρώτης πινακίδος ὑπάρχει τεμάχιον Ὡρολογίου ἐκ φύλλων ἓξ μεμβρανίνων, ἐν οἷς ἀναγινώσκεται μέρος ᾀσματικῆς ἀκολουθίας εἰς



τὸν ὄρθρον· μεθ' ὃ καθίσματα κατανυκτικά, εὐχὴ ἐπὶ κοίτης καὶ εὐχὴ πρωϊνή.—Φύλλ. 1-171 Ψαλμοὶ ρν' μετὰ σχολίων ἐν ταῖς ᾠαις, ἔχοντες ἐν τῇ ἀρχῇ κόσμημα κόκκινον, ὅμοιον τῷ Π γράμματι. — Φ. 172-189 Ὠδαὶ καὶ προσευχαί. — Φ. 190 «Ὕμνος ἑωθινὸς ἐκ τῶν Διαταγῶν τῶν ἁγίων Ἀποστόλων». — Φ. 190β «Εὐχὴ κατανυκτικὴ πρὸς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν». — Φ. 196β Εὐχὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον».—Φ. 197 «Οἱ μακαρισμοί».—Φ. 198β «Ἐκ τῆς Ἡσαΐου προφητείας». Τοῦτο τὸ τεῦχος πρότερον ἦν, τῇ ἑκκαιδεκάτῃ ἑκατ., Ἰωακεὶμ ἱερέως Κυπρίου, εἶτα δὲ τῆς λαύρας τοῦ ἁγίου Σάβα. Ἰωακεὶμ ὁ Κύπριος ἐπὶ τοῦ πρώτου φύλλου τοῦ κώδικος ἔγραψε τὸ σημείωμα τοῦτο· «Ἐκοιμύθην ὁ δοῦλος τοῦ Θεοῦ κῦρ παπᾶ Συμεὼν ὁ μακαρίτης, καὶ ἐγὼ καθεζομένου μου εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλήμ· ὁμοίως καὶ ὁ μακαρίτης (οἰ)κονόμος καὶ ὁ μακαρίτης ἱερομόναχος, ὁποῦ ἐκάθιζεν εἰς τὸν Ἅγιον Λουκᾶν, καὶ ὁ μακαρίτης Σενιοῦρος».


108. Φύλλον μεμβράνινον (μήκους 0,615, πλ. 0,442) εἰς δύο τεμάχη, τὸ πρωτότυπον ἀποτελοῦντα γράμματος ἐξ εἴκοσι καὶ ὀκτὼ γραμμῶν ἐγκυκλίου Σωφρονίου πατριάρχου τῶν Ἱεροσολύμων, ἀπευθυνόμενον πρὸς τοὺς ἁπανταχοῦ χριστιανοὺς ὀρθοδόξους ὑπὲρ βοηθείας ὑλικῆς εἰς τὸν Πανάγιον Τάφον· ἄρχεται δὲ ὧδε· «Ὅσοι τε τοῦ ἱεροῦ καταλόγου». Τὸ πρῶτον Ο γράμμα κεφαλαιῶδες καὶ μέγιστον, περιπεποικιλμένον δὲ χαριέντως καὶ χρώματος ὂν κοκκίνου. Ἕτερον ὁμογενὲς γράμμα τοῦ αὐτοῦ πατριάρχου, συνταχθὲν ἑλληνιστὶ ἔτει 1599-ῳ ὑπὸ Μαξίμου τοῦ Μαργουνίου ὅρα ἐν ταῖς ἐμαῖς Συμβολαῖς εἰς τὴν ἱστορίαν τῆς νεοελληνικῆς φιλολογίας. Ἑλλην. Φιλολογ. Συλλ. τ. XVII, σ. 70-71.

109. Εἰλητὸν ἐκ μεμβράνης, μήκους ὀκτὼ μέτρων καὶ πεντήκοντα ἑκατοστῶν τοῦ μέτρου, πλάτους δὲ ἑκατὸν ἐνενήκοντα καὶ πέντε χιλιοστῶν τοῦ μέτρου. Τὸ μέχρι τοῦ 82-ου ἑκατοστοῦ μέρος αὐτοῦ προσετέθη περὶ τὴν δυοκαιδεκάτην ἑκατονταετηρίδα· ἀναγινώσκεται δ' ἐπὶ τῆς πρώτης τοῦ εἰλητοῦ σελίδος ἡ θεία λειτουργία Ἰωάννου τοῦ Χρυσοστόμου, διῃρημένη ὅμως διὰ τὴν ῥηθεῖσαν προσθήκην εἰς δύο μέρη διακεκριμένα.



α') Εὐχὴ τῆς προθέσεως καὶ εὐχὴ τῶν ἀντιφώνων α', β', γ'· προσετέθησαν δὲ αὗται τῇ ιβ' ἑκατ. Ἐν τῇ ἀρχῇ γέγραπται μετὰ χρωμάτων πίναξ ἀπεικάζων τὴν πρόσοψιν ἱεροῦ βήματος, τουτέστι στοὰν μετὰ καμάρας, ἧς τὸ μέσον κατέχει Ἰωάννης ὁ Χρυσόστομος ἱστάμενος (ὕψ. 0,19), ἐνδεδυμένος δὲ στολὴν ἱερατικήν, τουτέστι φελώνιον, ἐπιγονάτιον, ἐπιτραχήλιον καὶ διακονικὸν ὠράριον, καὶ τῇ μὲν ἀριστερᾷ κρατῶν τὸ θεῖον εὐαγγέλιον, τῇ δεξιᾷ δὲ εὐλογίαν ἀπονέμων· μετὰ δὲ τὴν εἰκόνα ταύτην ὑπάρχει κόσμημα τετραγώνου παραλληλογράμμου σχήματος, καὶ μετὰ τοῦτο χρυσοῖς γράμμασι τὸ «† Ἡ θεία λειτουργία τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου».

β') Τὸ κυρίως ἀρχαῖον εἰλητόν, ἐμπεριέχον γράμμασι τῆς ἑνδεκάτης ἑκατονταετηρίδος τὴν θείαν λειτουργίαν Ἰωάννου τοῦ Χρυσοστόμου, ἣ τὴν ἀρχὴν αὐτῆς ἀπὸ τῆς εὐχῆς ἔχει τῆς εἰσόδου· ἐκόσμησε δὲ τοῦτο τὸ εἰλητὸν ὁ καλλιγράφος ἀπὸ τῆς ἀρχῆς ἄχρι τέλους πλαισίῳ καλλίστῳ, χῶρον ὁριζοντίως ἐπὶ τῆς μεμβράνης κατέχοντι ὀγδοήκοντα καὶ πέντε χιλιοστῶν τοῦ μέτρου, πολλοῖς τε κοσμήμασι, κεφαλαιώδεσί τε γράμμασιν, ἐπιγραφαῖς τε χρυσαῖς καὶ πολυαρίθμοις εἰκόσιν, ἔξωθεν τοῦ πλαισίου γεγραμμέναις· ὅπως δὲ τὴν ἀρχὴν αὐτοῦ τοῦ εἰλητοῦ κατεκόσμησεν ὁ καλλιγράφος, δείκνυσιν ἡ ἀπέναντι ταύτης τῆς σελίδος φωτοτυπικὴ εἰκών. Καὶ πρῶτον μὲν ἀπεικάζονται δύο στῆλαι συνδεόμεναι μὲν διὰ καμάρας, περικλείουσαι δὲ κόσμημα τετράγωνον, οὗ τὸ κέντρον σταυροειδὲς ὂν κατέχει εἰκὼν τοῦ Ἰησοῦ Χριστοῦ, παριστῶσα τοῦτον καθήμενον ἐπὶ θρόνου καὶ τῇ μὲν ἀριστερᾷ κρατοῦντα τὸ θεῖον εὐαγγέλιον, τῇ δεξιᾷ δὲ τοὺς ἀκροωμένους εὐλογοῦντα τῆς ἱερᾶς λειτουργίας· ἄνωθεν δὲ τούτου τοῦ κοσμήματος ὑπάρχουσιν εἰκόνες πέντε μετ' ἐπιγραφῶν, Γεωργίου τοῦ μεγαλομάρτυρος, Ἰωάννου τοῦ Χρυσοστόμου, Μαρίας τῆς παρθένου καὶ Βασιλείου τοῦ μεγάλου. Μετὰ δὲ πᾶσαν ταύτην τὴν κεφαλαιώδη κόσμησιν τὸ κείμενον τῆς ἱερᾶς ἄρχεται λειτουργίας ἀπὸ τῆς εὐχῆς τῆς εἰσόδου, ἣν ὁ καλλιγράφος ἐνέκλεισεν ἔνδον ἰδίου πλαισίου· τοῦτο δ' αὐτὸ ἐποίησε καὶ διὰ τὰς λοιπὰς εὐχάς, ποι-




Σελ. 170.

Εἱλητὸν τῆς ια' ἑκατ. ἐν τῇ συλλογῇ τοῦ Σταυροῦ, ἀριθ. 109.

κίλας τὸ σχῆμα τῶν πλαισίων αὐτῶν· τὰς δ' ἐκφωνήσεις γράψας χρυσοῖς γράμμασι κεφαλαιώδεσιν ἐχώρισε τῶν εὐχῶν διὰ ταινιωδῶν κοσμημάτων, ἵνα τοῖς ἱερεῦσι ὦσιν ἐκεῖναι φανόταται. Τῆς μὲν οὖν πρώτης εὐχῆς τὸ πρῶτον γράμμα, τὸ Δ, γέγραπται ἔξω τοῦ πλαισίου κατὰ σχῆμα εἰκόνος, τὴν γέννησιν τοῦ Χριστοῦ παριστώσης· ἀπέναντι δ' αὐτοῦ, ἔξω τῆς ἑτέρας τοῦ πλαισίου πλευρᾶς, εἰκών ἐστι τοῦ Εὐαγγελισμοῦ τῆς Θεοτόκου· μετὰ δὲ τὴν πρώτην ἐκφώνησιν ἡ «εὐχὴ τοῦ τρισαγίου», ἧς τὸ πρῶτον γράμμα, τὸ Ο, κεῖται, καθὰ καὶ τὸ τῆς προτέρας εὐχῆς, ἔξω τοῦ πλαισίου, φέρον ἔνδον εἰκόνα τοῦ Χριστοῦ καὶ ἔχον ἀπέναντι, πρὸς τὴν ἑτέραν τοῦ πλαισίου πλευράν, εἰκόνα τῆς Θεοτόκου· μέχρι δὲ τοῦ πέρατος ταύτης τῆς εὐχῆς ὑπάρχουσιν ἑκατέρωθεν τοῦ πλαισίου εἰκόνες ἑπτά· α') δύο Χερουβίμ, β') ὁ ἀρχάγγελος Μιχαήλ, γ') ὁ ἀρχάγγελος Γαβριήλ, δ') ὁ Οὐριήλ, ε') ὁ ἀρχάγγελος Ῥαφαήλ, ς') ὁ ἄγγελος Κυρίου καὶ ζ') ἕτερος ἄγγελος Κυρίου. Μετὰ δὲ τὴν δευτέραν ἐκφώνησιν ἡ εὐχὴ τῆς ἐκτενοῦς ἐστιν ἱκεσίας, ἧς τὸ πρῶτον γράμμα, τὸ Κ, κατὰ σχῆμα γραφὲν εἰκόνος, ἀπεικάζει τὸν ἀπόστολον Παῦλον καί τινα θρόνον, ἐφ' οὗ κάθηται Ἰωάννης ὁ Χρυσόστομος· ἀπέναντι δὲ τούτου εἰκὼν ἑτέρα, παριστῶσα ἱερέα τινὰ προσευχόμενον καὶ τὴν κεφαλὴν ἀκάλυπτον ἔχοντα. Τῇ τρίτῃ ἐκφωνήσει ἕπεται «εὐχὴ κατηχουμένων τῆς ἁγίας ἀναφορᾶς τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου», ἧς τὸ πρῶτον γράμμα, τὸ Κ, κατὰ σχῆμα γραφὲν ὡσαύτως εἰκόνος, ἀπεικάζει Ἰωάννην τὸν Χρυσόστομον, εἰλητὸν ἠνεῳγμένον κρατοῦντα· καὶ πάλιν ἀπέναντι τούτου ἑτέρα εἰκών, παριστῶσα τὸν Ἰησοῦν Χριστὸν ἑστῶτα. Εἶτα ἐκφώνησις καὶ «εὐχὴ πιστῶν α' μετὰ τὸ ἁπλωθῆναι τὸ εἰλητόν», ἧς τὸ πρῶτον γράμμα, τὸ Ε, σημαίνει ναόν, ἐν ᾧ Ἰωάννης ἐστὶν ὁ Χρυσόστομος· ἀπέναντι δὲ τούτου πάλιν εἰκὼν τοῦ Ἰησοῦ Χριστοῦ. Τῆς β' εὐχῆς πιστῶν τὸ πρῶτον γράμμα, τὸ Π, ἀπεικάζει τὴν Ὑπαπαντήν, τουτέστι ναόν, τόν τε Συμεῶνα καὶ τὴν Θεοτόκον αὐτῷ τὸν υἱὸν αὐτῆς ἐγχειρίζουσαν. Ἀπέναντι πάλιν εἰκὼν ἑτέρα, ἡ Θεοτόκος καὶ ὁ Ἰωσήφ, ὃς δίδωσι ταύτῃ δύο νεοττούς. Καὶ πάλιν ἐκφώνησις καὶ «εὐχή, ἣν ποιεῖ ὁ ἱερεὺς καθ' ἑαυτόν». Καὶ ταύτης




τὸ πρῶτον γράμμα, τὸ Ο, φέρει ἔνδον εἰκόνα προτομῆς τοῦ Ἰησοῦ Χριστοῦ· ἀπέναντι δὲ ταύτης ἱερεύς ἐστιν ἀκαλύπτως εὐχόμενος. Εἶτα «εὐχὴ προσκομιδῆς μετὰ τὴν ἐν τῇ ἁγίᾳ τραπέζῃ τῶν δώρων ἀπόθεσιν», ἧς ἡγεῖται πίναξ τετραγώνου παραλληλογράμμου σχήματος, ἀπεικάζων ἔνδον θυσιαστήριον πορφυροῦν, τρία φέρον ἱερὰ ποτήρια καὶ ὄπισθεν μὲν ἔχον ἑστῶτα τὸν Ἰησοῦν Χριστόν, ἑκατέρωθεν δὲ τοὺς ἁγίους ἀποστόλους καὶ ἀγγέλους δύο ῥιπίδια κρατοῦντας. Τὸ δὲ πρῶτον γράμμα ταύτης τῆς εὐχῆς, τὸ Κ, κατὰ σχῆμα γραφὲν εἰκόνος, ἀπεικάζει ἄγγελον Κυρίου θυμιῶντα· ἀπέναντι δ' αὐτοῦ εἰκὼν ἑτέρου Ἀγγέλου. Τῇ προτέρᾳ εὐχῇ ἕπεται ἑτέρα, ἧς ἡ ἀρχή· «Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν»· ταύτης δὲ τὸ πρῶτον γράμμα παρίστησιν Ἰησοῦν τὸν Χριστὸν ἀνεγείροντα γερόντιον· τούτου δὲ ὄπισθέν ἐστι πρόσωπον ἡγιασμένου ἀνδρός. Ἀπέναντι τῆς εἰκόνος ταύτης εἰκὼν ἑτέρα, ἡ τῶν προφητῶν Ἰωακείμ τε καὶ Ἄννης· τὸ δὲ πρῶτον γράμμα τῆς εὐχῆς, ἧς ἡ ἀρχὴ «Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων δυνάμεων», ἀπεικάζει τὴν ἀνέγερσιν τοῦ Λαζάρου, ἔχον ὡσαύτως ἀπέναντι ἑτέραν εἰκόνα (γέροντος καὶ νεανίου). Καὶ πάλιν ἔνθεν καὶ ἔνθεν τοῦ πλαισίου εἰκόνες δύο, τῆς μὲν παριστώσης τὸν Χριστὸν ἄρτον προσφέροντα τοῖς περὶ αὐτὸν ἓξ ἀποστόλοις καὶ λέγοντα τὸ «Λάβετε, φάγετε», τῆς δὲ τὸν αὐτὸν Χριστόν, τοῖς λοιποῖς ἓξ ἀποστόλοις λέγοντα τὸ «Πίετε ἐξ αὐτοῦ πάντες», μετὰ δὲ μανδηλίου ποτήριον κρατοῦντα πορφυροῦν. Εἶτα πάλιν εἰκόνες δύο, τῆς μὲν ἀποσχηματιζούσης τὸ Μ γράμμα καὶ παριστώσης τὴν βάπτισιν τοῦ Χριστοῦ, τῆς δὲ γέροντα καὶ δύο νεανίας. Μετὰ δὲ τὴν μυστικὴν εὐχήν, ἧς ἡ ἀρχὴ «Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς», ὁ καλλιγράφος ἔγραψε τὸ «Μνήσθητι, Κύριε, τῆς δούλης σου Καλῆς», ἵνα φανερώσῃ πιθανῶς τὴν δαπανήσασαν εἰς τὴν κατασκευὴν τοῦ καλλιτεχνικοῦ τούτου εἰλητοῦ· τὸ δὲ πρῶτον γράμμα τῆς μυστικῆς εὐχῆς «Ἔτι προσφέρομέν σοι» κτλ. παρίστησιν, ὡς ἡ ἐπὶ ταύτης ἐπιγραφὴ δείκνυσι, τὴν πόλιν Ἱερουσαλήμ, τουτέστιν ὄρος μετὰ τρούλλου σταυροφόρου καὶ τρεῖς ἀγγέλους, ὧν ὁ μεσαῖος κρατεῖ μανδήλιον ἀνοικτόν, ἵνα δῆλον γένηται, ὅτι ἡ εἰκὼν ἀναπαρί-



στησι τὸ γράμμα Ε· τούτου δὲ τὴν κάτω πλευρὰν δείκνυσιν ἡ στάσις δύο παιδίων. Ἀπέναντι δέ, πρὸς τὴν ἑτέραν τοῦ πλαισίου πλευράν, εἰκὼν ὑπάρχει τῆς Βαϊοφόρου, τουτέστιν Ἰησοῦ τοῦ Χριστοῦ, ἐπὶ πώλου καθημένου λευκοῦ καὶ δύο πεζοποροῦντας ἄνδρας ἔχοντος ὄπισθεν. Καὶ πάλιν εἶτα δύο εἰκόνες, ὧν ἡ μὲν ἀπεικάζουσα τὴν Ἁγίαν Τριάδα σχηματίζει τὸ W γράμμα τοῦ «Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς», ἡ δὲ ἑτέρα παρίστησι τὸν Ἀβραάμ, ἄρτον τῇ παναγίᾳ προσφέροντα Τριάδι. Καὶ κατόπιν εἰκόνες δύο· ἡ μὲν πρὸς ἀριστερὰν σχηματίζει τὸ γράμμα Τ, ὅπερ ἀρχή ἐστι τοῦ «Τοῦ ἁγίου Ἰωάννου προφήτου προδρόμου» κτλ. τούτου δὲ τὸ μέσον ἀπεικάζει τὸν Ἰησοῦν, τὸ δὲ κάτω σκέλος Ἰωάννην τὸν Πρόδρομον· ἡ δὲ πρὸς δεξιὰν εἰκὼν ἀπεικάζει τὸν μεγαλομάρτυρα Γεώργιον προσευχόμενον ὄρθιον. Ἐν ταῖς κατόπιν ἐκφωνήσεσι τοῦ ἱερέως ἀναγράφεται καὶ τὸ «Μνήσθητι, Κύριε, τῆς πόλεως, ἐν ᾗ κατοικοῦμεν»· οὗ τὸ πρῶτον γράμμα, τὸ Μ, παρίστησι τὸν ἅγιον Κωνσταντῖνον καὶ τὴν ἁγίαν Ἑλένην τὸν σταυρὸν κρατοῦντας· πρὸς δὲ τὴν ἑτέραν τοῦ πλαισίου πλευρὰν ἀπεικάζεται ἡ Κωνσταντινούπολις, ὡς ἡ ἐκεῖ λέγει ἐπιγραφή, τουτέστι τεῖχος μετ' ἐπάλξεων καὶ πύλης. Τὸ δὲ πρῶτον γράμμα τοῦ «Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν», σχήματος ὂν τετραγωνικοῦ, ἄνω μὲν ἔχει τροῦλλον μετὰ σταυροῦ καὶ εἶτα τὴν προτομὴν τοῦ Ἰησοῦ, ἐν δὲ τῷ μέσῳ τῆς αὐτοῦ χωρίας πλευρᾶς τὴν εἰκόνα τοῦ ἁγίου Πέτρου, ἐπισκόπου τῆς πόλεως Ἀλεξανδρείας· ἔστι δὲ καὶ τούτου τοῦ γράμματος ἔναντι πίναξ ἕτερος ἀπεικάζων τὴν ἀποτομὴν τῆς κεφαλῆς τοῦ αὐτοῦ Πέτρου. Τὰ δὲ Ἅγια τῶν Ἁγίων σχηματίζει τὸ Ε γράμμα τοῦ «Εὐχαριστοῦμέν σοι βασιλεῦ ἀόρατε»· καὶ τούτων ἀπέναντι εἰκὼν ἀνδρὸς καὶ δύο γυναικῶν ἡγιασμένων· τὸ δὲ Π γράμμα τοῦ «Πρόσχες Κύριε Ἰησοῦ Χριστὲ» παρίστησι τὴν κοίμησιν τῆς Θεοτόκου· ἔχει δὲ καὶ τοῦτο ἀπέναντι τὴν εἰκόνα τεσσάρων ἀποστόλων ἐπὶ νεφελῶν ἐρχομένων εἰς Ἱερουσαλήμ, ἵνα παραστῶσιν εἰς τὴν κοίμησιν τῆς Θεοτόκου. Καὶ πάλιν τὸ Ε γράμμα τοῦ «Εὐχαριστοῦμέν σοι, δέσποτα φιλάνθρωπε», ἀπεικάζει τὸν Ἰησοῦν Χριστὸν εὐλογοῦντα



ἱερέα γονυκλιτῶς προσευχόμενον· τούτου δὲ ὑπεράνω ἵπταται εἷς ἄγγελος. Ἀπέναντι δὲ ταύτης τῆς εἰκόνος ὁ καλλιγράφος ἀπείκασε δι' ἑτέρας εἰκόνος τὸ «Οὕτως οὐκ ἰσχύσατε γρηγορῆσαι, ὅπερ εἶπεν ὁ Ἰησοῦς Χριστὸς πέραν τοῦ χειμάρρου τῶν Κέδρων». Ἀπεικάζεται τοίνυν ἐκεῖ ὄρος ὑψηλὸν καὶ γῆ χλοερά, ἐφ' ἧς κάθηνται μαθηταὶ τοῦ Χριστοῦ ἕνδεκα. Τὸ δὲ πρῶτον γράμμα τῆς ὀπισθαμβώνου εὐχῆς, ἧς ἡ ἀρχὴ «Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε», περικλείει τὴν εἰκόνα τῆς μεταμορφώσεως τοῦ Κυρίου. Τὸ εἰλητὸν ἔχει πρὸς τῷ τέλει καὶ «Εὐχὴν λεγομένην ἐντὸς τοῦ σκευοφυλακείου», ἧς ἡ ἀρχή· «Τὸ πλήρωμα τοῦ νόμου»· ταύτης δὲ τὸ πρῶτον γράμμα σχηματίζει τὴν εἰκόνα τῆς σταυρώσεως τοῦ Κυρίου· ἀπέναντι δ' αὐτοῦ, πρὸς τὴν ἑτέραν τοῦ πλαισίου πλευράν, ὑπάρχει ἑτέρα εἰκών, ἀπεικάζουσα τὴν Θεοτόκον καὶ Ἰωάννην τὸν Θεολόγον. — Καὶ ταῦτα μὲν εἶχεν ἐξ ἀρχῆς ἡ πρώτη τοῦ εἰλητοῦ ἐπιφάνεια, ὅπερ, ὡς εἴρηται, ἐγράφη τῇ ἑνδεκάτῃ ἑκατονταετηρίδι· τῇ δὲ κατόπιν ἑκατονταετηρίδι ἐπὶ τῆς ἑτέρας ἐπιφανείας ἐγράφη «ἡ θεία λειτουργία τοῦ μεγάλου Βασιλείου», ἧς τὴν ἀρχὴν μηνύει κόσμημα ταινιοειδές· εἰσὶ δὲ καὶ ταύτης αἱ μὲν ἐκφωνήσεις χρυσογραφεῖς, τὰ δὲ κεφαλαιώδη γράμματα κεχρωματισμένα καὶ περιπεποικιλμένα πολλαῖς εἰκόσιν. Ἀλλὰ καὶ τῇ ιδ' ἑκατονταετηρίδι ἐπὶ τῆς αὐτῆς ἐπιφανείας ἐγράφη «ἡ θεία λειτουργία τῶν προηγιασμένων», ἥτις ἐτέθη κατόπι τῆς τοῦ Βασιλείου· τὸν δὲ γραφέα τῆς τῶν προηγιασμένων λειτουργίας μηνύει τὸ σημείωμα τοῦτο· «Μνήσθητι κἀμοὶ Νικολάῳ ἀναξίῳ θύτῃ». Μετὰ δὲ τοῦτο γέγραπται σημείωμα τοιόνδε· «Τὸ παρὸν εἰλητάριον, ὃν ἐν τῇ ἰδιωτικῇ βιβλιοθήκῃ τοῦ μακαριωτάτου καὶ λίαν φιλομούσου πατριάρχου Ἱεροσολύμων Κυρίλλου τοῦ β', ἀφιέρωται ἤδη παρ' αὐτοῦ μετὰ καὶ ἄλλων βιβλίων τῇ βιβλιοθήκῃ τῆς μεγάλης πατριαρχικῆς αὐτοῦ σχολῆς, ἧς καὶ τὴν σφραγῖδα φέρει, ἵνα ἔχῃ αὐτό, ὡς καὶ τἆλλα χειρόγραφα, θησαυρὸν ἀνεκτίμητον τῆς ἐκκλησιαστικῆς ἀρχαιότητος καὶ τῆς προγονικῆς ἡμῶν φιλοκαλίας καὶ φιλοπονίας. Τὸ εἰλητάριον τοῦτο περιέχει τὰς δύο θείας καὶ ἱερὰς λειτουργίας, τὴν τοῦ μεγάλου Βασιλείου καὶ τὴν τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου,



ὧν ἡ μὲν τοῦ πρώτου ἁπλῶς ἐστι γεγραμμένη, ἡ δὲ τοῦ δευτέρου μετὰ πολλῆς τῆς ζωγραφικῆς καλλιτεχνίας φέρει διάφορα γραμμικὰ σχήματα, ἐν οἷς εἰσι γεγραμμέναι αἱ ἱεραὶ εὐχαί, καὶ ἑκάστης εὐχῆς τὸ ἀρχτικὸν στοιχεῖον παρίσταται διά τινος εἰκόνος· ἔχει δὲ πεντήκοντα καὶ τρεῖς εἰκόνας, ὧν αἱ μὲν δύο εἰσὶ μέτριαι, αἱ δὲ ἄλλαι μήκισται μέν, ἀλλὰ μετὰ πολλῆς τῆς ζωηρότητος, αἵτινες διεγείρουσι τὸν θαυμασμὸν τοῦ θεατοῦ. Ἐν ἔτει ͵αωνη′ ὀκτωβρίου ιϛ′».

ΚΑΤΑΛΟΓΟΣ ΕΛΛΗΝΙΚΩΝ ΚΩΔΙΚΩΝ

ἀφιερωθέντων ὑπὸ τοῦ μακαριωτάτου πατριάρχου πρώην ΙΕΡΟΣΟΛΥΜΩΝ ΝΙΚΟΔΗΜΟΥ

τῇ κεντρικῇ βιβλιοθήκῃ τοῦ Πατριαρχείου τῶν Ἱεροσολύμων [1].

---

1. Μαθηματάριον ἐκ φύλλων χάρτου 324, ὧν ἄγραφα τάδε: 2-12, 67-70, 99-102, 121-135, 167, 199-207, 214-215, 246, 247, 282-314, 317-320α, 321β-323α, 324. Ἐπὶ τοῦ 1-ου φύλλου σημειώματα δύο, ὧν τὸ μεν πρῶτον ἐγράφη περὶ τὴν ἀρχὴν τῆς ιθ' ἑκατ., τὸ δ' ἕτερον ἔτει 1846-ῳ. α') «Ἰστέον, ὅτι ἐλθόντος τοῦ κῦρ Μακαρίου νὰ ζητήσω τὰ θέματα τοῦ Παλαμᾶ [2] καὶ τὸ λογίδριον τοῦ Εὐστρατίου». β') «Ὡς κτῆμα εἰμὶ καὶ ἔσομαι Ἀνθίμου Βιθυνοῦ, κἀγὼ δικαίως λέγω» κτλ.

1. Θέματα, φ. 13-66, ἔνθα τὸ «Τέλος καὶ τῷ ἐν τριάδι Θεῷ δόξα ἀΐδιος, καὶ ἐμοὶ τῷ γεγραφότι συγγνώμη τῷ τάλανι, τοῖς δὲ προθύμως τούτοις ἀδολεσχοῦσι καὶ πράττειν ἐσπουδακόσι βασιλεία αἰώνιος. Γένοιτο ἀφάτῳ καὶ θείῳ ἐλέει». Καὶ πάλιν θέματα, φ. 71-89 καὶ 103-120.

2. Θέματα ἕτερα, ὧν ἡ ἀρχὴ ἐγράφη ἔτει «,αψπε' [1785] σεπτεμβρίου ζ'», φ. 136-166 καὶ 168-198.

3. «Θέματα εἰς τοὺς ἐπιστολικοὺς τύπους», φ. 208-213 καὶ 216-245.

[1] Τοὺς κώδικας τούτους ἐγκλείει κιβώτιον, ὅπερ ὁ πατριάρχης Νικόδημος ἀφιέρωσε τῇ ῥηθείσῃ βιβλιοθήκῃ μετὰ πάσης τῆς λοιπῆς αὐτοῦ βιβλιοθήκης, τῆς συνισταμένης ἐκ πολυαρίθμων καὶ χρησιμωτάτων ἑλληνικῶν τε καὶ ῥωσικῶν ἐντύπων βιβλίων.

[2] Οὗτός ἐστι Παναγιώτης ὁ Παλαμᾶς, περὶ οὗ ὅρα τὴν εἰδικὴν πραγματείαν Π. Θεσπρωτοῦ [Πανδώρας τ. XVII] καὶ Κ. Σάθα νεοελλ. φιλολογ. σ. 573 - 578.



4. «Ἐπιστολαὶ κατὰ τὴν διδασκαλίαν τοῦ σοφωτάτου Θεοφίλου τοῦ Κορυδαλλέως», φ. 248-264.

5. Ἐπιστολὴ ἐξ Ἱερουσαλὴμ (8 ἀπριλίου 1800) πρὸς τὸν ἐν Κωνσταντινουπόλει διατρίβοντα πατριάρχην Ἱεροσολύμων Ἄνθιμον, φ. 246β. Ἑτέρα ἀνωνύμου ἀρχιερέως ἐξ Ἱερουσαλὴμ (1 ἀπριλίου 1801) πρός τινα μητροπολίτην, φ. 265.

6. «Θέματα εἰς τὸ πρῶτον κεφάλαιον τῆς Ἀλεξάνδρου γραμματικῆς περὶ τῶν προτακτικῶν ἄρθρων», φ. 266-281.

7. Ἐπιστολὴ τῆς ἐν Ἱεροσολύμοις ἱερᾶς συνόδου τῶν Ἁγιοταφιτῶν (περὶ τῆς ἐν τῷ ναῷ τῆς Ἀναστάσεως συμβάσης ἔτει 1808-ῳ πυρκαϊᾶς) πρὸς τοὺς ἐν Κωνσταντινουπόλει λαϊκοὺς ἐπιτρόπους τοῦ Παναγίου Τάφου, φ. 315· ἐγράφη δὲ «μετὰ τὴν πυρπόλησιν τοῦ ναοῦ, κατὰ τὸ ͵αωθ′ σωτήριον ἔτος, ἀπριλίου κθ′».

8. Ἑτέρα ἐπιστολὴ τῆς αὐτῆς συνόδου πρὸς τὸν ἡγεμόνα Βλαχίας Ἀλέξανδρον Κωνσταντῖνον Μαυροκορδᾶτον βοεβόδα (29 ἀπριλίου 1809) περὶ τῆς αὐτῆς πυρκαϊᾶς, φ. 316.

9. Δύο τύποι φιλικῶν ἐπιστολῶν, φ. 320β.

10. «Στίχοι ἐπιτύμβιοι ἡρῳελεγεῖοι, συντεθέντες παρὰ τοῦ διδασκάλου Διονυσίου Ἐφεσίου κατὰ τὸ ͵αωμδ′» (φ. 323β) διὰ τὸν ἀποβιώσαντα τότε Κωνσταντῖνον Μιχαὴλ Σαπουντζάκην, ἰατροφιλόσοφον ἐκ Ῥεθύμνης.

11. Στίχοι Ἰακώβου πρωτοψάλτου πρὸς τὸν πατριάρχην Ἱεροσολύμων Ἄνθιμον καὶ ἕτεροι ἰαμβικοὶ διὰ τὸν τάφον Χαραλάμπου τινός, φ. 324β. Οἱ διὰ τὸν πατριάρχην στίχοι ἔχουσιν ὧδε·

Τριὰς ἡ ὑπερούσιος, μόνη κυριαρχία,
τῶν ὄντων ἐκ τοῦ μηδενὸς ἁπάντων ἡ αἰτία,
πηγὴ ἐλέους, ἄβυσσος ἀφάτου εὐσπλαγχνίας
καὶ τῆς ἐν γῇ καὶ οὐρανῷ πάσης ἱεραρχίας,
τῇ τοῦ ἱερομάρτυρος Ἀνθίμου ἱκεσίᾳ
φρούρει τε καὶ περίσωζε κατ' ἄμφω ἐν ὑγείᾳ
τὸν ὁμοτρόπως θαυμαστῶς αὐτῷ ὁμωνυμοῦντα
σοφὸν μακαριώτατον, τανῦν πατριαρχοῦντα
τῶν Ἱεροσολύμων τε καὶ πάσης Παλαιστίνης,
τὴν ἄγκυραν τὴν ἱερὰν τῆς χριστιανωσύνης,
ὃν εἰς μακραίωνας ἡμῖν λιταῖς τοῦ παναγίου
δώρησαι πρὸς ἀνάπαυσιν τοῦ εὐσεβείας πλοίου.



2. Τεῦχος ἐκ φύλλων χάρτου 506, γραφὲν ὑπερμεσούσης τῆς ιη' ἑκατ. ἔστι δὲ μήκους 0,23, πλ. 0,17.


1. Βικεντίου τοῦ Δαμῳδοῦ φυσιολογία μετὰ σχημάτων, διῃρημένη εἰς ἓξ τμήματα, φ. 1-436. Ἀρχ. «Προλεγόμενα εἰς τὴν φυσιολογίαν. Διὰ νὰ ἀρχήσωμεν τὴν φυσικὴν ταύτην ἐπιστήμην» κτλ. Τὴν ἐπιγραφὴν τῆς τύποις ἀνεκδότου ταυτης βίβλου Γεώργιος ὁ Ζαβίρας [Νέα Ἑλλὰς ἢ ἑλληνικὸν θέατρον, ἐκδοθὲν ὑπὸ Γ. Κρέμου. Ἀθήνησι 1872, σ. 208] οὕτω παραδίδωσι· «Φυσιολογία αἰτιολογικὴ εἰς τὴν κοινὴν διάλεκτον ἀριστοτελικὴ σχολαστικὴ καὶ νεωτερική, ἐν ᾗ περὶ τῶν φυσικῶν σωμάτων ἐστὶν ὁ λόγος· συντεθεῖσα παρὰ τοῦ σοφωτάτου καὶ λογιωτάτου ἐν φιλοσοφίᾳ καὶ ἱερᾷ θεολογίᾳ καὶ ἀμφοτέροις τοῖς νόμοις δαφνοφόρου Βικεντίου Δαμῳδοῦ τοῦ ἐκ Κεφαλληνίας».

2. «Προσθήκη περὶ τοῦ καλενδαρίου τῆς Ἐκκλησίας, ὅπου περὶ τῶν κύκλων ἡλίου καὶ σελήνης καὶ τοῦ θεμελίου αὐτῆς καὶ ἄλλων τοῦ χρόνου ἰδιωμάτων ἐστὶν ὁ λόγος», φ. 437-506. Συνεγράφη ἔτει 1744-ῳ. Ὅρα τὸ 490-ὸν φύλλον.

3. «Λεξικὸν ἑλληνο-ῥωσσικὸν» ἀνώνυμον ἐκ σελίδων 1317, γραφὲν περὶ τὴν ἀρχὴν τῆς ιθ' ἑκατ. Μήκους 0,234, πλ. 0,188.


4. Τεῦχος ἐκ φύλλων χάρτου 24, μήκους 0,22, πλ. 0,158.— «Κανὼν ἐγκωμιαστικὸς εἰς τὴν κοίμησιν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ποιηθεὶς παρὰ Προκοπίου, ἱεροδιδασκάλου Πελοποννησίου καὶ καθηγητοῦ χρηματίζοντος τῆς ἐν Ἱερουσαλὴμ σχολῆς [1], προτροπῇ τοῦ μακαριωτάτου πατριάρχου Ἱεροσολύμων κυρίου κυρίου Ἀβραμίου· ὅστις ψάλλεται ἐν τῷ τῆς ἁγίας Γεθσιμανῆς σεβασμίῳ ναῷ τῆς Θεοτόκου, κατὰ τὴν τάξιν τοῦ κανόνος τοῦ μεγάλου Σαββάτου, παρισταμένων τῶν ἱερέων κύκλῳ τοῦ ἐπιταφίου τῆς Θεοτόκου, ἐν ᾧ ὑπάρχει τεθειμένη ἡ εἰκὼν τῆς κοιμήσεως αὐτῆς, ἐνδεδυμένων τὴν ἱερατικὴν στολήν. Ὁ οὖν πρῶτος τῶν ἱερέων λαβὼν θυμιατήριον μετὰ τὴν

[1] Περὶ τοῦ Προκοπίου τούτου ὅρα Γ. Ζαβίρα Νέας Ἑλλάδος σ. 521, Κ. Σάθα νεοελ. φιλολογ. σ. 553, καὶ τῆς Ἱεροσολυμ. Βιβλιοθ. I, σ. 315, 360, 385, 386, 402, 403. II, σ. 29.



ἐννάτην ᾠδὴν θυμιᾷ σταυροειδῶς τὸν ἐπιτάφιον καὶ ἄρχεται ψάλλειν τὸ πρῶτον τροπάριον εἰς ἦχον πλάγιον α': Ἡ ἁγνὴ ἐν τάφῳ κατετέθης κτλ„ φ. 3—21, ἔνθα τὸ σημείωμα τοῦτο· «Τὸ παρὸν βιβλίον ἐγράφθη παρ' ἐμοῦ Παϊσίου ἱερομονάχου τοῦ Ἁγιορίτου, τοῦ ἐκ τῆς Βουλγαρίας - - - ἐν ἔτει ,αψπγ' [1783], ἐν μηνὶ ἰουλίῳ κβ'». Καὶ πάλιν (φ. 22α)· «Τὸ παρὸν βιβλίον συνετέθη καὶ ἀφιερώθη τῷ τῆς ἁγίας Γεθσιμανῆς σεβασμίῳ ναῷ τῆς ὑπεραγίας Θεοτόκου παρ' ἐμοῦ Προκοπίου ἱεροδιδασκάλου Πελοποννησίου, ἐν τῷ ,αψπγ', μηνὶ ἰουλίου, ἡγουμενεύοντος Ἀγαπίου πρωτοσυγκέλλου τοῦ ἐκ Λιβαδίας, ἐξ Ἀθηνῶν». Τὸ πρῶτον φύλλον ἄγραφον· τὸ δεύτερον ἐμπεριέχει τοῦ συγγραφέως ἐπιστολὴν ἀφιερωτικὴν πρὸς Νεόφυτον, μητροπολίτην Ναζαρὲτ (21 ἰουλίου 1783)· ἔχει δὲ αὕτη ὧδε· [1] «Τὸ μὲν τὰ καλῶς ἔχοντα μετακινεῖν, πανιερολογιώτατε δέσποτα, λυμεῶνος μᾶλλον ἢ οἰκονομοῦντός ἐστιν ἄντικρυς· τὸ δὲ τὰ κακῶς πως διακείμενα διορθοῦν πειρᾶσθαι, οὐ μᾶλλον οἰκονομικοῦ, ἢ τοῦ τὰ καλὰ ζηλοῦντός ἐστιν ἴδιον. Ὁποίας δ' οὖν μοίρας τυγχάνω ὢν ἔγωγε ἐν τῷ παρόντι μου ποιηματίῳ

[1] Ὅρα τὸν πρόλογον τοῦ φυλλαδίου, οὗ ἡ ἐπιγραφή· «Ἀκολουθία ἱερὰ εἰς τὴν μετάστασιν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. Ἐκδίδοται κελεύσει τοῦ μακαριωτάτου πατριάρχου τῶν Ἱεροσολύμων κυρίου κυρίου Κυρίλλου. Ἐν Ἱεροσολύμοις, ἐκ τοῦ τοπογραφείου τοῦ Π. Τάφου ,αωξβ'». Αὐτόθι γέγραπται καὶ τοῦτο· «Οὕτως οὖν ἔκτοτε ἄχρι δεῦρο ταῦτα τὰ παρὰ τοῦ Προκοπίου πεποιημένα ἐγκωμιαστικὰ ᾄσματα ἀντὶ παντὸς ἄλλου κατὰ πατριαρχικὴν ἐπικύρωσιν καὶ ἐπιταγὴν ἐψάλλοντο ἐν χειρογράφοις (ἐν τῇ Γεθσημανῇ), καὶ ὑπὲρ πάντα προετιμῶντο πάντοτε, καίπερ τὸ ,αωλζ' καὶ ἕτερα ἐν Βενετίᾳ τύποις ἐξεδόθησαν, φέροντα ἐπιγραφὴν τοιάνδε· "Ἀκολουθία ἱερὰ εἰς τὴν μετάστασιν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἐκ πολλῶν ἐρανισθεῖσα εἰς χρῆσιν τῶν φιλεόρτων χριστιανῶν". Πλὴν ἀλλὰ καὶ τοῦτον τὸν κανόνα (Προκοπίου τοῦ Πελοποννησίου), ἐπειδήπερ οὐκ ἦν ἐν πᾶσι τελείως ἁρμονικός, οὐκ ἔδει καταλειφθῆναι ἀνεπεξέργαστον καὶ ἀδιώρθωτον. Καὶ δὴ πρῶτον μὲν τῶν τροπαρίων τινὰ ἐπιμελείᾳ τοῦ πανοσιωτάτου καθηγουμένου τῆς ἁγίας Γεθσημανῆς κ. Σαμουὴλ τοῦ Πελοποννησίου ἀκριβέστερον θεωρηθέντα καὶ ἐπὶ τὸ καθ' εἱρμὸν ᾄδεσθαι μεταρρυθμισθέντα ἐπιδιωρθώθη· νῦν δὲ τὸ δεύτερον κελεύσει τοῦ μακαριωτάτου πατριάρχου κυρίου κυρίου Κυρίλλου, ἀναθεωρηθεὶς ὅλος ἐξ ὑπαρχῆς ὁ κανὼν καὶ κατά τε τὸν ῥυθμὸν καὶ τὴν ἔννοιαν ἐπὶ τὸ τελεώτερον διασκευασθείς, τύποις ἐκδίδοται, πρὸς εὐκολίαν μὲν τῶν ἐν τῷ εἰρημένῳ τῆς ὑπεραγίας Θεοτόκου πανσέπτῳ ναῷ τὴν ἐπιτάφιον κατ' ἔτος ψαλλόντων ἀκολουθίαν, εὐφροσύνην δὲ καὶ τέρψιν τῶν εὐσεβῶν χριστιανῶν, ὅσοι τοις τοιούτοις ψυχοτερπέσι χαίρουσιν ἀναγνώσμασιν».



τοῦ ἐγκωμιαστικοῦ κανόνος τῆς τῆς Θεοτόκου κοιμήσεως, γνώσεται σαφῶς ἡ πανιερολογιότης αὐτῆς, μετ' ἐπιστάσεως τῆς προσηκούσης παραβαλοῦσα τοῦτο τῷ παρά τινος Ἐμμανουήλου μεγάλου ῥήτορος ποιηθέντι καὶ (ὡς οἶδε) μέχρι τοῦδε πρὸ χρόνων ἱκανῶν ἐν τῷ τῆς ἁγίας Γεθσιμανῆς σεβασμίῳ ναῷ τῆς Θεοτόκου, ἐν τῇ τῆς κοιμήσεως αὐτῆς μνήμῃ ψαλλομένῳ, ἀποχρώντως ἔχουσα εἰς τὴν τούτων διάγνωσιν· ἄλλως τε οὐδὲ οἴκοθεν ὥρμησα εἰς τὴν τούτου μετακίνησιν, οἷα δή τις τῇ φιλοτιμίᾳ δωρούμενος, ἀλλ' ὡς τῷ κοινῷ πατρὶ καὶ πατριάρχῃ ἡμῶν πειθαρχῶν μετακινῆσαι τοῦτο, ὡς μὴ καλῶς ἔχον, ἅτε δὴ ταὐτολογίας πλῆρες καί που κακοσύντακτον, προτρέψαντί με. Εἰ μὲν οὖν δοκεῖ τι τοῦτο ὑπερτερεῖν τοῦ τοῦ Ἐμμανουήλου συντάξει τάξει τε καὶ νοήμασι, καθ' ἣν ἔσχεν ἐπ' ἐμοὶ προσδοκίαν ὁ κοινὸς πατήρ, ἢ ἄλλου του ἄλλῳ τῳ ποιηθέντος, τῆς πανιερολογιότητος λοιπὸν αὐτῆς ἐστιν ἐπιτάξαι τοῦτο ἀντ' ἐκείνου ἀπ' ἄρτι ψάλλεσθαι ἐν τῇ τῆς κοιμήσεως μνήμῃ τῆς Θεοτόκου, τῆς τὸ πρόσωπον τοῦ κοινοῦ πατρὸς ἐπιφερούσης, μέχρις ἂν κἀκεῖθεν κανονισθείη· εἰ δὲ μὴ ἔξεστιν αὐτῇ παίζειν τὰ παίγνια, καὶ αὖ τὸ τοῦ Ἐμμανουήλου ἐπικρατείτω ὡς καλῶς ἔχον, μέχρις ἄν τις ὡς μὴ καλῶς ἔχον ἀποδείξῃ ἄλλος μετακινήσας (καὶ) τὸ κάλλιον τούτου ποιῆσαι, ἤπερ ἐμὲ δύνασθαι».

5. Τεῦχος ἐκ φύλλων χάρτου 39, μήκους 0,23 πλ. 0,10. Τὸ κείμενον μονόστηλον ἐξ 23 γραμμῶν (0,195 × 0,12). — «Ἐκ τῶν Νικομάχου Γερασίνου δύω βιβλίων ἀριθμητικῆς». Ἀρχ. «Ἀριθμός ἐστι πλῆθος ὡρισμένον [Ἐκδόσ. R. Hoche, σ. 13, 7]. Φύλλ. 39 «Τέλος ἐκ τῶν τῆς ἀριθμητικῆς Νικομάχου Γερασίνου. Σὺν Θεῷ ἀντεγράφη ἐν ἔτει σωτηρίῳ ͵αωα' [1801], φευρ: ι'. ἐν πόλει τοῦ Θεοῦ Ἱερουσαλὴμ, διὰ χειρὸς ἀναξίου δούλου τοῦ Θεοῦ Μαξίμου» [= τοῦ Συμαίου].

6. «Σύντομος περίβλεψις τῆς ὑποχονδρίας καὶ τῆς θεραπείας αὐτῆς, συγγραφεῖσα μὲν ὑπὸ Ἠλιοὺ Ἐνεγάλμου - - -, μεταφρασθεῖσα δὲ εἰς τὴν νεωτέραν ἑλληνικὴν γλῶσσαν ὑπὸ Δημητρίου Παππαδοπούλου τοῦ Βυζαντίου, τοῦ ἐν τῇ αὐτοκρατορικῇ ἰατρο-



χειρουργικῇ ἀκαδημίᾳ τῆς Πετρουπόλεως». Φύλλα χάρτου 30, μήκους 0,222, πλ. 0,18.

7. «Σύντομος ἔκθεσις τοῦ συστήματος τοῦ Γάλλου, ἢ ἐπιστήμη περὶ τῶν μυελωδῶν (ἐγκεφαλωδῶν) κυβερνήσεων, ἐκδοθεῖσα μὲν ὑπὸ τοῦ ἀκροατοῦ αὐτοῦ Πολυκάρπου Πουζίνου, αὐλικοῦ συμβούλου καὶ ἱππέως, μεταφρασθεῖσα δὲ εἰς τὴν νεωτέραν ἑλληνικὴν γλῶσσαν ὑπὸ Δημητρίου Παππαδοπούλου τοῦ Βυζαντίου, τοῦ ἐν τῇ αὐτοκρατορικῇ ἰατροχειρουργικῇ ἀκαδημίᾳ τῆς Πετρουπόλεως, ἀσχολίας περὶ ἰατρικὴν σπουδὴν ἄγοντος. Ἐν Πετρουπόλει. Ἐκ τῆς τυπογραφίας - - - 1827». Ὀπίσω τοῦ τίτλου τούτου τύπος ἀδείας πρὸς ἐκτύπωσιν τῆς συντόμου ταύτης ἐκθέσεως, ἐνσφράγιστος καὶ ἐνυπόγραφος ὑπὸ λογοκριτοῦ τῆς Πετρουπόλεως (30 σεπτ. 1829). Φύλλα χάρτου 84, μήκους 0,216, πλ. 0,18.

8. Ματθαίου Τζιγάλλα πασχάλιον αἰώνιον, ἀντιγραφὲν περὶ τὴν ἀρχὴν τῆς ιη' ἑκατ. Φύλλα χάρτου 28, μήκους 0,222, πλ. 0,18.

9–10. Μουσικὸν βιβλίον μετὰ περικεχρυσωμένου καὶ κοκκίνου δέρματος ὑπὸ βιβλιοδέτου συμπεπηγμένον, διῃρημένον δὲ εἰς δύο τόμους, ὧν ὁ μὲν πρῶτος ἀριθμεῖ σελίδας 595, ὁ δὲ ἕτερος 397· ἔστι δὲ μήκους 0,17, πλ. 0,118. Ἐπιγραφή· «Ταμεῖον ἀνθολογίας, ἐμπεριέχον ἅπαντα τὰ ἐλλείποντα ἐν ταῖς ἀνθολογίαις Χουρμουζίου καὶ Θεοδώρου Φωκέως». Ἔνδον τῆς πρώτης πινακίδος τοῦ α' τόμου φύλλα ἑπτὰ παντάπασιν ἄγραφα, ὧν τὸ ἔσχατον μόνον ἔχει τὸ σημείωμα τοῦτο· «Καὶ τόδε πέλει Νικολάου Χρηστίδου, νῦν δὲ Νικόδημος ἱεροδιάκονος», ὁ κατόπιν ἀρχιμανδρίτης, εἶτα ἀρχιεπίσκοπος Θαβωρίου, καὶ πάλιν ὕστερον Ἱεροσολύμων πατριάρχης (1883-1891). Σελίδες τινὲς ἄγραφοι (596-603). Καὶ πρὸ τῆς ἀρχῆς τοῦ β' τόμου φύλλα ἕξ, ὧν τὸ ἔσχατον ἔχει μόνον τὸ «Καὶ τόδε Νικολάου Χρηστίδου», τὸ δεύτερον δὲ σημειώματά τινα γεγραμμένα διὰ τῆς χειρὸς τοῦ πατριάρχου Νικόδημου μόλις τὴν ἐφήβου διανύοντος ἡλικίαν· ταῦτα δὲ κατὰ λέξιν ἔχει ὧδε· «Μετὰ τεσσαρακονθήμερον ἀσθένειαν ἐτελεύτησεν ὁ ἐν μακαρίᾳ τῇ λήξει Ἀθανάσιος πατριάρ-



χης Ἱεροσολύμων, κατὰ τὴν ιϛ′ τοῦ δεκεμβρίου μηνός, κατὰ τὸ ,αωμδ′ ἔτος μ. Χ., ἐτῶν ὢν 93, και ἐτάφη κατὰ τὸ ἐν Κωνσταντινουπόλει Νεοχώριον, κατὰ τὴν ιθ′ τοῦ δεκεμβρίου.—Κατὰ δὲ τὸ ,αωμε′ ἐτελεύτησεν ὁ ἀρχιμανδρίτης, ὁ καὶ καθηγούμενος τοῦ Ἁγιοταφιτικοῦ Με(το)χίου, τοῦ ἐν Κωνσταντινουπόλει, Ἀνανίας, κατὰ τὸν ἰαννουάριον μῆνα.—Κατὰ δὲ τὸ ,αωμε′, μαρτίου ιϛ′, ἐπροβιβάσθη πατριάρχης Ἱεροσολύμων ὁ ἀπὸ Λύδδης κ. κ. Κυριλλος, τὴν πατρίδα Σάμιος, ἐτῶν 55, ὁ εὐκλεῶς ἤδη πατριαρχεύων.—Κατὰ δὲ τὸ ,αωμη′, δεκεμβρίου ϛ′, ἐχειροτονήθην ἱεροδιάκονος παρὰ τοῦ μακαριωτάτου κ. Κυρίλλου, ἔνδον τοῦ Κουβουκλίου τοῦ Π. Τάφου, ἐν Ἱερουσαλήμ. Νικόδημος ἱεροδιάκονος, τὴν πατρίδα Βυζάντιος. — Περὶ δὲ τὸ 1849, νοεμβρίου 8, ἀνεχώρησεν ἐξ Ἱερουσαλὴμ ὁ μακαριώτατος πατριάρχης Ἱεροσολύμων κύριος κύ: Κύριλλος β′: διὰ Κωνσταντινούπολιν. Ἐγὼ ὑπελείφθην μόνος ἐν Ἱερουσαλήμ, ἐκπληρῶν χρέη ὑποδιδασκάλου.—Μηνὶ δ᾽ αὖ ἀπριλίῳ φθίνοντι κατήχθην πρὸς τὴν ἐνεγκαμένην μοι Κωνσταντινούπολιν· ὀλίγων δὲ διελθουσῶν ἡμερῶν τῇ μουσοτρόφῳ καὶ μουσοστεφεῖ σχολῇ τῆς θεολογίας παρεδόθην παρὰ τοῦ προσκυνητοῦ μοι πατρὸς καὶ πατριάρχου κ: Κυρίλλου: ἔτει σωτηρίῳ ,αωνβ′, αὐγούστου 4: φθίνοντος. Νικόδημος». Καὶ ἐν ἑτέρῳ τόπῳ τοῦ β′ τόμου (ὅρα τὸ τέλος τοῦ πίνακος) ἔγραφε τόδε· «Εἰς τὰ 1843 ἐγράφησαν οἱ παρόντες δύο τόμοι παρὰ Πέτρου, πρωτοψάλτου τοῦ Ἁγιοταφιτικοῦ Μετοχίου, εἰς Κωνσταντινούπολιν. Ν(ι-κόλαος) Ὀρφ(ανός)».

11. «Ἀκολουθίαι τῆς Παρακλητικῆς ἕξ, κατὰ τὴν ἡμέραν τῆς ἑβδομάδος· μεθ᾽ ἃς προσετέθησαν καὶ δεκαοκτὼ ἀκολουθίαι ἀνωνύμων ἁγίων καὶ ἑτέρα τῆς Ὀκτωήχου, χρήσιμαι ἅπασαι ἐν ὅλῳ τῷ ἐνιαυτῷ ἑκάστῳ ὁδοιπόρῳ χριστιανῷ. Προσετέθη κἀν τῷ τέλει καὶ μηνολόγιον. Ἐν ἔτει σωτηρίῳ ,αωβ′ [1802], κατὰ αὔγουστον». Τεῦχος ἐκ χάρτου, μήκους 0,166, πλ. 0,114. Σελ. 587.

12. Τεῦχος ἐκ φύλλων χάρτου 234 (μήκους 0,166, πλ. 0,115), ὧν πολλὰ παντάπασιν ἄγραφα· ἐγράφη δὲ μεταξὺ τῶν ἐτῶν 1793 καὶ 1820.



1. Ἐπιστολαὶ Παρθενίῳ πατριάρχῃ Ἀλεξανδρείας (φ. 8β), Νεοφύτῳ ζ' πατριάρχῃ Κωνσταντινουπόλεως (φ. 25), Δανιὴλ τῷ Κεραμεῖ, διδασκάλῳ τῆς ἐν Πάτμῳ σχολῆς (φ. 31), Κωνσταντίνῳ Μιχαὴλ Σούτζῳ βοεβόδᾳ τῆς Οὐγκροβλαχίας (φ. 70β), τῇ συζύγῳ αὐτοῦ καὶ δόμνᾳ Οὐγκροβλαχίας (φ. 73β), Ἀλεξάνδρῳ Κωνσταντίνῳ Μουρούζῃ βοεβόδᾳ Οὐγκροβλαχίας (φ. 75β), Ἀνθεμίῳ πατριάρχῃ Ἀντιοχείας (φ. 84β), Γερασίμῳ μητροπολίτῃ Θεσσαλονίκης (φ. 88β), Προκοπίῳ πατριάρχῃ Κωνσταντινουπόλεως (φ. 90), Φιλαρέτῳ μητροπολίτῃ Οὐγκροβλαχίας (φ. 91).

2. Νεοφύτου ζ', πατριάρχου Κωνσταντινουπόλεως, ἔκδοσις ἀδείας πρὸς τὸν Οὐγκροβλαχίας Φιλάρετον, ἵνα μεταθέσῃ τὸν Σεβαστῆς ἐπίσκοπον Ἰωσὴφ εἰς τὴν ἐπισκοπὴν Ἀρτζεσίου, φ. 95. Ἐγράφη τῇ κα' νοεμβρίου 1793.


3. Ἐπιστολὴ πατριάρχου Κωνσταντινουπόλεως πρὸς τὸν Ἀλῆπασσαν τῆς Ἠπείρου, δι' ἧς ὁμολογοῦνται τούτῳ χάριτες ἐπὶ τῇ πρὸς τὸν πατριάρχην εὐμενείᾳ, φ. 96. Τὴν ὑπονοουμένην ἐν τῷ γράμματι εὐμένειαν ἔμαθεν ὁ πατριάρχης διὰ γραμμάτων τῶν ἀρχιεπισκόπων Καστορίας, Γρεβενῶν, Σισανίου.

4. Νεοφύτου ζ', πατριάρχου Κωνσταντινουπόλεως, ἐπιστολὴ πρὸς τὸν Ἀντιοχείας πατριάρχην Ἀνθέμιον, περὶ τοῦ τρόπου τοῦ παραδέχεσθαι ἐν τῷ πληρώματι τῆς ὀρθοδόξου ἐκκλησίας τοὺς ἐξ αὐτῆς μὲν πρότερον ἀποσκιρτήσαντας καὶ λατινίσαντας, εἶτα δὲ μετανοήσαντας καὶ ἐπιστρέψαντας, φ. 97β. Ἐγράφη τῇ 6-ῃ δεκεμβρίου 1793.

5. Ἐπιστολὴ πρὸς Δοσίθεον μητροπολίτην Οὐγκροβλαχίας, φύλ. 100β.

6. Σεβαστῆς, δόμνας Οὐγκροβλαχίας, ἀπόκρισις εὐχαριστήριος εἰς οἰκουμενικὸν πατριάρχην διὰ τὸν ὑπ' αὐτοῦ εὐλογηθέντα γάμον τῆς θυγατρὸς αὐτῆς δομνίτζης Εὐφροσύνης, τὸν συναφθέντα μετὰ τοῦ πεϊζαδὲ Δημητρίου τοῦ Μουρούζη, φ. 102.

7. Κυρίλλου ς', πατριάρχου Κωνσταντινουπόλεως, γράμμα συνοδικὸν πρὸς τὸν Οὐγκροβλαχίας μητροπολίτην, ἡγεμονεύοντος Μιχαὴλ τοῦ Σούτζου, παρέχον ἄδειαν αὐτῷ τοῦ συνδιαλλάξαι ἢ δια-



ζεῦξαι τὸν ἄρχοντα κόμισσον Βασιλάκην Ῥοσσέτον καὶ τὴν αὐτοῦ σύζυγον Ῥοξάνδραν, φ. 104.

8. Μιχαὴλ Κωνσταντίνου Σούτζου, ἡγεμόνος Οὐγκροβλαχίας, ἐπιστολὴ φιλόφρων πρὸς Ἀθανάσιον, μητροπολίτην Νικομηδείας, φύλ. 123β.

9. Ἀλεξάνδρου Κωνσταντίνου Μουρούζη, ἡγεμόνος Μολδοβλαχίας, ἐπιστολὴ πρὸς Ἀθανάσιον μητροπολίτην Νικομηδείας, φύλ. 124.

10. Δημητρίου Μουρούζη γράμματα δύο πρὸς ἀρχιερέα, φ. 124β.

11. Ἀλεξάνδρου Μουρούζη γράμμα πρὸς Ἀθανάσιον, μητροπολίτην Νικαίας, φ. 126β.

12. Παϊσίου, μητροπολίτου Διδυμοτείχου, γράμμα πρὸς ἕτερον μητροπολίτην, φ. 127β.


13. Νεοφύτου ζ', πατριάρχου Κωνσταντινουπόλεως, ἐπιστολὴ πρὸς Ἀθανάσιον, Μητροπολίτην Νικομηδείας, φ. 129β. Ἐγράφη τῇ 7 μαΐου 1792. Εἰδήσεις τινὰς περὶ τούτου τοῦ μητροπολίτου ὅρα παρὰ τῷ Β. Μυστακίδῃ, Ἱστορικαὶ εἰδήσεις περὶ Κουρουτσεσμέ. Ἐν Ἀθήναις 1888, σ. 22, 25, 27, 39, 67.

3. «Τοῦ σοφωτάτου κυροῦ Νικηφόρου τοῦ Γρηγορᾶ λόγος εἰς τὴν ὑπεραγίαν Θεοτόκον, διαλαμβάνων τήν τε γέννησιν καὶ τὴν εἰς τὰ Ἅγια τῶν Ἁγίων εἴσοδον καὶ ἀνατροφὴν αὐτῆς». Ἀρχ. «Ἀκούω Μωσέα τὸν μέγαν», φ. ιγ'. Ἕτερον ἀντίγραφον ὅρα παρὰ τῷ Λαμπεκίῳ, Commentariorum de aug. bibl. Caesarea Vindobonensis liber VIII, 1679, σ. 64. Jo. Boivini Nicephori Gregorae vita ἐν τῷ Corpus script. hist. byzantinae, pars xix, σ. ι.

4. «Τοῦ σοφωτάτου κυροῦ Νικηφόρου τοῦ Γρηγορᾶ λόγος εἰς τὸν μέγαν ἐν βασιλεῦσι καὶ ἰσαπόστολον Κωνσταντῖνον», οὗ ἡ ἀρχή· «Τὸ μὲν κεφάλαιον τῆς ἐνταῦθα σπουδῆς», φ. κα^{β}. Lambecii comment. liber VIII, σ. 64-70. Πρβλ. Fabrici-Harles, Bibl. Gr. τ. X, σ. 213. Jo. Boivin ἐν τῷ Corpus script. hist. byzantinae, xix, σ. ι.

4. «Τοῦ αὐτοῦ εἰς τὴν ἁγίαν Θεοφανὼ τὴν βασιλίδα». Ἀρχ. «Πολλά μοι πολλάκις τῶν ἀρετῇ καὶ συνέσει διαφερόντων προσίασιν», φ. μη^{β}. Ἕτερα τοῦ αὐτοῦ λόγου ἀντίγραφα ὅρα ἐν τοῖσδε τοῖς βιβλίοις· Lambecii comment. l. IV, 1671, σ. 61. J. Hardt, Catal. cod. MSS bibl. reg. Bavaricae, τ. I, σ. 49. Λατινικὴ μετάφρασις ἔν τινι κώδικι τῶν Βρυξελλῶν, ὃν ἐδήλωσεν H. Omont, Catal.



des MSS grecs de la bibl. royale de Bruxelles. Gand 1885, σ. 39. Ὅρα καὶ Harles ἐν τῇ Φαβρικίου Bibl. Gr. τ. X, σ. 339. Jo. Boavini, Nicephori Gregorae vita ἐν τῷ Corpus script. hist. byzantinae, pars XIX, σ. L. Τῆς Θεοφανοῦς ὑπάρχει τύποις ἐκδεδομένη πλήρης ἀκολουθία, ἧς ἡ ἐπιγραφή· «Ἀκολουθία τῆς ἁγίας ἐνδόξου μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας σὺν τῇ τῆς ὁσίας Θεοφανοῦς τῆς βασιλίδος». Ἐκδ. β' ὑπὸ Δανιὴλ ἱεροδιακόνου τοῦ ἐκ Μετζόβου. Ἐν Κωνσταντινουπόλει 1857, σ. 37-52.

5. «Τοῦ σοφωτάτου κυροῦ Νικηφόρου τοῦ Γρηγορᾶ λόγος εἰς τὸν εὐαγγελισμὸν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου». Ἀρχ. «Ἐμοὶ δὲ τῶν ζωγράφων ἐκείνους πολλάκις ἐπῄει θαυμάζειν» κτλ., φ. ξ'. Ἕτερον ἀντίγραφον ὅρα παρὰ τῷ Λαμπεκίῳ, Comment. l. VIII, σ. 64. Jo. Boivin ἔνθ. ἀνωτ. σ. L.

6. «Τοῦ σοφωτάτου κυροῦ Νικηφόρου τοῦ Γρηγορᾶ λόγος εἰς τὸν ἅγιον μεγαλομάρτυρα Δημήτριον», οὗ ἡ ἀρχή· «Ἐγένετό ποτε ἀπιόντα τινὰ τῶν πάλαι τῆς Ῥώμης στρατηγῶν» κτλ., φ. ξζ^{β}. Κείμενον ἀσημείωτον ἐν τῇ περὶ Νικηφόρου τοῦ Γρηγορᾶ συγγραφῇ τοῦ Boivin.

7. «Τοῦ σοφωτάτου κυροῦ Νικηφόρου τοῦ Γρηγορᾶ λόγος εἰς τὸν ἅγιον μεγαλομάρτυρα Μερκούριον», οὗ ἡ ἀρχή· «Καὶ κυβερνήτης δὲ πρὸς ἀνέμων παραταττόμενος βίαν» κτλ., φ. οδ^{β}. Ἕτερον ἀντίγραφον ὅρα παρὰ τῷ Hardt, Catal. τ. I, σ. 50. J. Boivin ἔνθ. ἀνωτ. σ. XLIX-L.

8. «Τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως κυροῦ Γρηγορίου τοῦ Κυπρίου λόγος εἰς τὸν μεγαλομάρτυρα καὶ τροπαιοφόρον Γεώργιον», οὗ ἡ ἀρχή· «Ἔθος τοῦτο τῶν λόγοις ἀγωνιζομένων», φ. οη'. Migne τ. 142, σ. 300.

9. «Τοῦ σοφωτάτου καὶ ἀοιδίμου πατριάρχου Κωνσταντινουπόλεως κυροῦ Γρηγορίου τοῦ Κυπρίου λόγος εἰς τὴν ἁγίαν καὶ ἔνδοξον μεγαλομάρτυρα τοῦ Χριστοῦ Μαρίναν». Ἀρχ. «Καὶ τὴν ἐκκλησίαν ἄρα» κτλ., φ. ϟα^{β}. Ἕτερον ἀντίγραφον ἐδήλωσε Lambecius, Comment. liber VIII, σ. 71. Πρβλ. Harles ἐν τῇ Bibl. Gr. τ. X, σ. 287.



10. «Τοῦ σοφωτάτου κυροῦ Ἰωάννου τοῦ Γαβρᾶ λόγος εἰς τὴν εἴσοδον τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου, τὴν εἰς τὰ Ἅγια τῶν Ἁγίων». Ἀρχ. «Ὁ νῦν ἐν λόγοις οὗτος ἀγὼν» κτλ., φ. ρβ'. Boissonade, Anecdota Graeca, τ. III, σ. 71-111.

11. «Γεωργίου ἐπισκόπου Νικομηδείας εἰς τὴν ὑπεραγίαν Θεοτόκον καὶ εἰς τὸ σωτήριον πάθος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ εἰς τὸ Εἱστήκεσαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ». Ἀρχ. «Πρὸς ὑψηλοτάτην ἡμῖν ἀναδραμὼν ὁ λόγος περιωπὴν» κτλ., φ. ριε.' Migne τ. 100, σ. 1457.

12. «Ἰωάννου μητροπολίτου Εὐχαΐτων ἐγκώμιον εἰς τοὺς τρεῖς μεγάλους ἁγίους, Βασίλειον, Γρηγόριον καὶ Ἰωάννην τὸν Χρυσόστομον». Ἀρχ. «Πάλιν Ἰωάννης ὁ τὴν γλῶτταν χρυσοῦς», φ. ρκζ^{β}. Iohannis Euchait. metrop. quae in cod. Vatic. graeco 676 supersunt, ed. P. de Lagarde. Gottingae 1882, σ. 106-119. Ά. Π. Κεραμέως, Μαυρογορδ. βιβλιοθ. I, σ. 41 ἐν ὑποσημειώσει.

13. «Τοῦ σοφωτάτου καὶ λογιωτάτου μοναχοῦ κυροῦ Μαξίμου τοῦ Πλανούδη λόγος εἰς τὴν θεόσωμον ταφὴν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ» Ἀρχ. «Ἃ μὲν ἄν τις εἰκάσῃ», φ. ρλϛ'. Migne τ. 147, σ. 985.

14. «Τοῦ αὐτοῦ εἰς τοὺς κορυφαίους τῶν ἀποστόλων, Πέτρον καὶ Παῦλον». Ἀρχ. «Ἐδόκει μοι λέγειν τι», φ. ρμε'. Migne τ. 147, σ. 1017.

15. «Τοῦ αὐτοῦ ἐγκώμιον εἰς τὸν ἅγιον μεγαλομάρτυρα Διομήδην», οὗ ἡ ἀρχή· «Ἄλλοις μὲν ἄλλως ἐπῃνέθη τὰ τῶν μαρτύρων», φ. ροβ'. Ἕτερον ἀντίγραφον ἐν τῷ 441-ῳ κώδικι τῆς ἐν Μόσχᾳ συνοδικῆς βιβλιοθήκης. Ἀρχιμ. Βλαδιμίρου, Систематическое описаніе рукоп. Московской Синод. библ. σ. 676.


16. «Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυροῦ Θεοδούλου τοῦ μαγίστρου λόγος εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν καὶ ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως Γρηγόριον τὸν Θεολόγον». Ἀρχ. «Οὐχ ὅπως οὐδ' ἂν εἷς οἶμαι τῶν πάντων» κτλ., φ. ρϞ'. Migne τ. 145, σ. 215-352.



17. «Τοῦ αὐτοῦ σοφωτάτου κυροῦ Θεοδούλου μοναχοῦ τοῦ μαγίστρου ἐγκώμιον εἰς τὸν μέγαν τοῦ Χριστοῦ βαπτιστὴν καὶ πρόδρομον Ἰωάννην». Ἀρχ. «Ἀλλ' ἔμοί γε τοῖς σοῖς ἐπιβαλεῖν ἐγκωμίοις» κτλ., φ. σκββ. Fabrici, Bibl. Graeca X, σ. 257.

13. «Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυρίου Θεοφίλου τοῦ Κορυδαλ(λ)έως, τοῦ Ἀθηναίου, εἰς τὰ περὶ ψυχῆς τοῦ Ἀριστοτέλους βιβλία ὑπομνήματα» μετὰ πυκνῶν ἐν ταῖς ᾤαις σχολίων. Φύλλα χάρτου γεγραμμένα 217, μήκους 0,285, πλ. 0,195. Τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ γραμμῶν 32 (0,22 × 0,115). Ὑπὲρ δὲ τὴν ἐπιγραφὴν ὑπάρχει κόσμημα μελαν, ἐν ᾧ γέγραπται σημείωμα κεφαλαιώδεσι γράμμασιν, ἔχον ὧδε· «† Ἐν ἔτει καθ' ὃ γέγραπται ,αψνα', ἀπρ(ιλίου) κα', παρὰ Κωνσταντίνου μαθητοῦ τοῦ σοφωτάτου κυροῦ Θεοδώρου τοῦ Δακίας βου διδασκ(άλου) χρηματ(ίσαντος)». Ὁ δὲ Θεόδωρος οὗτός ἐστι καὶ συγγραφεὺς τύποις ἀνεκδότου βιβλίου, οὗ ἡ ἐπιγραφή· «Σημειώσεις τινὲς εἰς τὸ ἐπιστολάριον τοῦ Κορυδαλ(λ)έως παρὰ τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου διδασκάλου τοῦ ἐν Βουκουρεστίῳ ἡγεμονικοῦ γυμνασίου κυροῦ Θεοδώρου τοῦ ἐκ Δρύστρας, κατὰ τὸ ,αψπη' ἔτος τὸ ζῆν ἐκμετρήσαντος». C. Erbiceanu ἐν τῇ ρωμουνικῇ Rev. Teologica III, σ. 29-30.

14. Τετραευαγγέλιον τῆς δεκάτης ἑκατονταετηρίδος, συνιστάμενον ἐκ φύλλων μεμβρανίνων 191 (μήκους 0,223, πλάτους 0,148), ἔχον δὲ τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ γραμμῶν 27 (0,155 × 0,155), κοσμήματά τε τέσσαρα (φ. 11α, 57α, 91α, 146α), πολυχρώματα καὶ χρυσᾶ, πίνακάς τε κανονίων μετὰ κόσμου πολλοῦ καὶ τὰς ἐπιγραφὰς ὁλοχρύσους· τῇ δὲ ιγ' ἑκατ. τὸ κείμενον ὑπό τινος ἀναγνώστου πολλαχοῦ διωρθώθη, προσθέντος ἐν τῷ κώδικι καί τινα σχόλια κοκκινόγραπτα καὶ σημειώματα τἀναγινωσκόμενα ἐν ταῖς ἐκκλησίαις δεικνύοντα μέρη τῶν εὐαγγελίων· χρυσοῖς δὲ γράμμασιν ὁ τοῦ κώδικος ἀντιγραφεὺς ἔγραψε τὰ τοῖς εὐαγγελισταῖς ἀνατεθειμένα ἐπιγράμματα καὶ τοὺς πίνακας κεφαλαίων οἷς τὰ εὐαγγέλια διῄρηνται.—α') «Ὑπόθεσις κανόνος τῆς τῶν εὐαγγελιστῶν συμφωνίας» ὑπὸ Εὐσε-



βίου, φ. 1.—β') «Κοσμᾶ Ἰνδικοπλεύστου» τεμάχιον, οὗ ἡ ἀρχή· «Ἔλθωμεν λοιπὸν καὶ ἐπὶ τοὺς εὐαγγελιστάς», φ. 2. — γ') Κεφάλαια τοῦ κατὰ Ματθαῖον εὐαγγελίου, φ. 3β.—δ') «Ἐπίγραμμα εἰς τὸν ἅγιον Ματθαῖον», οὗ ἡ ἀρχή· «Ὁ πρὶν τελώνης», φ. 4β. — ε') Πίνακες τῶν κανονίων, φ. 5β. — ς') «Εὐαγγέλιον κατὰ Ματθαῖον», φ. 11.—ζ') «Ἐπίγραμμα εἰς τὸ ἅγιον Μᾶρκον», οὗ ἡ ἀρχή· «Τὴν τοῦ Θεοῦ κένωσιν», φ. 56.—η') «Κοσμᾶ Ἰνδικοπλεύστου» τεμάχιον, οὗ ἡ ἀρχή· «Οὗτος ὁ δεύτερος», φ. 56.—θ') Κεφάλαια τοῦ κατὰ Μᾶρκον εὐαγγελίου», φ. 56β. — ι') «Εὐαγγέλιον κατὰ Μᾶρκον», φ. 57.—ια') «Ἐπίγραμμα εἰς τὸν ἅγιον Λουκᾶν τὸν εὐαγγελιστήν», οὗ ἡ ἀρχή· «Τρίτος δὲ Λουκᾶς», φ. 87.—ιβ') Κοσμᾶ Ἰνδικοπλεύστου τεμάχιον, οὗ ἡ ἀρχή· «Οὗτος ὁ Λουκᾶς ὁ τρίτος», φ. 87β.—ιγ') «Παραγραφή», ἧς ἡ ἀρχή· «Καὶ οὗτος ὁ κήρυξ τῆς Νέας Διαθήκης μετὰ ταῦτα τοῖς ἄλλοις ἐξεῖπεν», φ. 88.—ιδ') «Κεφάλαια τοῦ κατὰ Λουκᾶν εὐαγγελίου», 88β. — ιε') «Εὐαγγέλιον κατὰ Λουκᾶν», φ. 91. — ις') «Ἐπίγραμμα εἰς τὸν ἅγιον Ἰωάννην καὶ εὐαγγελιστὴν καὶ θεολόγον», Ἀρχ. «Ἀεὶ γὰρ οὗτος», φ. 143β.—ιζ') Κοσμᾶ Ἰνδικοπλεύστου τεμάχιον, οὗ ἡ ἀρχή· «Οὗτος ὁ θεολόγος Ἰωάννης», φ. 143β.—ιη') Κεφάλαια τοῦ κατὰ Ἰωάννην εὐαγγελίου, φ. 145.—ιθ') «Εὐαγγέλιον κατὰ Ἰωάννην», φ. 146.— κ') «Ἀρχοτελίαι [sic] τοῦ εὐαγγελίου, ἀρχόμεναι ἀπὸ τὸ ἅγιον Πάσχα καὶ μέχρι συμπληρώσεως τοῦ χρόνου», φ. 185.—κα') «Ἀναγνώσματα τῶν δεσποτικῶν ἑορτῶν καὶ τῶν ἐγκρίτων πατέρων ἀπὸ μηνὸς ἰουνίου καὶ ἑξῆς, ἕως τοῦ αὐτοῦ μηνὸς τοῦ ὅλου ἐνιαυτοῦ», φ. 192β. Τὸ τέλος ἐλλείπει.

15. Τετραευαγγέλιον γραφὲν ἢ περὶ τὸ τέλος τῆς ἑνδεκάτης ἢ περὶ τὴν ἀρχὴν τῆς δυοκαιδεκάτης ἑκατονταετηρίδος, καὶ συνιστάμενον ἐκ φύλλων μεμβρανίνων 258 (μήκους 0,215, πλ. 0,155), ὧν τὸ κείμενόν ἐστι κατὰ σελίδα μονόστηλον ἐκ γμαμμῶν 22 (0,14 × 0,09)· κοσμεῖται δέ τισι κοσμήμασι (φ. 10α, 77α, 121α, 124α, 201α) καὶ τέσσαρσιν ἀκαλλέσιν εἰκόσι τῶν εὐαγγελιστῶν, Ματθαίου Μάρκου Λουκᾶ καὶ Ἰωάννου (φ. 9β, 76α, 123β, 200β)·



φύλλα δέ τινα παντάπασιν ὁ καλλιγράφος ἀφῆκεν ἄγραφα (1β, 2, 3, 4, 9α, 122β, 123α, 199α, 200α, 259β, 260)· ἦν δὲ πρότερον ὁ κῶδιξ τῆς λαύρας τοῦ ἁγίου Σάβα (φ. 258β). Καὶ ἐν μὲν τῇ πρώτῃ σελίδι τεμάχιον ὑπάρχει τοῦ κατὰ Ματθαῖον εὐαγγελίου (ιζ' 5-12), ἐν δὲ τῇ πρώτῃ τοῦ 5-ου φύλλου ὑπόθεσις εἰς τοῦτ' αὐτὸ τὸ εὐαγγέλιον ἐπ' ὀνόματι Κοσμᾶ Ἰνδικοπλεύστου· τούτου δὲ τοῦ Κοσμᾶ ὑποθέσεις εἰς ἕτερα δύο εὐαγγέλια πάλιν ὁ κῶδιξ ἐν ἄλλοις ἔχει τόποις (φ. 121α, 197β)· αὐτὰ δὲ τὰ εὐαγγέλια, προτεταγμένους ἔχοντα πίνακας τῶν κεφαλαίων οἷς διῄρηνται γράμμασι κοκκίνοις, τὴν ἀρχὴν αὐτῶν ποιοῦσιν ἀπὸ τῶνδε τῶν φύλλων: 9β, 77α, 124α καὶ 201α. Ἐν δὲ τῇ πρώτῃ σελίδι τοῦ 255-ου φύλλου γέγραπται σημείωσις, ἧς ἡ ἀρχή· «Ἰάκωβος γενόμενος ἐπίσκοπος πρῶτος Ἱεροσολύμων ὑπὸ τῶν ἀποστόλων ἀδελφὸς μὲν τοῦ Κυρίου κατὰ σάρκα ἐλέγετο εἶναι, υἱὸς δὲ τοῦ τέκτονος Ἰωσήφ· Ἰωσὴφ γὰρ ἐκ τῆς βιωτικῆς αὐτοῦ γυναικὸς ἀδελφὸς Σίμωνος καὶ Ἰούδα καὶ Ἰωσῆ· τέσσαρας γὰρ υἱοὺς ἔσχεν ὁ Ἰωσὴφ καὶ δύο θυγατέρας, τήν τε Αἰσθὴρ καὶ τὴν Θάμαρ ἐκ τῆς γυναικὸς αὐτοῦ τῆς Σαλώμης, θυγατρὸς δὲ Ἀγγαίου τοῦ ἀδελφοῦ Ζαχαρίου τοῦ ἱερέως, τοῦ πατρὸς Ἰωάννου τοῦ βαπτιστοῦ» κτλ. Ἐν δὲ τῇ πρώτῃ σελίδι τοῦ 256-ου φύλλου ἡ ἀρχὴ διατριβῆς ὑπάρχει περὶ τοῦ «Ὅτι οὐ διαφωνοῦσιν οἱ τέσσαρες εὐαγγελισταὶ περὶ τὴν τοῦ Χριστοῦ ἀνάστασιν», καὶ πάλιν ἐν τῇ πρώτῃ τοῦ 259-ου φύλλου διατριβῆς ἑτέρας ἡ ἀρχὴ περὶ τοῦ «Ὅτι διαφόρως κατὰ τὴν ἀνάστασιν ὤφθη τοῖς μαθηταῖς» ὁ Χριστός.

16. Τεῦχος μεμβράνινον τῆς δυοκαιδεκάτης ἑκατονταετηρίδος ἐκ φύλλων μεμβρανίνων 336 (μήκους 0,206, πλ. 0,155), κείμενον ἔχον κατὰ σελίδα μονόστηλον ἐκ γραμμῶν 32 ἢ 33 (0,143×0,10), λεπτοῖς γράμμασι γεγραμμένον ἐπιμελῶς, καὶ τῶν κειμένων χρυσᾶς ἐπιγραφάς, εἰκόνας δὲ πολυχρωμάτους οὐκ ὀλίγας· φύλλα δὲ πλήρη παντάπασιν ἄγραφα τάδ' ἔχει: 1, 2, 7, 66, 132, 170, 188, 283 καὶ 297· σελίδας δὲ μονὰς ἀγράφους τάσδε: 8α, 9β, 10α, 45α, 69α, 133α, 171α, 189α, 259β, 260α 261β, 262α, 284α, 296β, 298α, 327β καὶ 328α. Σημειωτέον,



ὅτι ἐν τῷ 2-ῳ φύλλῳ περιέχεται σημείωμαι περὶ τοῦ εἶναι τοῦτο τὸ τεῦχος «Τοῦ ἁγίου Σταυροῦ τῶν Ἰβήρων».— Τὰ τέσσαρα εὐαγγέλια, Πράξεις, ἐπιστολαὶ τῶν ἀποστόλων καὶ Ψαλτήριον. α΄) φ. 3-6. Κανόνια τῶν εὐαγγελικῶν ἀναγνωσμάτων ὑπὸ στοὰς κεκαλλωπισμένας. β΄) φ. 8β. Πίναξ ὁλοσέλιδος ἀπεικάζων ἐν μέσῳ βουνῶν τὸν εὐαγγελιστὴν Ματθαῖον νεάζοντα, τῇ δεξιᾷ κρατοῦντα βιβλίον καὶ προσευχόμενον, ἐκ δὲ τοῦ οὐρανοῦ προβάλλει χεὶρ αὐτῷ ῥίπτουσα χάρτην. γ΄) φ. 9α. Πίναξ ὁλοσέλιδος ἐν πλαισίῳ, οὗτινος αἱ τέσσαρες γωνίαι κατέχονται ἐκ συμβόλων τῶν εὐαγγελιστῶν, τὸ δ' ἔδαφος αὐτοῦ σταυρὸν ἔχει μετὰ πυξίδος ἐν τῷ κέντρῳ, τὴν προτομὴν τοῦ Χριστοῦ φερούσης· περὶ δὲ τὴν πυξίδα τεσσάρων ὑπάρχουσιν ἀγγέλων ἀπεικάσματα. δ΄) φ. 10β. Πίναξ ὁλοσέλιδος ἐν πλαισίῳ παριστῶν οἰκίας ἀναλογεῖον καὶ Ματθαῖον τὸν εὐαγγελιστὴν καθήμενον καὶ γράφοντα. ε΄) φ. 11-44. Τὸ κατὰ Ματθαῖον εὐαγγέλιον, οὗ τὴν κεφαλίδα κόσμημα κοσμεῖ τετράπλευρον, ἄνω μὲν δύο περιστερὰς ἔχον, ἐν δὲ τῷ μέσῳ πυξίδα προτομὴν ἐγκλείουσαν τοῦ Χριστοῦ. ϛ΄) φ. 45β. Πίναξ ὁλοσέλιδος ἐν πλαισίῳ παριστῶν οἰκίας, ἀναλογεῖον μετὰ εἰλητοῦ βιβλίου ἀνεπτυγμένου καὶ Μᾶρκον τὸν εὐαγγελιστὴν καθήμενον, τῇ μὲν ἀριστερᾷ κρατοῦντα βιβλίον καὶ γραφίδα, τὴν δὲ κεφαλὴν ἔχοντα κεκλιμένην ἐστηριγμένην τε τῇ δεξιᾷ χειρί. ζ΄) φ. 46 κἑ. Τὸ κατὰ Μᾶρκον εὐαγγέλιον, οὗ τὴν ἀρχὴν κόσμημα τετραγώνου παραλληλογράμμου κοσμεῖ σχήματος. η΄) Πίναξ ὁλοσέλιδος ἐν πλαισίῳ παριστῶν οἰκίας ἀναλογεῖον καὶ Λουκᾶν τὸν εὐαγγελιστὴν καθήμενον. θ΄) φ. 70 κἑ. Τὸ κατὰ Λουκᾶν εὐαγγέλιον μετὰ τετραγώνου παραλληλογράμμου κοσμήματος. ι΄) φ. 106α. Κόσμημα τετράπλευρον ἔχον ἐν τῷ μέσῳ πυξίδα μετὰ κεφαλῆς νεανίου, καὶ ἀρχὴ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου. ια΄) φ. 133β. Πίναξ ὁλοσέλιδος ἐν πλαισίῳ παριστῶν οἰκίας καὶ τὸν Λουκᾶν ἱστάμενον, τὴν μὲν δεξιὰν ὑψωμένην ἔχοντα, τῇ δὲ ἀριστερᾷ κρατοῦντα εἰλητὸν ἀνεπτυγμένον. ιβ΄) φ. 134α. Κόσμημα μετὰ πυξίδος, ἐγκλειούσης προτομὴν τοῦ Χριστοῦ, καὶ ἀρχὴ τῶν Πράξεων. ιγ΄) φ. 171β. Πίναξ ὁλοσέλιδος ἀπεικάζων οἰκίας καὶ τὸν

ἀπόστολον Ἰάκωβον, τὴν μὲν δεξιὰν ὑψωμένην ἔχοντα, τῇ δὲ ἀριστερᾷ κρατοῦντα εἱλητὸν ἀνεπτυγμένον. ιδ') φ. 172α. «Ἰακώβου ἐπιστολὴ καθολική». ιε') φ. 175β. «Πέτρου τοῦ ἀποστόλου καθολικὴ ἐπιστολὴ α'» καὶ πίναξ ἀπεικάζων αὐτὸν εὐλογοῦντα κεκλιμένως καὶ κρατοῦντα εἱλητόν. ιϛ') φ. 179α. Τοῦ αὐτοῦ ἐπιστολὴ β'. ιζ') Ἰωάννου καθολικὴ ἐπιστολὴ α' καὶ πίναξ ἀπεικάζων αὐτὸν γέροντα κεκυφότα καὶ βιβλίον ἀναγινώσκοντα. ιη') φ. 185α. Τοῦ αὐτοῦ ἐπιστολὴ β'. ιθ') φ. 185β. Τοῦ αὐτοῦ ἐπιστολὴ γ'. κ') φ. 186β. Ἰούδα καθολικὴ ἐπιστολὴ καὶ πίναξ ἐν μέσῳ δύο οἰκιῶν ἐπ' ὀρέων ἀπεικάζων αὐτὸν ἱστάμενον, τὴν μὲν δεξιὰν ὑψωμένην ἔχοντα, τῇ δὲ ἀριστερᾷ κρατοῦντα βιβλίον. κα') φ. 189β. Πίναξ ὁλοσέλιδος ἀπεικάζων ἐν μέσῳ οἰκιῶν ἱστάμενον Παῦλον τὸν ἀπόστολον πωγωνοφόρον, εὐλογοῦντά τε καὶ βιβλίον κρατοῦντα. κβ') φ. 190—259α. Ἐπιστολαὶ Παύλου, ὧν ἡ πρὸς Ἑβραίους πρὸ τῆς πρὸς Τιμόθεον ἐπιστολῆς. κγ') φ. 260β. Πίναξ ὁλοσέλιδος ἀπεικάζων ὄρος τρικόρυφον καὶ νεανίαν τινὰ καθήμενον, τὸν Δαυίδ, ψαλτήριον παίζοντα, ἑκατέρωθέν τε δύο παῖδας ἔχοντα, τὸν μὲν κιθάραν κρούοντα, τὸν δὲ κύμβαλον. κδ') φ. 261α. Πίναξ ὁλοσέλιδος, ἐν ᾧ φρούριον ἀπεικάζεται μετὰ θυρίδος, ἐξ ἧς κεφαλὴ γυναικὸς ἐστεμμένης προβάλλει· παρέρχονται δὲ πρὸ φρούριον ζῷά τινα φέροντα θάλαμον, ἐν ᾧ κάθηται γυνή· τούτων δὲ προπορεύεται νεανίας χιτῶνα βραχὺ φέρων πορφυροῦν καὶ περικνημίδας ὑψηλάς. κε') φ. 262β. Πίναξ ὁλοσέλιδος ἀπεικάζων οἰκίας καὶ τούτων μέσον νεανίαν ἡγιασμένον, τὸν Δαυίδ, καθήμενόν τε καὶ ψαλτήριον κρούοντα. κϛ') φ. 263α. «Ψαλτήριον τερπνόν, εἰς Θεὸν μέλος», καὶ κόσμημα τὸν Χριστὸν ἀπεικάζων ἱστάμενον ἐν τῷ μέσῳ. κζ') φ. 284β. Πίναξ ὁλοσέλιδος ἀπεικάζων τὸν Δαυὶδ καθήμενον ἔξω μεγάρου καὶ διαλεγόμενον τῷ προφήτῃ Νάθαν· πρὸς δὲ τὸν Δαυὶδ ἐξ οὐρανοῦ κατέρχεταί τις ἄγγελος. κη') φ. 297α. Πίναξ ὁλοσέλιδος ἀπεικάζων ὄρος οἰκίαν ἀνδρῶν τε καὶ γυναικῶν ὅμιλον, ὃν Ἰησοῦς ὁ Χριστὸς ἱστάμενος εὐλογεῖ. κθ') φ. 327α. Πίναξ ἀπεικάζων τὴν μετὰ Γολιὰθ τοῦ γίγαντος πάλην. λ') φ. 328β. Πίναξ ὁλοσέλιδος ἀπεικάζων τὸν Μωσέα τὴν Ἐρυθρὰν



διασχίσαντα θάλασσαν καὶ διερχόμενον ταύτην μετὰ τοῦ Ἰσραήλ. λα΄) φ. 329α. Ὠδὴ Μωϋσέως ἐν τῇ Ἐξόδῳ καὶ μικρὸς πίναξ ἐγκλείων εἰκόνας τριῶν γυναικῶν. λβ΄) φ. 330α. Ὠδὴ τοῦ αὐτοῦ ἐν τῷ Δευτερονομίῳ καὶ πίναξ μικρὸς ἀπεικάζων τὸ ὄρος Σινὰ καὶ τὸν Μωϋσέα προσευχόμενον ἐν κατανύξει. λγ΄) φ. 331β. Ὠδὴ Ἄννης τῆς προφήτιδος καὶ μικρὸς πίναξ ἀπεικάζων ναὸν καὶ τὴν Ἄνναν γονυπετῆ προσευχομένην. λδ΄) φ. 332α. Ὠδὴ Ἀμβακοὺμ καὶ πίναξ μικρὸς ἀπεικάζων αὐτὸν ἐπ' ὄρους προσευχόμενον. λε΄) φ. 333α. Ὠδὴ Ἰωνᾶ καὶ πίναξ μικρὸς παριστῶν αὐτὸν ἐκ τοῦ στόματος ἰχθύος ἐρευγόμενον καὶ πρὸς τὸν Θεὸν εὐχαριστίας ἀναπέμποντα. λϛ΄) φ. 334α. Προσευχὴ τῶν τριῶν παίδων καὶ πίναξ αὐτοὺς ἀπεικάζων γονυπετεῖς προσευχομένους. λζ΄) φ. 335β. Ὠδὴ τῶν αὐτῶν καὶ πίναξ αὐτοὺς ἐν καμίνῳ παριστῶν, τὴν δὲ κάμινον ἄγγελος σκέπει. λη΄) φ. 336α. Ὠδὴ τῆς Θεοτόκου καὶ πίναξ ἀπεικάζων ναὸν καὶ τὴν Θεοτόκον προσευχομένην. λθ΄) φ. 336β. Προσευχὴ Ζαχαρίου.

17. Τεῦχος ἐκ χάρτου. Σελίδες κειμένου 271 καὶ πίνακος ἀλφαβητικοῦ 9. — Αὐτόγραφον Νεοφύτου Ἁγιοταφίτου Κυπρίου, οὗτινος ἡ σύνταξις ἔληξε τῇ 3-η μαρτίου μηνός, ἔτους 1829-ου. «Ἐμπρησμὸς τῆς Παλαιονομίας, ἤτοι ἀντίρρησις εἰς τὴν πρὸς ὀρθοδόξους Ἕλληνας ἡμᾶς ἐπιστολὴν τῶν Λουθηροκαλβίνων, Παλαιονομία ὀνομαζομένην»[1]. Ἐν τῷ προλόγῳ γέγραπται καὶ τοῦτο. Οἱ Λουθηροκαλβῖνοι «ἐτύπωσαν τόσα βιβλιάρια τὴν κακοδοξίαν των περιέχοντα εἰς διαφόρους γλώσσας, καθὼς καὶ εἰς τὴν ἡμετέραν, καὶ τὰ διεμέρισαν εἰς πολλοὺς τόπους, ἀποστείλαντες πολλὰ ἐκ τούτων καὶ ἐνταῦθα εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλήμ· τὰ ὁποῖα ἡμεῖς ἀναγνώσαντες, καὶ τὰς εἰς αὐτὰ περιεχομένας αἱρέσεις καὶ βλασφημίας κατιδόντες καὶ κατηγορίας κατὰ τῶν δογμάτων καὶ ἐθίμων τῆς ἀμωμήτου ἡμῶν πίστεως, δὲν ἐλείψαμεν τοῦ νὰ κατακρίνωμεν ταῦτα καὶ νὰ ἀπαγορεύσωμεν τὴν τούτων ἀνάγνωσιν εἰς πάντας τοὺς πιστοὺς ἐκκλησιαστικῶς».

[1] Πρβλ. Κ. Οἰκονόμου τὰ σωζόμενα ἐκκλησιαστικὰ συγγράμματα. Ἀθήνησι ͵αωξβ΄-͵αωξϛ΄, τ. ΙΙ, σ. 334.



18. Λειτουργικὸν ἑλληνικὸν εὐαγγέλιον σφόδρα πολύτιμον, ὅπερ ἐκ προστάξεως αὐτοκρατορικῆς ἐγράφη καὶ δῶρον ἔτει 1596-ῳ δεδώκασι κοινῇ τῷ Παναγίῳ Τάφῳ Ῥῶσος δικτάτωρ, Βόρισος ὁ Γουδουνόβιος, καὶ Ῥῶσος αὐτοκράτωρ, ὁ Θεόδωρος Ἰωάννου· μηνύει δὲ τούτων τὴν δωρεὰν ἐπιγραφὴ ῥωσική τε καὶ ἑλληνική, ἣν ἔχουσι γράμμασιν ἀναγλύπτοις αἱ καλύπτουσαι τὰς πινακίδας χρυσαῖ τε καὶ λιθοποίκιλτοι πλάκες [1]. Ἔστι μὲν οὖν τὸ βιβλίον μήκους 0,392, πλάτους 0,27· φύλλα δὲ χάρτου στιλπνοῦ τε καὶ παχέος ἀριθμεῖ 446, ἔξω τῶν ὑπὸ τοῦ σταχωτοῦ προστεθέντων ἔνδον τῶν πινακίδων· καὶ γὰρ οὗτος ἔνδον μὲν τῆς πρώτης αὐτῶν ἔθετο χάρτου φύλλα παντάπασιν ἄγραφα τὸν ἀριθμὸν ἕνδεκα, ἔνδον δὲ τῆς ἑτέρας ἕξ· ταύτας δὲ τὰς πινακίδας καλύπτουσι πλάκες ἐν Μόσχᾳ κατειργασμέναι παχύταται καθαρωτάτου χρυσοῦ, ὧν ἡ μὲν δευτέρα φέρει πυξίδας ἐγκλειούσας ἔκτυπα χερουβίμ, καὶ κόσμον ἕτερον γλυπτὸν ἔγκαυστον, εἰκόνας τε γλυπτῶν ἀνθέων καὶ χρυσᾶς πόρπας πέντε, τέσσαρας μεγάλους περιβαλλούσας πολυτίμους λίθους, ὅ ἐστι σαπφείρους, μέσον ἔχοντας κιτρίου χρώματος ἕτερον λίθον, τοπάζιον· ἡ δὲ πρώτη πλὰξ ἔχει λίθους μεγάλους πολυτίμους ὡσαύτως οὐκ ὀλίγους, ἑπτακαίδεκα μὲν πρασίνου χρώματος, σμαράγδους, σαπφείρους δ' ἐννέα, λυχνίτην δὲ λίθον ἕνα, ἰάσπεις δὲ πέντε ῥοδόχρους, ἕνα δὲ ἀμέθυστον ἰόχρουν, ὀκτωκαίδεκά τε μεγάλους μαργαρίτας καὶ πολλοὺς ἑτέρους μικρούς, ἔτι δ' ἐκτύπους ἐπὶ τοῦ χρυσοῦ γλυπτὰς εἰκόνας τῶν εὐαγγελιστῶν Ματθαίου Μάρκου Λουκᾶ τε καὶ Ἰωάννου, ἑτέραν τε γλυπτὴν εἰκόνα τὴν ἔγερσιν ἐξ Ἅδου τοῦ Ἀδὰμ ἀπεικάζουσαν, ἔκτυπά τε χερουβὶμ τέσσαρα, εἰκόνα πάλιν ἑτέραν ἐν τῷ μέσῳ τῆς πλακὸς ἀπεικάζουσαν τὴν εἰς Ἅδου τοῦ Χριστοῦ κάθοδον καὶ τὴν ὕψωσιν τοῦ Σταυροῦ· ὁ δὲ σταυρὸς δυσὶ κεκόσμηται λίθοις, χρώματος βυσσινοῦ, τουτέστι πορφυροῦ· πάντων δὲ τούτων

[1] Κύριλλος ἀρχιμανδρίτης ὁ Ἀθανασιάδης βεβαιοῖ, ὅτι «τὸ ἱερὸν καὶ πολύτιμον τοῦτο εὐαγγέλιον εὑρέθη τὸ 1858 ἔτος ἐν ἀγνώστῳ τινὶ τόπῳ λίθοις καὶ κονιάμασι κεκαλυμμένῳ ἐντὸς τοῦ σκευοφυλακείου τοῦ θείου ναοῦ τῆς Ἀναστάσεως, ὅτε ὁ σκευοφύλαξ Σεραφεὶμ κατεγίνετο εἰς ἐπισκευὰς αὐτοῦ». Σωτήρ, XII, 1889, σ. 55.

τῶν ἐκτύπων ἡ ὑπόθεσις ἐκδηλοῦται γράμμασι ῥωσικοῖς ἐν τῇ πλακὶ κεχαραγμένοις. Τὰς δὲ πλάκας αὐτὰς συμπεπλεγμένοις γράμμασι κεφαλαιώδεσιν ἐπιγραφαὶ δύο περιβάλλουσιν, ὧν ἡ μὲν ἑλληνικὴ λέγει τάδε· «,Ζρε´ (=1595-1596). Τὸ παρὸν ἅγιον βιβλίον, ὅπερ ἐκ τοῦ καθαρωτάτου καὶ θεϊκωτάτου αὐτοῦ στόματος τοῦ Κυρίου ὠνομάσθη εὐαγγέλιον, ἀφιέρωσεν εἰς τὴν ἁγίαν ἐκκλησίαν τὴν φωτηνοτάτην [sic] τῆς τριημέρου Ἀναστάσεως τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὴν ἁγίαν καὶ ὑψηλωτάτην [sic] τράπεζαν, ἄνωθεν εἰς τὸν θεωτηκὸν [sic] αὐτοῦ τάφον τὸν ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσολήμ [sic], Μπαρούσιος . . . αὐτοῦ Θέδορος». Ἡ δ' ἑτέρα ἐπιγραφὴ λέγει τάδε ῥωσιστί· «Лѣта 7104-го сию святую книгу отъ пречистыхъ и божественныхъ оустъ самымъ Господемъ глаголемое еваньгилье положилъ во святую церковь пресвѣтлаго и тридневнаго Воскресения великого Господа Бога и Спаса нашего Ісуса Христа на святiй превысокiй престолъ надъ божественнымъ его гробомъ иже есть во святемъ граде Іерусалиме многогрѣшный Борисъ и Θедоръ». — Καὶ ταῦτα μὲν ἱκανὰ πρὸς ἔκφρασιν τοῦ ἐξωτερικοῦ τῆς βίβλου κόσμου· αὐτὴ δὲ ἡ βίβλος γεγραμμένη κάλλιστα γράμμασι μεγάλοις ἀραιοῖς (μήκους 0,005) κεκόσμηται πλουσίως· ἔξω γὰρ τῶν ὁλοχρύσων ἐπιγραφῶν, τῶν τε μεγάλων πολυχρώμων κεφαλαιωδῶν γραμμάτων, τῶν κοσμούντων τὴν ἀρχὴν ἑκάστης εὐαγγελικῆς περικοπῆς, καὶ τῶν οὐκ ὀλίγων ταινιοειδῶν ἀξιολόγων κοσμημάτων, ἡ βίβλος ἔχει πρὸς μὲν τῷ τέλει δυσπερίγραπτον ὁλοσέλιδον κόσμημα, ἐν δὲ τῇ δευτέρᾳ τοῦ 1-ου φύλλου σελίδι πίνακα μέγαν ἐν πλαισίῳ σφόδρα κεκοσμημένῳ τὸν εὐαγγελιστὴν Ἰωάννην ἱστάμενον ἀπεικάζοντα, πρὸς τὸν οὐρανὸν ἐστραμμένον ἔκθαμβον (ὅθεν ἀκτινοβολοῦσι τρεῖς ἀκτῖνες) καὶ τὸν αὐτοῦ μαθητήν, τὸν Πρόχορον, καθήμενον παρὰ τὴν εἴσοδον σπηλαίου τινὸς καὶ γράφοντα· ἐν δὲ τῇ πρώτῃ τοῦ 2-ου φύλλου σελίδι πλαίσιον ὑπάρχει τὴν σύνθεσιν ἄφθονον, τέμαχος περιβάλλον ὑφάσματος μεταξίνου, κιτρίνου χρώματος, ἵνα σκέπῃ τοῦτο τὸν ῥηθέντα πίνακα· ἐν δὲ τῇ



Σελ. 221.

Εὐαγγ. τῆς ις' ἑκατ. ἐν τῷ σκευοφυλακείῳ τοῦ ναοῦ τῆς Ἀναστάσεως ἀφιερωθὲν αὐτῷ ὑπὸ Βορίσου τοῦ Γοδουνώφ, φύλλ. 3α.



πρώτη τοῦ 3-ου φύλλου σελίδι πλαίσιον ὡσαύτως ὑπάρχει μέγα. περιβάλλον ἄνω μὲν κόσμημά τι κάλλιστον τετραγώνου παραλληλογράμμου σχήματος, ὑπὸ λέοντος ἐπιστεφόμενον πτερωτοῦ (κρατοῦντος ἠνεῳγμένον εὐαγγέλιον καὶ τὴν κεφαλὴν ἁπανταχόθεν ἔχοντος ἀκτινοβολοῦσαν), κάτω δὲ τούτου συμπεπλεγμένοις χρυσοῖς κεφαλαιώδεσι μεγάλοις γράμμασι τὸ «Τῇ ἁγία καὶ μεγάλη Κυριακῇ τοῦ Πάσχα», ὅπερ ἔνθεν καὶ ἔνθεν δύο γραπτὰς ἔχει πυξίδας ἐγκλειούσας ἀγγέλων ἀπεικάσματα· μετὰ δὲ τὴν ἐπιγραφὴν ὑπάρχει τοῦ κατὰ Ἰωάννην εὐαγγελίου περικοπῆς ἡ ἀρχή, ἧς τὸ πρῶτον γράμμα ποικίλως ἐκόσμησεν ὁ καλλιγράφος, δοὺς αὐτῷ σχῆμα μέγιστον (ὅρα τὴν ἀπέναντι φωτοτυπικὴν εἰκόνα). Ἐν δὲ τῇ δευτέρᾳ σελίδι τοῦ 53-ου φύλλου πίναξ ἕτερος ἐμπλαίσιος ὑπάρχει τὸν εὐαγγελιστὴν ἀπεικάζων Ματθαῖον ἔξω τινὸς οἰκίας καθήμενόν τε καὶ πρὸ τραπέζης ἐπὶ εἰλητοῦ γράφοντα βιβλίου· καὶ πάλιν ἡ ταύτης τῆς εἰκόνος ἀπέναντι σελὶς (φ. 54α) πλαίσιον ἔχει μέγα, περιβάλλον ἄνω μὲν κόσμημά τι κάλλιστον ἐπιστεφόμενον ὑπό τινος ἀγγέλου (τὰς πτέρυγας ἠνεῳγμένας ἔχοντος καὶ γράμμασι σλαβικοῖς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον γράφοντος), ὑπὸ δὲ τοῦτο τὸ κόσμημα μεγάλοις κεφαλαιώδεσι γράμμασιν ἐπιγραφὴν μετὰ δύο γραπτῶν ἐν ταῖς ἄκραις αὐτῆς πυξίδων ἐγκλειουσῶν εἰκόνας ἀγγέλων, τῆς δ' ἐπιγραφῆς ὕστερον τὴν ἀρχὴν περικοπῆς τοῦ κατὰ Ματθαῖον εὐαγγελίου, «τῇ β' τῆς α' ἑβδομάδος μετὰ τὴν Πεντηκοστὴν» ἀναγινωσκομένης· ἔστι δὲ καὶ ταύτης τὸ πρῶτον γράμμα μέγα τε καὶ ποικιλόκοσμον. Καὶ πάλιν ἕτερος ὁλοσέλιδος πίναξ, ἐμπλαίσιος ὡσαύτως, ἐν τῇ δευτέρᾳ κεῖται σελίδι τοῦ 140-οῦ φύλλου, παριστῶν οἰκήματα δύο, τεῖχός τε πόλεως καὶ Λουκᾶν τὸν εὐαγγελιστὴν καθήμενόν τε πρὸ τραπέζης καὶ γράφοντα, ἐφ' ἧς ὑπάρχει βιβλίον ἠνεῳγμένον καὶ δοχεῖον τοῦ γραφικοῦ μελανίου· ἡ δὲ τῆς εἰκόνος ταύτης ἀπέναντι σελὶς (φ. 141α) ἐμπλαίσιος ὡσαύτως οὖσα κόσμημα περικλείει τετραγώνου παραλληλογράμμου σχήματος, ἐπιστεφόμενον ὑπὸ τοῦ συμβόλου τοῦ Λουκᾶ, ἐπιγραφήν τε χρυσῆν κεφαλαιώδεσι γράμμασι συμπεπλεγμένοις καὶ τὴν ἀρχὴν περικοπῆς ἀναγινωσκομένης



«τῇ β' τῆς α' ἑβδομάδος τοῦ νέου ἔτους»· ἔστι δὲ καὶ ταύτης τὸ πρῶτον γράμμα μέγα καὶ ποικιλόκοσμον. Αὐτὰ δὲ ταῦτα κατεσκεύασεν ὁ καλλιγράφος καὶ πρὸ τῶν περικοπῶν τοῦ κατὰ Μᾶρκον εὐαγγελίου, προτάξας μὲν αὐτοῦ τὴν εἰκόνα (φ. 265β), τῶν δὲ περικοπῶν αὐτοῦ τὴν πρώτην (φ. 266α) κοσμήσας ἐν πλαισίῳ κοσμήματι μεγάλῳ, ἐπιγραφῇ τε χρυσῇ καὶ γράμματι κεφαλαιώδει μήκους 0,907. Τέλος δὲ καὶ συναξάριον τὸ κατὰ μῆνα τῶν εὐαγγελικῶν ὑπάρχει περικοπῶν ἐν τούτῳ τῷ κώδικι (φ. 370-444), κόσμημα τὴν αὐτοῦ κεφαλίδα περιβάλλον, ὡς εἰκός, καὶ μετρικὸν ἐπίγραμμα οὕτως ἀπαραλλάκτως ἔχον (φ. 445)·

Μέδων μέγιστος πάσης χθονὸς Ῥωσίας,
Τεῦχε τὸ παρὸν, χρυσήλατον πυκτίον,
Ὤπασεν δ' αὐτῷ, ἐν τῷ σεπτῷ ἠρίῳ,
Χριστοῦ ἄνακτος, καὶ γῆς ἀνάκτων πάσης.
Παρούσιος κέκληται, ὅτε Καλόϊς,
Ἥκιστος δ' αὐτὸς, ἀπάντων ἀρητήρων,
Θεοφάνης εἴληφα, κείνου χειρῶν τε:—
Οἴακας δὲ ἴθυνε Αἰλίας τῆμος,
Θεοῖο Σωφρόνιος τῆς ἐκκλησίας,
Πέμπτος δ' ἔνος ἔπλετο θεογονίας,
Χιλιοστὸς δὲ, καὶ ἓξ ἑκατοντάδες,
Ἐν τῷδε ἡνίκα ἠνέχθη τῷ τόπῳ [1].

Μετὰ δὲ τοῦτο τὸ ἐπίγραμμα σημείωμα Θεοφάνους αὐτόγραφον ὑπάρχει, τοῦ γενομένου πατριάρχου μετὰ Σωφρόνιον· ἔχει δὲ τοῦτο ὧδε· «† Θεοφάνης ἱερομόναχος ὁ κομίσας τὸ εὐαγγέλιον τοῦτο ἐκ τῶν χειρῶν τοῦ ἀνάκτου βασιλέως Παρισίου εἰς τὸν Ἅγιον Τάφον, ἐκννήσος [=ἐκ νήσου] Πέλοπο(ς) ὥσπερ λέγουσι καὶ ἡ [=οἱ] ἄνωθεν στίχοι:—Σωφρόνιος π(α)τριἄρχης τότε ὁπόταν ἦλθεν:—εἰς τὸν Ἅγιον Τάφον τοῦ Κυρίου· ἔτους ‚ζριγ^ῳ^» [=1604-1605]. Ἕτερον δὲ σημείωμα τοῦ αὐτοῦ Θεοφάνους αὐτόγραφον ὑπάρχει ἐν τῷ πρωτίστῳ φύλλῳ τοῦ κώδικος, τοῦτο· «Θεοφάνης

[1] Πρβλ. Κυρίλλου Ἀθανασιάδου τὰ κατὰ Θεοφάνην πατριάρχην ἐν τῷ «Σωτῆρι», XII, σ. 55. Γρηγορίου Παλαμᾶ Ἱεροσολυμιάδος σ. υη'.



Σελ. 223.

Σελὶς εὐαγγελίου (ἔτους 1642—1643) φυλαττομένου ἐν τῷ σκευοφυλακίῳ τοῦ ναοῦ τῆς Ἀναστάσεως. Εἰκὼν Ματαίη Βασαράβα, ἡγεμόνος Οὐγκροβλαχίας.



Σελ. 223.

Σελὶς εὐαγγελίου (ἔτους 1642—1643) φυλαττομένου ἐν τῷ σκευοφυλακίῳ τοῦ ναοῦ τῆς Ἀναστάσεως. Εἰκὼν δόμνης Ἐλήνας, συζύγου Ματαίη Βασαράβα.


ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης: — † Μηδεὶς τολμήση νὰ χαλάσι ἐκ τὸ Εὐαγγελίω τοῦτο νὰ πάρει ἢ μάλαμα ἢ πέτρα ἢ μαργαριτάρι ἢ τίποτες ἐκ τοῦτο· ὅτι ἔχω αὐτὸν ἀσυγχώρητον καὶ μετὰ θάνατον ἄλυτον καὶ τιμπανιέον καὶ μετὰ Ἰούδα κριθεῖ ἐν τῇ δευτέρα παρουσία τοῦ Χριστοῦ οὕτω δίδωμεν αὐτόν: — Ὁ Θεοφάνης Ἱεροσολύμων».

19. Λειτουργικὸν εὐαγγέλιον ἐκ χάρτου σχήματος μεγάλου, ὅπερ οὐκ εἶδον ἐγώ· ὅσα δὲ περὶ τούτου γράφω νῦν ὧδε, παρέλαβον ἐκ σημειώματος τοῦ σοφωτάτου καθηγητοῦ Νικοδήμου τοῦ Κονταχώφ. Τοῦτο τοίνυν τὸ εὐαγγέλιον πινακίδας ἔχει μετὰ πλακῶν ἀργυρῶν κεκαλυμμένας, αἳ φέρουσιν ἐκτύπους εἰκόνας· καὶ ἡ μὲν πρώτη πλὰξ ἔκτυπον ἔχει τὴν ἀνάστασιν τοῦ Χριστοῦ, προφητῶν τε καὶ ἀποστόλων ἔκτυπα, ἡ δ' ἑτέρα πλὰξ ἔκτυπον τῆς σταυρώσεως τοῦ Χριστοῦ καί τινων ἀποστόλων ἐκτύπους εἰκόνας· ἁπασῶν δὲ τούτων τῶν εἰκόνων αἱ ἐπιγραφαὶ σλαβικοῖς ἐχαράχθησαν γράμμασιν· ἡ μέντοι πρώτη πλὰξ ἔχει γράμμασι κεφαλαιώδεσιν ἑλληνικοῖς ἐγχαράκτοις τὸ σημείωμα τοῦτο· «Δέησις εὐσεβεστάτου αὐθεντὸς Ἰω(άννου) Ματαίη Μπασαράμπα βοηβόδα Δακίας Οὐγκροβλαχίας καὶ εὐσεβεστάτης δόμνης Ἑλένης». Τὸ πρῶτον γράμμα ἑκάστης εὐαγγελικῆς περικοπῆς ἐστι μέγα, ποικιλόχρουν καί τινι ζῴῳ κεκοσμημένον· ἔχει δὲ τὸ βιβλίον καὶ δύο πίνακας ὁλοσελίδους (ὧν τὴν φωτοτυπικὴν ἔκφρασιν ὅρα τῆς σελίδος ταύτης ἀπέναντι), τῆς μὲν ἀπεικαζούσης τὸν βοεβόδα Ματαίην Βασσαράβαν, τῆς δὲ τὴν αὐτοῦ σύζυγον Ἑλένην· ὁ δὲ τοῦ Ματαίη πίναξ ἐν ταῖς ὤαις ἔχει σημειώματα δύο, ταῦτα· α') «Ἡ οἰκῶν [= εἰκὼν] τοῦ εὐσεβεστάτου καὶ ἐκλαμπροτάτου καὶ ἐνδοξοτάτου αὐθεντὸς κυρίου Ἰωάννου Ματαίη Μπασαράμπα βοηβόδα· ὁ ὅπιος ἀνηγορεύθη αὐθέντης καὶ ἐξουσιαστὴς ὑπὸ παντὸς τοῦ λαοῦ ἱερομένον τε λαηκῶν ἀρχώντων τε καὶ στρατιγῶν εἰς τὴν Οὐγκροβλαχίαν καὶ πατρίδα αὐτοῦ, ἐν ἔτι ‚ζρμ' [= 1632]· τὸ δὲ ἱερὸν καὶ ἅγιον εὐαγγέλιον ἐγράφη διασυνδρομῆς αὐτοῦ, ἐν ἔτι ‚ζρνα'» [= 1642--1643]. — β') «Ἐγράφη διαχειρὸς Ἀνθίμου ἱερομονάχου», πιθανῶς τοῦ Ἴβηρος.



20. (Ἀνακοίνωσις ἐλλογιμωτάτου Ἁγιοταφίτου ἀρχιμανδρίτου, Κυρίλλου τοῦ Ἀθανασιάδου. 5 δεκεμβρίου 1894 ἐξ Ἱερουσαλήμ). «Ἡ διάταξις τῶν περὶ ῥυθμίσεως τοῦ Ἱεροῦ Κοινοῦ τοῦ Παναγίου Τάφου κεφαλαίων, ἐν οἷς καὶ τὸ περὶ βιβλιοθήκης κεφάλαιον σῴζεται ἔν τινι κώδικι χειρογράφῳ (εἰς φύλλον) πολυφύλλῳ. Ἐν αὐτῷ ὑπάρχουσιν ἐπιστολαὶ τοῦ ἀοιδίμου Δοσιθέου, διαλαμβάνουσαι περὶ τῶν ὑποθέσεων τῶν ἐν Παλαιστίνῃ Ἰβηρικῶν κτήσεων, διατάξεις κανονίζουσαι τὸν βίον τῶν ἐν Ἱερουσαλὴμ μονα ζουσῶν, ὡς καὶ τὸν τῶν μοναχῶν· διατάξεις περὶ τῶν προσκυνημάτων, τοῦ Παναγίου Τάφου, τῆς ἁγίας Βηθλεέμ, τῆς ἁγίας Γεθσημανῆς καὶ τοῦ ὄρους τῶν Ἐλαιῶν. Δι' αὐτῶν ὁρίζονται αἱ ὧραι τῆς λειτουργίας ἑκάστου τῶν τριῶν ἐθνῶν (ἐν τῷ ναῷ τῆς Ἀναστάσεως), Ἑλλήνων, Λατίνων καὶ Ἀρμενίων· ὁρίζεται ὁ ἀριθμὸς τῶν κανδηλῶν, τῶν μανουαλίων, καὶ ἅπασα ἡ σχετικὴ ἐθιμοταξία ἑκάστου ἔθνους (ἐν τῷ αὐτῷ ναῷ), κατὰ τοὺς σουλτανικοὺς ὁρισμούς. Ἐνυπάρχουσιν αὐτῷ δὲ καὶ κατάλογοι οὐκ ὀλίγοι, ἐν οἷς μετὰ θαυμασμοῦ διέρχεταί τις πολυειδῆ καὶ πολύτιμα κειμήλια (τοῦ ναοῦ τῆς Ἀναστάσεως) εἰς ἱερὰ σκεύη, ἱερὰ χρυσοκέντητα καὶ λιθοκόσμημα ἄμφια, εἰς κανδήλας ἀργυρᾶς, τινὰς δὲ καὶ χρυσᾶς, εἰς πολυελαίους, εἰς κηροὺς καλλιτεχνικοὺς καὶ εἰκόνας καὶ εἰς ἄλλα διάφορα κοσμήματα, οὐ μικρὰν ἔχοντα ἀξίαν. Πάντα δὲ ταῦτα ἀφιέρωνται παρὰ τῶν ἡγεμόνων τῶν παρὰ τὸν Ἴστρον χωρῶν, τῶν ὀρθοδόξων βασιλέων τῆς Ἰβηρίας, τῶν ἐγκρίτων ἡμῶν ὁμογενῶν καὶ λοιπῶν εὐλαβεστάτων προσκυνητῶν. Διατηρεῖται δὲ ὁ ἐν λόγῳ κῶδιξ ἐν τοῖς ἀρχείοις τοῦ εὐαγεστάτου ναοῦ τῆς Ἀναστάσεως» [1].

[1] Ὁ αὐτὸς ἐλλογιμώτατος ἀρχιμανδρίτης Κύριλλος Ἀθανασιάδης ἐξ αἰτήσεως ἔγραψέ μοι καὶ ταῦτα περὶ Νεοφύτου τοῦ Κυπρίου (3 ἀπριλίου 1895). «Νεόφυτος ὁ ἐν τῷ θείῳ ναῷ τῆς Ἀναστάσεως γραμματεὺς ἦν Κύπριος· παῖς ὢν ἦλθεν εἰς Ἱερουσαλὴμ καὶ παρέμεινε παρά τινι γέροντι· ἠκροάσατο δὲ τῶν μαθημάτων τῆς ἐποχῆς ἐκείνης ἐν τῇ σχολῇ τῶν Ἱεροσολύμων, διευθύνοντος αὐτὴν τότε καὶ διδάσκοντος τοῦ μακαριστοῦ ἀρχιμανδρίτου Μαξίμου τοῦ Συμαίου. Διεκπεραιώσας δὲ τὴν τότε σειρὰν τῶν μαθημάτων ἀνέλαβε διαφόρους ὑπηρεσίας τοῦ Ἱεροῦ Κοινοῦ τοῦ Παναγίου Τάφου· μετὰ δὲ τοῦτο ἀπεστάλη πρωτοσύγκελλος τοῦ Παναγίου Τάφου εἰς τὴν Ἀλβανίαν (Ἤπει-



21. Δύο τόμοι χάρτινοι (β' καὶ γ') συγγραφῆς ἱερομονάχου Νεοφύτου τοῦ Κυπρίου, γραμματέως τοῦ ναοῦ τῆς Ἀναστάσεως. Ἐπιγραφή· «Εἰκοσαετηρίς, ἢ ἐξακολούθησις τῆς ἱστορίας τῶν ἐν τῇ ὀρθοδόξῳ καὶ ἁγίᾳ ἐκκλησίᾳ ἢ τῷ θρόνῳ τῶν Ἱεροσολύμων διατρεξάντων μετὰ τὸ ,αωκα' ἔτος καὶ ἑξῆς μέχρι τοῦ ἐνεστῶτος ἔτους ,αωμα', μαρτίου α', συγγραφεῖσα παρὰ τοῦ ἐλαχίστου ἐν ἱερομονάχοις Νεοφύτου Ἁγιοταφίτου τοῦ Κυπρίου ἐν Ἱερουσαλήμ».

22. Τρεῖς τόμοι χάρτινοι συγγραφῆς αὐτογράφου Νεοφύτου τοῦ Κυπρίου, ἐν ᾗ περιγράφονται μετ' ἀκριβείας ἡ Παλαιστίνη καὶ πάντες οἱ ἐν αὐτῇ Ἅγιοι Τόποι. Ὅρα τὴν ἐπιγραφὴν καὶ δεύτερον τῆς συγγραφῆς ταύτης ἀντίγραφον ἐν τῇ Ἱεροσολυμ. Βιβλιοθ. τ. II, σ. 552.

ρον)· ἐκεῖ δὲ ἐπὶ πολλὰ ἔτη ηὐδοκίμησε διὰ τῶν εὐαγγελικῶν αὐτοῦ ἀρετῶν, διδάσκων τὰ σωτήρια τοῖς χριστιανοῖς καὶ συλλέγων τὰς κατὰ προαίρεσιν προσφορὰς τῶν χριστιανῶν διὰ τὰς τότε ἀνάγκας τοῦ Παναγίου Τάφου. Ἐπανακάμψας εἰς Ἱερουσαλὴμ διωρίσθη γραμματεὺς ἐν τῷ θείῳ ναῷ τῆς Ἀναστάσεως, ἐν ᾧ διέμεινε μονάζων ὑπὲρ τὰ τεσσαράκοντα ἔτη. Ἐκεῖ φίλεργος ὢν συνέγραψε τὸ Θέατρον τῆς Ἁγίας Γῆς εἰς δύο τόμους, εἰς φύλλον μέτριον [Ἱεροσολ. Βιβλιοθ. II, σ. 552], τὴν Εἰκοσαετηρίδα εἰς 4-ον μικροῦ φύλλου [Ἀνάλ. Ἱεροσολ. Σταχυολ., τ. III, σ. 457—509], ἐν ᾧ συγγράμματι ἐμπεριέχονται πολλὰ καὶ σπουδαῖα γεγονότα ἀναγόμενα εἰς τὰ πανάγια προσκυνήματα καὶ εἰς τὴν ἱστορίαν τοῦ Ἱεροῦ Κοινοῦ τοῦ Παναγίου Τάφου, τὴν περιγραφὴν ἢ ἔκθεσιν τῆς κατὰ τὸ 1808 ἔτος πυρπολήσεως τοῦ θείου ναοῦ τῆς Ἀναστάσεως διὰ στίχων [Ἀναλέκτων Ἱεροσολ. Σταχυολ. III, σ. 387—410] καὶ ἄλλα διάφορα ἱστορικὰ ὑπομνήματα [Ἀναλ. τ. II, σ. 405—463. III, σ. 410—456]. Δι' ἐπιστασίας καὶ ἐπιμελείας αὐτοῦ ἐτοιχογραφήθη ὁ ἅγιος Γολγοθᾶς, ἐν ᾧ ἑκάστην ἰδέαν τῶν τοῦ Κυρίου παθῶν παρέστησε δι' εἰκόνων».



ΚΩΔΙΞ ΕΥΑΓΓΕΛΙΟΥ

ἐν τῷ Ἱεροσολυμιτικῷ μοναστηρίῳ τῷ λεγομένῳ

«ΜΕΓΑΛΗ ΠΑΝΑΓΙΑ»[1].

Λειτουργικὸν εὐαγγέλιον ἔτους 1061-ου ἢ 1062-ου (τεθειμένον ἔν τινι θήκῃ), οὗ τὰς πινακίδας ἀργυραῖ καλύπτουσι πλάκες ἐπίχρυσοι, ὑπό τινος, ὡς ἔοικεν, Ἱεροσολυμίτου ἀργυροχόου εἰργασμέναι ἔτει 1615-ῳ· τούτων δὲ τῶν πινακίδων ἡ μὲν κάτω πλὰξ παρίστησιν ἐν ἐκτύπῳ τὴν εἰς Ἅδου τοῦ Χριστοῦ κατάβασιν, δώδεκά τε προφήτας, τρεῖς τε ἱεράρχας, Γρηγόριον τὸν Θεολόγον, Βασίλειόν τε τὸν μέγαν καὶ Ἰωάννην τὸν Χρυσόστομον, καί τινας ἑτέρους ἁγίους· ἔχει δ' ἡ πλὰξ αὕτη καὶ γράμμασιν ἀραβικοῖς ἐπιγραφήν τινα βραχεῖαν, τοὔνομα δηλοῦσαν, ὡς φαίνεται, τοῦ τεχνίτου· ἡ δ' ἑτέρα πλὰξ εἰκόνας ἐκτύπους ἔχει τῆς τε κοιμήσεως τῆς Θεοτόκου, προφητῶν τε δέκα καὶ τῆς Θεοτόκου πάλιν καθημένης, εἰς οὐρανοὺς ὑπ' ἀγγέλων ὁδηγουμένης· ὑπὸ δὲ τὰς εἰκόνας ταύτας ἐπιγραφὴ κεχάρακται γράμμασι κεφαλαιώδεσιν ἑλληνικοῖς, οὕτως ἔχουσα κατὰ γράμμα· «† Το ἱερὸν καὶ θίον εὐαγγελιων. τὸ ἐκκόσμισεν. ἡ Μαγδαλινὴ η Κιπρέα ἡγουμενι. καὶ τὸ ἐπροσίλοσε εἰς τὴν μονὴν τῆς ὑπεραγήας Θεοτόκου. τῶν Καλογρηᾶδων της ἁγίας πόλεως. Ιερουσαλὴμ καὶ ἵτις τὸ αποξενῶσι ναἔχι τὰς αρας των τριακόσιων δέκα καὶ ὀκτό θεοφόρον πατέρων τον εΝικαῖα σινῶδου:. ἔτους ‚αχιε'». Καὶ ταῦτα μὲν ἱκανὰ περὶ τοῦ ἐξωτερικοῦ κόσμου τούτου τοῦ εὐαγγε-

[1] Πρβλ. C. R. Gregory, Prolegomena, σ. 712, ἀριθ. 159, ἔνθα τοῦτο τὸ εὐαγγέλιον ἐσφαλμένως ὡς ἀντίγραφον τῆς ιγ' ἑκατονταετηρίδος ἀναγράφεται.



λίου· αὐτὸ δὲ τὸ εὐαγγέλιον ἀριθμεῖ μεμβράνινα τετράδια λγ' καί τινα φύλλα, ὡς εἶναι πάντα τὰ φύλλα τοῦ βιβλίου τὸν ἀριθμὸν 267, ἔξω δύο περιττῶν φύλλων, ἅπερ ὁ σταχωτὴς ἔνδον τῆς πρώτης ἔθετο πινακίδος· ἔστι δὲ τὰ φύλλα πάντα μήκους μὲν 0,276, πλάτους δὲ 0,215· τὸ δὲ κείμενον ἀριθμεῖ δίστηλον ὂν κατὰ σελίδα πλήρη γραμμὰς ἐννεακαίδεκα, ὡς εἶναι τὸν χῶρον αὐτῶν ἐν τῇ σελίδι μήκους μὲν 0,18, πλάτους δὲ 0,14. Τοῦτο μὲν οὖν τὸ εὐαγγέλιον, ἐπειδὴ λειτουργικόν ἐστι, τὰς περικοπὰς ἔχει μεμελισμένας διὰ τόνων μουσικῶν κοκκίνων· ἔχει δὲ καὶ τὰς ἐπιγραφὰς αὐτῶν κοκκίνας ὡσαύτως καὶ γράμματα κεφαλαιώδη μεγάλα, κεχρωματισμένα, τὴν ἀρχὴν ἑκάστης ἐπικοσμοῦντα περικοπῆς, καὶ κοσμήματα ἑπτὰ κεκαλλωπισμένα ποικίλως, ὅμοια πλατυτάτῳ πιοειδεῖ σχήματι (φ. 3^{α}, 62^{β}, 89^{β}, 123^{α}, 161^{β}, 177^{α}, 250^{β})· ἔχει δὲ καὶ πίνακά τινα σελιδιαῖον ἐπὶ δαπέδου πορφυροῦ παριστῶντα τὴν Θεοτόκον ἱσταμένην, χιτωνίσκον τε καὶ χιτῶνα ποδήρη φέρουσαν, ὑψοῦσάν τε τὰς χεῖρας πρὸς οὐρανόν, ὃν ὁ ζωγράφος ὅμοιον ἐποίησε κύκλῳ μέσον ἔχοντι σχῆμα τετράγωνον καὶ τέσσαρας περὶ τοῦτο ἀστέρας· ἐκ δὲ τούτου τοῦ κύκλου χεὶρ ἐκβάλλεται μετ' ἀκτίνων· πρὸ δὲ τῆς οὕτω παρισταμένης ἐν τῷ πίνακι Θεοτόκου γονυπετὴς ἀπεικάζεται πωγωνοφόρος ἀνήρ, ἁπτόμενος μὲν αὐτῆς τοῦ ἀριστεροῦ ποδός, αὐτῇ δὲ τῇ Θεοτόκῳ λέγων ἱκετικῶς ἐπίγραμμά τι κεφαλαιώδεσι κοκκίνοις ὑπεράνω τῆς αὐτοῦ κεφαλῆς γράμμασι γεγραμμένον, τόδε· «† Ὁ τὸ γόν[υ κ]λίνον (=κλίνων) σὺ (=σοὶ) Βασίλ(ειος) πέλον (=πέλων) | πολλὺς (=πολλοῖς) περιπέπτο(=ω)κα κακὺς ἀπλίστος (=κακοῖς ἀπλήστως) | καὶ αἰσχροῖς ἐρρύπο(=ω)σα ψυχ(ῆς) χήτόνα (=χιτῶναν)· | νῦν δὲ τοῖς ἀχράντοις σου ποσὶν ἡψάμην· | προσένέγκο(=ω)σὺ (=σοὶ) τόδε τὸ μεγαλί(=εῖ)ον, | καὶ ἐ(=αὶ)τούμενος ἀντίλυτρον λαβὶν (=εῖν) με | πρέσβευσον, ὡς ἔχουσα μητρῷα σπλάγχ(να), | προσὸν (=πρὸς ὂν) γαρ ὂν (=ὃν) ἔτεκες δεσπότ(ην) πάντων, | τοῦ ἐπιβραβεύ(sic) ἐ(κ) πολ(λ)ῶν πταισμάτων λύσιν». Καὶ τοῦτον μὲν τὸν πίνακα μετὰ τοῦ τοιοῦδε ἐπιγράμματος ἔχει τοῦ πρώτου φύλλου σελὶς ἡ δευτέρα· ἡ δὲ πρώτη σελὶς ἁπλῶς ἔχει κεφαλαιώδεσι γράμμασι τετονισμένοις ἐπίγραμμα τοιοῦτον· «† Οἱ

*



φιλόχρη(=ι)στοι καὶ φηλόψυχη (=φιλόψυχοι) πάντες | καὶ τὸν Θεὸν φέροντες ἐν τὴ(=ῇ) καρδήα (=καρδίᾳ) | μέμνησθε τηνὸς (=τινός), πλὴν πάθους, Βασιλείου, | τοῦ πόθω κτησαμένου τὴν δέλτον ταύτην | εἰς λυτρον εἰς ἄμηψην (=ἄμειψιν) ἁ(=ἁ)μαρτημάτων, | εἰς ἀποτροπὴν πάντων τῶν αἰ(=ἐ)ναντίων· | ἐτελέσθη γὰρ τὸ ὄντη (=τῳόντι) μεγαλήων (=μεγαλεῖον) | ἔτους πέλουσα (sic) ἐξακησχηλιάδος (=ἐξακισχιλιάδος) | νῦν καὶ πενταχὸς ἐξήκοντα (=πεντακοσεξήκοντα) καὶ θ', | ἰνδηκτηὄνος (=ἰνδικτιῶνος) δὲ τεσσαρησκαὶδεκάτης (sic) [1561-1562], | βάσηλεύοντος (=βασιλεύοντος) Δουκὸς τοῦ Κωσσταντήνου (sic) | καὶ Εὐδοκίας τῆς τοῦτου (sic) γὰρ σὐνεύνου (sic), | παίδας (=παῖδα) ἔχοντες (sic) Κωνστάντηον (sic) [τὸν] μέγαν». Ἀλλὰ καὶ ἡ πρώτη τοῦ δευτέρου φύλου σελὶς ἔχει τὴν εἰκόνα σταυροῦ $\left(\frac{\overline{\text{IC}}}{\text{NI}}\middle|\frac{\overline{\text{XC}}}{\text{KA}}\right)$ μήκους 0,24, περὶ δὲ τοῦτον ὀκτὼ κύκλους ἐνέχοντας ἐπιγραφὴν οὕτω διηρημένην· «ΚΕΔΟCΗΡΗΝΗΝ|ΤΟΙC ΕΥΆΓΓΕ | ΛΗΖΟΜΕΝΟΙC | ΔΥΝΑΜΗΝ | ΠΟΛΛΗΝΟΒΑ | - - - - | ΔΥΝΑΜΕΩΝΤ/// | ΑΓΑΠΗΤ» = «Κύριε, δὸς εἰρήνην τοῖς εὐαγγελιζομένοις, δύναμιν πολλὴν ὁ βα[σιλεὺς τῶν] δυνάμεων τ[οῖς] ἀγαπητ(οῖς)». Πίνακα δὲ σελιδιαῖον, ἐπὶ δαπέδου γεγραμμένον ἰώδους, ἔχει καὶ σελὶς ἡ δευτέρα τοῦ αὐτοῦ δευτέρου φύλλου τοῦ κώδικος· ἀπεικάζει δ' οὗτος ὁ πίναξ τρεῖς στήλας, συνηνωμένας ὑπὸ κοσμήματος ταινιοειδοῦς, ὧν ἑκάστη φέρει κουβούκλιον μετὰ κρεμαμένων λυχνιῶν· μέσον δὲ τῶν στηλῶν εἰκόνες ὑπάρχουσι τεσσάρων ἀνδρῶν ἱσταμένων, τῶν εὐαγγελιστῶν, τῇ μὲν ἀριστερᾷ βιβλία κρατούντων, τὰ ἑαυτῶν εὐαγγέλια, τῇ δὲ δεξιᾷ κατὰ τὸ σύνηθες εὐλογούντων. Ἔγραψε δὲ τὸν κώδικα καλλιγράφος τις Ἰωάννης, ὡς τὸ σημείωμα δηλοῖ τοῦτο (φ. 266β)· «Ἱδρῶτι πολλῶ καὶ πόνω συσχηθέντες· | μόλλης ηὕραμεν τὸ γλυκύτατον τέλος | ὥσπερ ξένοι χαίρουσιν ἰδεῖν πατρίδα· | οὕτως καὶ τὸ γράφοντι βιβλίου τέλος· | ἄναξ ἀνάκτων Χ̅ὲ καρδιογνώστα | ὅσπερ (=ὥσπερ) ἔδωκας τὴν χάριν ἀποστόλοις | οὕτως δίδου μοι τὴν γνῶσιν τὸν γραμμάτων: — Κ(ύρι)ε βοήθ(ει) τὸν σὸν δοῦλον Ιω(άννην) ἁμαρτ(ω)λ(ὸν) τὸν κε γράφοντι» (sic). — Ἡ ἀρχὴ δὲ τοῦ εὐαγγελίου



ὑπάρχει ἐν τῇ πρώτῃ σελίδι τοῦ 3-ου φύλλου, ἔνθα καὶ ἡ ἐπιγραφὴ «Ἐκλογάδην σῦν Θῶ τῶν ἁγίω(ν) εὐαγγελίω(ν) τοῦ χρόνου ὅλου», καὶ σταυροῦ εἰκὼν ἐπὶ βάθρου, καὶ γράμμα κεφαλαιῶδες, τὸ Ε, μέγα πάνυ καὶ περικεκοσμημένον· οὗ τὸ μέσον σκέλος εὐλογοῦσαν ἀπεικάζει χεῖρα. Σημειωτέον ἔτι, ὅτι ἐν τῇ κάτω ᾤᾳ τοῦ αὐτοῦ φύλλου διὰ γραμμάτων τῆς ιγ' ἑκατ. δηλοῦται ὅτι τὸ βιβλίον ἦν «Τοῦ Ἁγίου Γερασίμου», μοναστηρίου οὑτωσὶ λεγομένου, κειμένου δὲ παρὰ τὸν Ἰορδάνην ποταμὸν ἐν τῷ πεδίῳ τῆς Ἱεριχοῦς· ἐν δὲ τῇ ᾤᾳ τοῦ κατόπι 4-ου φύλλου σημείωμά τι παλαιὸν ἔχει οὕτως· «Μνυσθῖτϊ τυς ψυχυσ τυσ δουλήσοῦ Πελαϋασ μοναχισ Μαρημανη μοναχὴσ Πελαγϋασ μοναχῆσ»· ἐν ἑτέρᾳ δὲ ᾤᾳ (φ. 17β) σημείωμα πάλιν ἕτερον, τοῦτο· «† Ἔτι δεόμεθα ὑπὲρ δούλης τοῦ Κυρίου Θεοδούλης μοναχῆς». Καὶ πάλιν ἀλλαχοῦ (φ. 267β) διὰ γραμμάτων τῆς ιδ' ἑκατονταετηρίδος· «† Τοῦτο τὸ εὐαγγέλιον εὑρίσκεται τῆς μοναχῆς Εὐφροσύνης τῆς Τραπεζουντίας· ἐτέθη ἐν τῷ ναῷ τῆς Θεοτόκου Κυρίου, τῆς Παναγίας, ἕνεκα μνημοσύνου αὐτῆς· ὅστις δὲ ἐπάρει αὐτῶ ἀπὸ τὴν Θεοτόκον μου ἀσεχει τὰς ἀρὰς τῶν ἁγίων τιη θεοφόρων πρων τῶ ἐν Νικαία †». Αὐτόθι καὶ σημείωσις ἀραβική.



ΕΤΕΡΟΙ ΚΩΔΙΚΕΣ.

---

1. (Ἐν τῇ μεγάλῃ αἰθούσῃ τοῦ Πατριαρχείου τῶν Ἱεροσολύμων).—Κῶδιξ ἐκ χάρτου τῆς ιη' ἑκατ., ἐμπεριέχων ἀντίγραφα πολλῶν ἐπιστολῶν Δοσιθέου πατριάρχου τῶν Ἱεροσολύμων καὶ ἕτερά τινα κείμενα [1]. Ἐν τῇ 1-ῃ σελίδι ἐπιγραφὴ τοιαύτη· «Ἐπιγράμματα εἰς τὸν μακαριώτατον καὶ ἀοίδιμον πατριάρχην Ἱεροσολύμων κύριον Δοσίθεον, καὶ εἰς τὸν νῦν ἐλέει Θεοῦ μακαριώτατον καὶ σοφώτατον πατριάρχην τῆς Ἁγίας Πόλεως κύριον κύριον Χρύσανθον»· μετ' αὐτὴν ἐπίγραμμα μακρόν, οὗ ἡ ἀρχή· «Μὴ κλαῖε πυκινὰ χωσμένη πτόλις ἱρὰ Σολύμων | Δοσίθεον λαοῦ ποιμένα ἱρὸν σεῦ» κτλ. Ἐν τῇ 2-ᾳ σελίδι δύο ἐπιγράμματα Καλλινίκου. Τὸ πρῶτον ἐπιγράφεται οὕτω· «Καλλινίκου ἱερομονάχου εἰς τὸν ἐν μακαρίᾳ τῇ λήξει μακαριώτατον καὶ σοφώτατον πατριάρχην Ἱεροσολύμων κὺρ Δοσίθεον, οὗ ἡ ἀκροστιχὶς Καλλινίκου». Ἐν τῇ 37-ῃ σελίδι ἐπιγραφή· «Τοῦ μακαριωτάτου σοφωτάτου τε καὶ παναγιωτάτου κυ-

[1] Τὸν κώδικα τοῦτον Κύριλλος ἀρχιμανδρίτης ὁ Ἀθανασιάδης οὕτω περιγράφει· «Κῶδιξ ἐμπεριέχων ρνθ' ἐπιστολὰς (τοῦ Δοσιθέου), διαλαμβανούσας περὶ πολλῶν καὶ σπουδαίων ὑποθέσεων τοῦ ἱεροῦ Κοινοῦ τοῦ Παναγίου Τάφου, οἷον περὶ τῶν μεταξὺ ἡμῶν καὶ Λατίνων καὶ τῶν μεταξὺ ἡμῶν καὶ τῶν Ἀρμενίων διὰ τὰ ἅγια προσκυνήματα· περὶ οἰκοδομῶν καὶ ἐπισκευῶν τῆς σεβασμίας λαύρας τοῦ ἁγίου Σάββα, τοῦ ἐν Ἰόππῃ μοναστηρίου, τῶν ἄλλων ἱερῶν μονῶν καὶ τοῦ Πατριαρχείου· προστίθενται δὲ μετὰ τὸ τέλος τῶν ἐπιστολῶν διαταγαὶ διάφοροι αὐτόγραφοι περὶ βιβλιοθήκης, περὶ κοινοβίου καὶ ἄλλων· μετὰ ταύτας δὲ ἕπονται αἱ ἐν τῷ ναῷ τῆς Ἀναστάσεως περὶ τῶν ἀκολουθιῶν τῶν τριῶν ἐθνῶν, Ἑλλήνων Λατίνων καὶ Ἀρμενίων, τάξεις· ὡσαύτως καὶ ἐν τῷ ναῷ τῷ ἐν Βηθλεέμ· ἐν δὲ τῇ ἀρχῇ τοῦ κώδικος προτέθεινται δύο ἐπιγράμματα, ὧν τὸ μὲν ἀναφέρεται πρὸς τὸν Δοσίθεον, τὸ δὲ πρὸς τοὺς δύο, θεῖον καὶ ἀνεψιόν, οἷον Δοσίθεον καὶ Χρύσανθον». *Σωτήρ*, 1892, τ. XV, σ. 332-333.



ρίου κυρίου Δοσιθέου ἡμετέρου αὐθεντὸς δεσπότου τε καὶ κηδεμόνος, ἐπιστολαὶ ἐκ πολλῶν ὀλίγαι πρὸς τοὺς κατὰ καιροὺς ἐπιτρόπους καὶ τοποτηρητὰς τοῦ ἀποστολικοῦ αὐτοῦ θρόνου, ἀρχόμεναι ἀπὸ τοῦ ,αχπε' ἔτους τῆς σωτηρίας ἡμῶν». Καὶ πάλιν ἐν τῇ 183-ῃ σελίδι ἐπιγραφὴ ἑτέρα· «Τοῦ αὐτοῦ μακαριωτάτου καὶ σοφωτάτου καὶ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ δεσπότου, πατριάρχου τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀναστάσεως, κυρίου κυρίου Δοσιθέου, ἐπιστολαὶ μερικαί, ἐξ ἀπείρων ὀλίγαι, πρός τινας τῶν ἀρχιερέων, ἱερομονάχων, χριστιανῶν, μουφτίδων, πασιάδων καὶ ἄλλων ἀξιωματικῶν ἐθνικῶν, καὶ αἱ πρὸς τοὺς εὐσεβεστάτους αὐθέντας καὶ καθολικοὺς καὶ ἀρχιερεῖς καὶ τετοπάλλισσας καὶ αὐθεντοπούλους καὶ περιβλέπτους ἄρχοντας τῆς τε ἄνω καὶ κάτω Ἰβηρίας· καὶ πρῶτον αἱ πρὸς τὸν ἀρχιεπίσκοπον Γάζης».

---

2. (Αὐτόθι).—Κῶδιξ ἐκ φύλλων χάρτου 60, μήκους 0,208, πλ. 0,163, γραφεὶς περὶ τὸ μέσον τῆς ιη' ἑκατοντ. Τὸ κείμενον αὐτοῦ κατὰ σελίδα δίστηλον ἐκ γραμμῶν 22 (0,167×0,113). «Παρθενίου Μητροπολίτου Καισαρείας τῆς Παλαιστίνης ἐξ Ἀθηνῶν ἱστορία τῆς μεταξὺ Ῥωμαίων τε καὶ Ἀρμενίων διαφορᾶς». Ἀρχ. «Τοῦ μὲν προπάτορος ἡμῶν ἡ παράβασις» κτλ. Ἀνάλεκτα Ἱεροσ. Σταχυολογίας, τ. I, σ. 308 κέ.

---

3. (Αὐτόθι). — Κῶδιξ ἐκ φύλλων χάρτου 67 μεγάλου σχήματος, οὗ τὸ κείμενον κατὰ σελίδα μονόστηλον ἐκ γραμμῶν 32· ἐγράφη δὲ περὶ τὸ τέλος τῆς ιζ' ἑκατ. Τὰ πρῶτα πέντε καὶ τὰ εἴκοσι τελευταῖα φύλλα ἄγραφα. Ἐπιγραφή· «† Ἴσα τῶν γενομένων συνοδικῶν κατὰ τῶν νεωτερισμῶν τῶν ἐπισκόπων τοῦ ὄρους Σινᾶ ἀπὸ τῆς πατριαρχείας τῶν ἀοιδίμων πατριαρχῶν Ἱερεμίου Κωνσταντινουπόλεως καὶ Γερμανοῦ Ἱεροσολύμων καὶ καθεξῆς μέχρι τῶν νῦν ἁγιωτάτων καὶ μακαριωτάτων πατριαρχῶν, Καλλινίκου Κωνσταντινουπόλεως καὶ Ἱεροσολύμων κυρίου Δοσιθέου, τοῦ θειοτάτου αὐθεντὸς ἡμῶν καὶ δεσπότου». Ἐν τῷ κώδικι τούτῳ




τέσσαρα μόνον ἔγγραφα τύποις ἦν ἀνέκδοτα, ὧν δύο κατεχώρισα ἐν τοῖς ἐμοῖς Ἀναλέκτοις [τ. II, σ. 298. III, σ. 67].

---

4. (Ἐν τῷ ἡγουμενείῳ τῆς λαύρας τοῦ ἁγίου Σάβα).—Κῶδιξ ἐκ φύλλων χάρτου 40, οὗ ἡ ἐπιγραφή· «Σημειώματα ἰδιόχειρα τοῦ μακαρίτου ἀρχιμανδρίτου καὶ πνευματικοῦ τῆς λαύρας τοῦ ἁγίου Σάββα τοῦ ἡγιασμένου, Ἰωάσαφ τοῦ Κρητός, ἐλθόντος εἰς τὸν Ἅγιον Σάββαν τῷ 1819 ἔτει καὶ ἀποθανόντος τῷ 1875». Φύλλ. 1-7 Διήγησις περὶ τῶν ἐν τῇ λαύρᾳ γενομένων ἀπὸ τοῦ 1821-ου μέχρι τοῦ 1836-ου ἔτους. — Φ. 7α Ἀνθίμου ἱερομονάχου τοῦ Χίου, Ἁγιοταφίτου, στίχοι πρὸς Ἄνθιμον γραμματικὸν τὸν ἐξ Ἀγχιάλου.—Φ. 7β-8α Συνέχεια τῆς διηγήσεως ἀπὸ τοῦ 1840-ου μέχρι τοῦ 1845-ου ἔτους. — Φ. 8β Στίχοι οἱ ἐπὶ τῆς θύρας τοῦ μεγάλου ναοῦ τῆς λαύρας. — Φ. 8β-11α Κλεόπα Ἱεγέροντος ἔμμετρος ἐπιστολὴ (22 ἰουλίου 1838) πρὸς τοὺς ἐν Ἱερουσαλὴμ ἐπιτρόπους, καὶ ἑτέρα τοῦ αὐτοῦ πρὸς τὸν Σεβαστείας ἀρχιεπίσκοπον Κύριλλον, ὃς εἶτα πατριάρχης Ἱεροσολύμων ἐγένετο. — Φ. 12-21 «Πῶς ἔγινεν ἀφορμὴ καὶ ἀγοράσαμεν (=οἱ Ἁγιοσαβῖται) εἰς τὴν ἁγίαν Βηθλεὲμ ἐλαίας, συχέας, ἀμπέλια, ὁμοίως καὶ τὰ ἀμπέλια ὁποῦ ἔχομεν εἰς τὸν Ἅγιον Γεώργιον, καὶ ποῖος μᾶς ἔστειλεν ἐδῶ τὰ βαρέλια καὶ τὸ καζάνι ὁποῦ εὐγάνομεν τὸ ρακί». Ἀρχ. «Εἰς τοὺς ͵αωιθ' (1819), δεκεμβρίου κθ', ὁποῦ ἦλθον αὐτὸς ἐγὼ καὶ ἐμόνασα ἐδῶ εἰς τὴν ἁγίαν λαύραν» κτλ. — Φ. 21β-40 «Πόσοι ἀδελφοὶ ἐκοιμήθηκαν εἰς τὰς ἡμέρας μας, ἀπὸ τοὺς ͵αωιθ' (1819), δεκεμβρίου 29, ἕως σήμερον ͵αωμε' (1845) νοεμβρίου 20». Ἐν τῷ κεφαλαίῳ τούτῳ περιγράφεται ὁ βίος καὶ ὁ χαρακτὴρ τεσσαράκοντα πατέρων Ἁγιοσαβιτῶν, Παγκρατίου Μωραΐτου, Ἀγαθαγγέλου Ῥώσσου, Γερμανοῦ Βλάχου, Ἀβερκίου, Μιχαὴλ Κυπρίου, Ἰακώβου Κρητός, Ἱερεμίου προχρηματίσαντος ἡγουμένου Βηθλεέμ, Σωφρονίου Ῥοδίου, Ἀθανασίου Μυτιληναίου, Πολυκάρπου, Μελετίου Χαμπέσου (= Αἰθίοπος), Δαβὶδ Μυτιληναίου, Σαμουὴλ Κυπρίου, Δαμιανοῦ Ἀδριανοπολίτου, Ἀθανασίου ξυνούχου Κυπρίου (προχρηματίσαντος ἡγουμένου τῆς μονῆς τοῦ

προφήτου Ἠλιού), Θεοδωρήτου τοῦ ἐκ Τεσσαράκοντα Ἐκκλησιῶν, Κυρίλλου Χίου, Παγκρατίου Χαμπέσου, Ναοὺμ Χαμπέσου, Νικοδήμου Ῥώσσου, Τρύφωνος Ῥώσσου, Παϊσίου Βουλγάρου, Ἀθανασίου Ἁγιορίτου, Ἰωακεὶμ Κρητὸς (πρώην ἡγουμένου Βηθλεέμ), Τίμωνος Ῥώσσου, Δανιὴλ Ῥώσσου, Σεργίου Ῥώσσου, Λουκᾶ Ῥώσσου, Ἀρκαδίου Ῥώσσου, Ἰωαννικίου Μυτιληναίου, Ἐφραίμ, Γερασίμου Κυπρίου, Ἀντωνίου, Ἀγαθαγγέλου, Ὀνουφρίου Ῥώσσου, Νικοστράτου Ἀθωνίτου, Προδρόμου Ῥώσσου, Γεδεὼν Κυπρίου, Θεοδοσίου Κωνσταντινοπολίτου καὶ Κλεόπα τοῦ ἐξ Αἴνου. Διὰ τὸν πρῶτον μοναχόν, τὸν Παγκράτιον, λέγει ὁ συγγραφεύς, ὅτι «ἔγραψε διήγησιν εἰς ἕνα φυλλάδι πῶς ἐπατήθη ἀπὸ κλέπτας ἡ ἁγία μονὴ αὐτὴ εἰς τὰς ἐδικάς του ἡμέρας»· διὰ τὸν Μιχαὴλ Κύπριον, ὀνομαζόμενον πρότερον Μελχισεδέκ, λέγει ὅτι διετέλεσεν ἡγούμενος τῆς λαύρας· διὰ τὸν Ἰάκωβον Κρῆτα, ἱερομόναχον ὄντα, λέγει ὅτι «ἐχρημάτισεν ἡγούμενος (τῆς μονῆς) τοῦ Ἀβραάμ· ἦτον καὶ καλογράφος καὶ ἔγραψε πολλὰς φυλλάδας» καὶ ἐν τῇ λαύρᾳ καὶ ἐν τῷ ναῷ τῆς Ἀναστάσεως [1]· διὰ τὸν Μυτιληναῖον Ἀθανάσιον λέγει· «εἰς τοῦτον ἔγραψε μίαν ὡραίαν νουθεσίαν ὁ μοναχὸς Διονύσιος ὁποῦ ἐκατοίκα εἰς τὸν ἔξω πύργον τοῦ ἁγίου Συμεών, ἐπειδὴ ἦτον μαθηματικός»· διὰ τὸν Ἀγαθάγγελον, Ἀζαρίαν πρότερον ὀνομαζόμενον, λέγει ὅτι «ἔμαθε καλὰ τὴν ἀραβικὴν γλῶσσαν καὶ ἔγινε καὶ παραδραγουμάνος καὶ κανδηλάπτης εἰς τὸ Πατριαρχεῖον καὶ ἡγούμενος εἰς τὸ μοναστήριον τοῦ τιμίου Σταυροῦ». Μετὰ δὲ τὸν βίον τοῦ Δαβὶδ Μυτιληναίου γράφει ταῦτα (φ. 28-29)· «Μετὰ τοῦτον ἀπέθανεν ὁ παπᾶ Σαμουήλ. Οὗτος ἦτον ἀπὸ τὴν Κύπρον, καὶ ἔχων θεῖον τὸν γέρων Μιχαήλ, τὸν εἶχε κοντά του εἰς Ἱερουσαλὴμ καὶ τὸν ἔβαλε καὶ εἰς τὸ σχολεῖον· καὶ ἔχει ἐδῶ πολλὰ βιβλία πατερικὰ μεταγραμμένα, καὶ εὑρίσκονται ἐδῶ εἰς τὴν λαύραν [2]· ὕστερον ἔγινε καὶ ἡγούμενος εἰς τὸν Ἀρχάγγελον. Ἀφ' οὗ δὲ ἔγινεν ὁ θεῖός του Μιχαὴλ ἡγούμενος ἐδῶ εἰς τὴν λαύραν, ἤρχετο καὶ αὐτὸς ἐδῶ, καὶ βλέποντας ὅτι δὲν εἶχαν ἐφη-

[1] Ἱεροσολ. Βιβλιοθ. ΙΙ, σ. 398, 778. — [2] Ἱεροσολ. Βιβλιοθ. Ι, σ. 326. ΙΙ, σ. 214, 382, 431, 574, 577, 603, 604, 619, 782.



μέριον, καὶ παρακαλῶντές τον καὶ οἱ ἀδελφοὶ ἦλθε καὶ ἐκατοίκησεν ἐδῶ καὶ ἦτον ἐφημέριος εἴκοσι χρόνους· ἐπειδὴ δὲ ἔπινε ταμπάκον, ἤθελε νὰ γίνεται ἡ λειτουργία τῶν προηγιασμένων ταχύτερον· ὁ δὲ τότε οἰκονόμος δὲν ἤθελε καὶ ἐγόγγυζεν, καὶ ἐκ τούτου παροργισθεὶς ἐπαραίτησε τὴν λειτουργίαν καὶ ἔγινεν ἐφημέριος ὁ παπᾶ Ἰάκωβος. Ὅταν δὲ ἔφυγεν εἰς Ἱερουσαλὴμ ὁ παπᾶ Ἰάκωβος, οἱ ἀδελφοὶ ἔγραψαν εἰς τοὺς ἁγίους ἐπιτρόπους, καὶ ἐρχόμενος ἐδῶ ὁ ἅγιος Πέτρας Μισαὴλ πρῶτον ἔκαμεν ἐμὲ (= τὸν Ἰωάσαφ) μεγαλόσχημον καὶ ὕστερον ἐχειροτόνησεν ἱερομόναχον καὶ ἐφημερεύω· ἦτον δὲ οὗτος ὁ παπᾶ Σαμουὴλ ἁπλούστατος καὶ ἄκακος ἄνθρωπος, καὶ ὑπηρέτει μὲ πολλὴν ταπεινοφροσύνην τὸν θεῖόν του Μιχαήλ, ὁποῦ ἦτον κουτζὸς καὶ ἔκανε τὴν χρείαν του εἰς τὸ κελλίον του. Καὶ εἰς τὰς κοινὰς ὑπηρεσίας ἦτον πρῶτος καὶ εἰς τὴν ἐκκλησιαστικὴν ἀκολουθίαν, καὶ ἔζησεν ἐδῶ περισσότερον ἀπὸ τριανταπέντε χρόνους· ἀσθενήσας δὲ βαρέως καὶ γενόμενος μοναχὸς μεγαλόσχημος ἀπῆλθε πρὸς Κύριον».—Διὰ δὲ τὸν μοναχὸν Κλεόπαν ταῦτα γράφει (φ. 39 κέ)· «Μετὰ τοῦτον (= Θεοδόσιον) ἀπέθανεν ὁ γέρων Κλεόπας. Οὗτος ἦτον ἀπὸ τὴν Αἶνον καὶ ἔγινεν Ἁγιοταφίτης παιδιόθεν, καὶ ἐχρημάτισε δευτερεύων εἰς τρεῖς πατριάρχας, τὸν ἀοίδιμον Ἄνθιμον, Πολύκαρπον καὶ Ἀθανάσιον, εἰς τοῦ ὁποίου τὰς ἡμέρας καταλιπὼν πάντα ἦλθε καὶ ἐκατοίκησεν ἐδῶ εἰς τὴν λαύραν καὶ ἔγινε μεγαλόσχημος, καὶ ἐπεριπάτει τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν τῆς μοναδικῆς πολιτείας. Εἰς τὴν νεότητά του ὑπῆγεν εἰς ταῖς Κυδωνίαις καὶ ἐσπούδαζε, καὶ ἦτον μαθηματικὸς καὶ ἐσύνθεσε πολλὰ τροπάρια, τὰ ὁποῖα ἔχει γραμμένα εἰς μερικὰ Ὡρολόγια, καὶ ἐσύνθεσεν καὶ εἰς τὸν ἅγιον Καλλίνικον καὶ τὸν ἀπόστολον Κλεόπαν· ἐπειδὴ δὲ ἦτον καλομαθημένος τόσους χρόνους ὁποῦ ἐκάθετο εἰς τὴν Βασιλεύουσαν, ἐστενοχωρεῖτο καὶ ἀπήρχετο κάποτε εἰς τὸ Πατριαρχεῖον καὶ εἰς ἄλλα μέρη, καὶ πάλιν ἤρχετο ἐδῶ εἰς τὴν λαύραν, καὶ ἐκ τούτου ἔγραψαν οἱ τότε ἐπίτροποι τοῦ μακαριωτάτου νὰ μὴν πηγένῃ κανένας πουθενὰ χωρὶς τὴν ἄδειάν τους, καὶ τότε ἔγραψε τὴν ἐπιστολὴν τούτην· "Δεσπόται μου πανσέβαστοι, νὰ ἔχω τὰς



εὐχάς σας. Ἔχω μικρὸν ἐρώτημα, ζητῶ τὰς ἀκοάς σας". Καὶ εἶχεν ἀπόφασιν νὰ ἀπέλθῃ εἰς τὸ Πατριαρχεῖον νὰ καθίσῃ· ὅμως μετὰ ὀλίγας ἡμέρας, ἐπειδὴ ἦτον ἡ ἑορτὴ τοῦ ἁγίου Συμεὼν καὶ ἐπήγαμεν εἰς τὸν ἔξω πύργον καὶ ἐλειτουργήσαμεν, ἦλθεν ἐκεῖ, καὶ κατεβαίνοντας εἰς τὴν σκάλαν εἰς τὸ κάτω ἕνα δύο σκαλοπάτια, ἔπεσε καὶ ἐκ τούτου ἔγινε κατάκοιτος πολὺν καιρόν, καὶ μόλις μὲ δόο πατερίτζαις ἤρχετον εἰς τὴν ἐκκλησίαν ἕως ἕξη χρόνους ὁποῦ ἔζησε μετὰ ταῦτα· καὶ τὸν ἐκύταζεν ὁ γέρων Ἰγνάτιος εἰς ὅλους αὐτοὺς τοὺς χρόνους. Μίαν ἡμέραν ὁποῦ ἐμετάλαβαν ὅλοι οἱ ἀδελφοί, ἐμετάλαβε καὶ οὗτος τῶν ἀχράντων μυστηρίων· εἶτα ἐζήτησε νὰ τοῦ κάμωμεν εὐχέλαιον [καὶ] ἐκοιμήθη ἐν εἰρήνῃ. Τούτου εἶναι ἀνεψιὸς ὁ πανοσιολογιώτατος ἀρχιδιάκων κῦρ Ἰώβ, ὅστις μετὰ τὸν θάνατον τούτου τοῦ θείου του γέρων Κλεόπα μᾶς ἔστειλε πέντε χιλιάδας γρόσια, καὶ μὲ τὰ ἥμισυ ἀγοράσαμεν εἰς τὸν Ἅγιον Γεώργιον τὸ ἀμπέλι τοῦ Σεχ-Αβατάλα καὶ ἔγινε καὶ τὸ τουβάρι ὅλον, ὁμοῦ καὶ τοῦ ἀμπελίου ὅπου ἔχει τὴν κουκουναρίαν· μὲ τὰ δὲ τὰ ἄλλα ἥμισυ ἀγοράσαμεν ἐλαίας εἰς τὴν ἁγίαν Βηθλεέμ. Ἔστειλε καὶ πεντακόσια γρόσια χωριστά, τὰ ὁποῖα ἐμοιράσθηκαν εἰς τοὺς ἀδελφούς, διὰ νὰ εὔχωνται καὶ τὸν κοιμηθέντα καὶ τὸν ἀποστείλαντα. Ἐγράφησαν δὲ τὰ παρόντα τέτραδα εἰς τοὺς ‚αωμε΄, δεκεμβρίου 12, παρὰ τῆς ἐμῆς ἐλαχιστότητος Ἰωάσαφ ἱερομονάχου καὶ πνευματικοῦ τῆς ἁγίας μονῆς ταύτης, καὶ εὔχεσθε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ οἱ ἀναγινώσκοντες».

---

5. (Ἐν τῷ ἡγουμενείῳ τῆς λαύρας τοῦ ἁγίου Σάβα).—Κῶδιξ ἐκ φύλλων στιλπνοῦ χάρτου 238, φέρων ἔξωθεν τὸν ἀριθμὸν $\frac{293}{α'}$ (ὅρα Ἱεροσολυμ. Βιβλιοθ. II, σ. 698. III, σ. 149). Ἐπιγραφή· «Βίος καὶ πολιτεία τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου καὶ καθηγητοῦ τῆς ἐρήμου, μεταφρασθὲν [sic] εἰς τὴν κοινὴν γλῶτταν». Ἀρχ. «Δὲν εἶναι κανένα πρᾶγμα ὁποῦ νὰ παρακινᾷ» κτλ. Ἐν τῷ 238-ῳ φύλλῳ· «Ἐμεταφράσθη ὁ τοῦ ἁγίου πατρὸς ἡμῶν Σάββα βίος ἐκ τῆς ἑλληνίδος εἰς τὴν



βων, οὗ τὰ ὀλίγα βιβλία καὶ τὰς εἰκόνας παραλαβόντες οἱ τοῦ Τιμίου Σταυροῦ μοναχοί, τὰ μὲν ἔρριψαν ἐν τῇ βιβλιοθήκῃ, τὰς δὲ ἀνήρτησαν ἐν τῷ ναῷ, ὧν ἴχνη σῴζονται καὶ μέχρις ἡμῶν [1]. Διηγήσαντο δὲ ἡμῖν οἱ γεραίτεροι τῶν πατέρων, ὅτι τὴν ἱερὰν ταύτην μονὴν τοῦ Τιμίου Σταυροῦ κατὰ τοὺς δεινοὺς ἐκείνους χρόνους κυριεύσαντες οἱ Ἄραβες ἐκράτησαν πεντήκοντα περίπου ἔτη [2]. Τί δὲ ἔπαθεν ἡ βιβλιοθήκη ἐν ἐκείναις ταῖς καταδρομαῖς τῶν Ἀράβων, ἕκαστος κάλλιστα ἐννοεῖ τοῦτο. Πολὺ δὲ πιθανόν, ὅτι τότε πολλὰ ἑλληνικὰ χειρόγραφα ληφθέντα ἐκεῖθεν μετηνέχθησαν εἰς τὴν βιβλιοθήκην τοῦ Κοινοῦ τοῦ Ἁγίου Τάφου, ἢ εἰς τὸν ναὸν τῆς Ἀναστάσεως, ἢ ὅπου ἠδύναντο ἀσφαλισθῆναι. Ἀλλὰ καὶ πόσα διαρπαγέντα ἀπωλέσθησαν; τί δὲ τὰ μείναντα ἐν τῇ βιβλιοθήκῃ; τῇδε κἀκεῖσε ἔκειντο ἐρριμμένα ἐν ὑγρῷ τόπῳ ἐγκλείστῳ πανταχόθεν, ἔμπλεῳ πολυχρονίου κόνεως, βορὰ γινόμενα τῶν μυῶν καὶ σητῶν· τούτου δ᾽ ἕνεκα πλεῖστα ἐφθάρησαν, καὶ πολλὰ ὅλως ἐν ἀχρηστείᾳ ἦσαν.

Πρὸ τῆς Ἑλληνικῆς ἐπαναστάσεως ἄρχων τις Ἴβηρ, ἐλθὼν εἰς Ἱερουσαλὴμ προσκυνήσων τοὺς Ἁγίους Τόπους, ἐπεσκέψατο καὶ τὸ μοναστήριον τοῦ Τιμίου Σταυροῦ καὶ τὴν βιβλιοθήκην αὐτοῦ. Διὰ πολλῶν δὲ παρακλήσεων ἔλαβεν ἐκ τῆς βιβλιοθήκης αὐτοῦ οὐκ ὀλίγα χειρόγραφα ἐπὶ μεμβράνης ἰβηριστὶ γεγραμμένα, ἐπὶ ὑποσχέσει ἵνα ἀποστείλῃ αὐτὰ ὅθεν ἔλαβε μελετήσας πρῶτον. Ἀλλὰ ταῦτα πάντα ἔμειναν ἐν ταῖς ἐν Ἰβηρίᾳ βιβλιοθήκαις καὶ σῴζονται μέχρι τοῦ νῦν, ὡς διαλαμβάνοντα περὶ τῶν ἐν Παλαιστίνῃ πραγμάτων καὶ ἄλλων.

Ὅτε δὲ λαύρως ἐπῆλθεν ἡ ἐθνικὴ ἡμῶν θύελλα, τότε ἕνεκα

[1] Τὰ ἐρείπια τοῦ μονυδρίου τούτου πραθέντα ὑπὸ τῶν Ὀθωμανῶν, ὠνήσατο ὁ ἐν μοναχοῖς Ἀβράμιος, τέκτων τοῦ Κοινοῦ τοῦ Ἁγίου Τάφου. Ταῦτα ἀνεγείρων, ἐν ταῖς ἀνασκαφαῖς εὗρε καὶ ἐπιγραφὰς ἰβηρικάς, γεγλυμμένας ἐπὶ λίθων, ἃς εἴδομεν ἐκεῖ πεφυλαγμένας, ἀγνοοῦντες τὸ σημαινόμενον.

[2] Ὅτι ἀληθῶς κατέλαβον τὴν Ἱερὰν μονὴν οἱ Ἄραβες, καὶ ἐν αὐτῇ εὐκτήριον οἶκον ἀνήγειραν, τοῦτο μαρτυροῦσι τὰ λείψανα τοῦ εὐκτηρίου οἴκου καὶ ἄλλα σημεῖα. Πότε ὅμως τοῦτο συνέβη, οὐκ ἠδυνήθημεν ὁρίσαι. Ἴσως τοῦτο συνέβη, ὅτε οἱ Ἴβηρες δεινῶς ἐπιέζοντο ὑπὸ τῶν δανειστῶν ὀθωμανῶν.



τοῦ φόβου καὶ τοῦ τρόμου ἡ ἱερὰ τοῦ Τιμίου Σταυροῦ μονὴ ἔμεινεν ἄνευ ἡγουμένου καὶ μοναχῶν καὶ ὑφ' ἑνὸς μόνου ὀθωμανοῦ Ἀχμὲτ ἐφυλάττετο, ὃν εὕρομεν καὶ ἡμεῖς διαμένοντα ἐν τῷ μοναστηρίῳ, καὶ παρ' οὗ πολλὰ ἐμάθομεν, λέγοντος· ὅτι ἐπισκευῆς μὴ γενομένης ἕνεκα τοῦ φόβου καὶ τῆς ἐνδείας, κατέρρεον ἐν χειμῶνι ἐντὸς τοῦ θείου ναοῦ τὰ βρόχεια ὕδατα. Ταῦτα δὲ οὐ μόνον τὴν τοιχογραφίαν τοῦ θείου ναοῦ ἔφθειραν, ἀλλὰ καὶ πολλὰ οἰκήματα κάθυγρα ἐγένοντο. Τὰ δὲ βιβλία ἔγκλειστα ὄντα ἐν τῷ παρὰ τὸν μέγαν ναὸν τῆς ἱερᾶς μονῆς κειμένῳ οἰκίσκῳ, ὃς ἦν κατάμεστος κόνεως, κάθυγρος καὶ ἄνευ φωτός, ὄζων σήψεως καὶ δυσόσμου ἀποφορᾶς, τότε πολλοὶ πολλὰ τῶν Εὐρωπαίων ἔλαβον, τὰ μὲν διὰ χρημάτων τὰ δὲ καὶ ἄλλως πως.

Τῷ 1826 ἔτει Ἄγγλοι τινὲς ἱεραπόστολοι διατρίβοντες ἐν Παλαιστίνῃ, ἔλαβον διὰ χρημάτων ἐκ τῆς βιβλιοθήκης ταῦτα· εἰλητάριον περιέχον ἰβηριστὶ γεγραμμένην τὴν θείαν λειτουργίαν ἐπὶ μεμβράνης· εἰλητάριον ἐκ μεμβράνης περιέχον ἰβηριστὶ γεγραμμένον τὸ εὐαγγέλιον τοῦ εὐαγγελιστοῦ Ἰωάννου καὶ τὴν ἀκολουθίαν τοῦ συνήθους ἑσπερινοῦ. Ταῦτα δ' ὠνήσαντο διὰ 450 τουρκικῶν γροσίων, δι' ἃς τότε εἶχεν ἀνάγκας τὸ Γραικικὸν μοναστήριον, κατὰ τὰς δεινὰς καὶ ἀπελπιστικὰς ἐκείνας περιστάσεις.

Ἐπὶ Ἀθανασίου πατριάρχου Ἱεροσολύμων Ἴβηρ τις ἐπίσημος, Γεώργιος τοὔνομα κνέζης, τὴν Αἴγυπτον ἐπισκεψάμενος, μετέβη ἐκεῖθεν εἰς Παλαιστίνην τοὺς θεοβαδίστους προσκυνήσων τόπους· ἔλαβε δὲ κατὰ πατριαρχικὴν ἄδειαν ἐκ τῆς βιβλιοθήκης τοῦ Τιμίου Σταυροῦ ἀρκετὰ χειρόγραφα ἰβηριστὶ γεγραμμένα ἐπὶ μεμβράνης ἐπὶ ἐπιστροφῇ αὐτῶν, ὅταν τύποις εἰς Ἰβηρίαν ἐκδοθῶσιν. Ἀλλ' ἡ ὑπόσχεσις ἠθετήθη καὶ τὰ χειρόγραφα ἔμενον ἐν ταῖς ἐκεῖ βιβλιοθήκαις. Πολλάκις ἔγραφεν αὐτῷ ὁ ἀοίδιμος Ἀθανάσιος περὶ τῆς ἐπιστροφῆς αὐτῶν, ἀλλ' ὁ λαβὼν ἠρνήσατο τῆς ἀποδόσεως αὐτῶν. Ὑπῆρχε δ' ἐν αὐτῇ τῇ βιβλιοθήκῃ καὶ ἡ θεία λειτουργία τοῦ ἁγίου Ἰακώβου ἰβηριστὶ γεγραμμένη ἐπὶ λεπτοτάτης μεμβάνης· ἀλλὰ καὶ τὸ χειρόγραφον τοῦτο δι' ἁρπακτικῆς χειρὸς μετετέθη εἰς τὰς βιβλιοθήκας τῆς Εὐρώπης.



Τὴν περὶ ἧς ὁ λόγος βιβλιοθήκην εἴδομεν καὶ ἡμεῖς κατὰ πρῶτον τῷ 1852 ἔτει κειμένην παρὰ τὴν βόρειον πλευρὰν τοῦ μεγάλου τῆς ἱερᾶς μονῆς ναοῦ. Τὰ χειρόγραφα ἦσαν ἀνωμάλως κείμενα, πλεῖστα ἐφθαρμένα, πλεῖστα διαλελυμένα καὶ ἐσκορπισμένα. Ταῦτα, ὄντα ἐπὶ πολλὰ ἔτη ἀκίνητα καὶ ἀνάπλεα παχείας κόνεως, ἓν πρὸς ἓν ἐκτινάξαντες καὶ καθαρίσαντες, κατετάξαμεν αὐτὰ πάλιν ἐν τῇ βιβλιοθήκῃ. Ἐξετάσαντες δ' αὐτὰ εὕρομεν οὐ μόνον ἰβηρικά, ἀλλὰ καὶ ἑλληνικὰ καὶ ἀραβικὰ καὶ συριακὰ καὶ ἀβησινιακὰ καί τινα σλαβικά· καὶ τὰ μὲν ἰβηρικὰ εἶχον τὸν μείζονα ἀριθμόν, τὰ δὲ ἑλληνικὰ τὸν ἥττονα. Ἀραβικὰ μὲν χειρόγραφα ἦσαν ὀλίγα, συριακὰ δὲ ἕως 30 καὶ ἀβησινιακὰ ἕως 20· συνέκειτο δὲ τὸ ὅλον τῆς βιβλιοθήκης ἐκ 400 περίπου χειρογράφων. Ἐν ταῖς ἑλληνικαῖς βίβλοις ὑπῆρχον καὶ ἔντυπα ἀρχαιοτάτων ἐκδόσεων· οἷον, λεξικὸν τοῦ Βαρίνου, τὸ Μέγα Ἐτυμολογικόν, ἀντίτυπά τινα τοῦ Ἰσοκράτους, τοῦ Δημοσθένους, τοῦ Ξενοφῶντος, τοῦ Θουκυδίδου, τοῦ Ὁμήρου, τοῦ Εὐριπίδου, τοῦ Πινδάρου κτλ. εἰς 16-ον σχῆμα· ἐν δὲ τοῖς ἐπὶ χάρτου ἑλληνικοῖς χειρογράφοις εὕρομεν πολλὰ μαθηματάρια [1] ἐφθαρμένα καὶ διαλελυμένα, πολλὰ ἔχοντα θεματογραφικὴν ὕλην κτλ. Οὐδόλως δ' ἀπίθανον, ὅτι οἱ Ἴβηρες φιλομαθεῖς ὄντες, καὶ περὶ τὰ γράμματα καταγινόμενοι, ἐδιδάσκοντο ἐν τῇ ἱερᾷ μονῇ καὶ τὴν ἑλληνικὴν γλῶσσαν. Καὶ τῶν μὲν συριακῶν δύο εἰς φύλ. περιέχουσι φιλοσοφικὰ τοῦ Ἀριστοτέλους, καθάπερ ἡμῖν ἀφηγήσατο ὁ τῶν Σύρων ἱερεύς, ἄλλα εἰσὶν ἱστορικὰ καὶ ἄλλα ἐκκλησιαστικά· τὰ δὲ ἀβησινιακὰ πάντα εἰσὶν ἐκκλησιαστικά. Ὅτε δὲ ἡ ἱερὰ μονὴ κατὰ πατριαρχικὴν ἔγκρισιν ἐπεσκευάζετο καὶ εἰς Θεολογικὴν Σχολὴν μετεβάλλετο, τότε ἡ βιβλιοθήκη μετετέθη ἐν τῷ οἰκήματι τῷ ἄνω τοῦ θείου ναοῦ τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου, ὅπου καὶ νῦν πλεῖστα χειρόγραφα ὑπάρχουσιν ἰβηρικά, ἑλληνικὰ κλ. Ταῦτα μὲν ἐν

[1] Οὕτω λέγομεν τὰ κατὰ τοὺς ἀρχαίους χρόνους διδασκόμενα μαθήματα· περιέχουσι δὲ ταῦτα τὸ κείμενον τοῦ συγγραφέως χειρόγραφον, καὶ ἐπὶ τῶν λέξεων τοῦ κειμένου τὴν ἑρμηνείαν τῆς λέξεως διὰ πολλῶν συνωνύμων λέξεων ψιλοῖς γράμμασι. Τοιαῦτα δ' ἐν ταῖς βιβλιοθήκαις τοῦ Ἁγίου Τάφου ὑπάρχουσι πλεῖστα, δι' ὧν ὁ ἐταστὴς εὐκόλως εὑρίσκει καὶ τὸ ὄνομα τοῦ διδασκάλου καὶ τὸ ὄνομα τοῦ μαθητοῦ.



οἷς ἠκούσαμεν καὶ ἀνέγνωμεν καὶ εἴδομεν περὶ τῆς βιβλιοθήκης τῆς ἐν τῇ ἱερᾷ μονῇ τοῦ Τιμίου Σταυροῦ· ἤδη δὲ λεκτέον καί τινα περὶ τῆς ὑπὸ τοῦ πατριάρχου Κυρίλλου τοῦ β' κατασκευασθείσης βιβλιοθήκης, τῆς κειμένης κατὰ τὴν βόρειον πλευρὰν τῆς σχολῆς, παρὰ τὸ διευθυντήριον.

Ὁ Κύριλλος ὁ β', ὁ ἄξιος τῶν ἀοιδίμων αὐτοῦ προκατόχων Δοσιθέων καὶ Χρυσανθῶν, ἐπιθυμῶν ἀνεγεῖραι μέγαρον τῶν ἱερῶν Πιερίδων μεγαλοπρεπὲς ἐν τῷ θεοδοξάστῳ τῆς Σιὼν περιβόλῳ, ἐξ οὗ ἀνέτειλε τὸ γλυκὺ καὶ θερμὸν τοῦ χριστιανισμοῦ φῶς, τόπον ἐξελέξατο ἱστορικόν, οὗ τὰ γεγονότα ἀρχαιόταται παραδόσεις ἐξυμνοῦσι, τὴν ἱεράν, φημί, μονὴν τοῦ Τιμίου Σταυροῦ. Καίτοι τὸ 1853 ἔτος λίαν ἦν τεταραγμένος ὁ πολιτικὸς τῆς Ἀνατολῆς ὁρίζων καὶ τὸ Κοινὸν τοῦ Παναγίου Τάφου πολυειδῶς ἐμάστιζον αἱ ἀντενέργειαι τῆς Δύσεως, οὐκ ἐδειλίασεν ὅμως ὁ ἀκλόνητον ἔχων τὸ φρόνημα περὶ τὰ καλὰ τὸν ἱερὸν αὐτοῦ σκοπὸν πραγματοποιῆσαι· ἀλλ' ἡ πατριαρχικὴ διαταγὴ περὶ Θεολογικῆς Σχολῆς ἐστάλη ἀπὸ Κωνσταντινουπόλεως, καὶ πᾶσα προπαρασκευὴ ἐγένετο πρὸς τὸ μεταβληθῆναι διὰ πάσης προσπαθείας τὴν ἱερὰν μονὴν τοῦ Τιμίου Σταυροῦ εἰς εὐρεῖαν Θεολογικὴν Σχολήν· ἐπειδὴ δὲ οἱ τυραννικοὶ αἰῶνες πολλὰ μέρη αὐτῆς ἐξησθένησαν καὶ τὰ ῥάκη τῆς ἀσχημίας καὶ καταπτώσεως περιέβαλον, τὸ πλεῖστον τοῦ ἐσωτερικοῦ δι' ἁδρᾶς δαπάνης ἐκ βάθρων ἐκαινουργήθη καὶ τὰ πάντα ἐκαλλωπίσθησαν, εἰς οἰκήματα εὐρέα καὶ αἰθούσας μεγαλοπρεπεῖς μεταβληθέντα, πρὸς ἄνεσιν τῶν τε διδασκόντων καὶ διδασκομένων. Ὅπως δὲ καὶ οἱ πρῶτοι καὶ οἱ δεύτεροι ἀφθόνως ἀρύωνται τὰς γνώσεις τῶν σοφῶν τοῦ παρελθόντος καὶ τοῖς πᾶσιν ἡ μελέτη καρποφόρως γίγνηται, ᾠκοδομήσατο ἐν τῇ σχολῇ ὁ τῶν γραμμάτων προστάτης καὶ οἰκοδόμημα εὐρὺ καὶ ἀσφαλὲς μετὰ πολυτελεστάτων πυκτίων, πρὸς συλλογὴν παντοίων βίβλων χειρογράφων καὶ ἐντύπων. Αὕτη δὲ ἡ βιβλιοθήκη φέρει τόνδε τὸν τίτλον· «Βιβλιοθήκη τῆς Θεολογικῆς τῶν Ἱεροσολύμων Σχολῆς».

Ἡ νεωτάτη αὕτη βιβλιοθήκη, ἡ παρὰ τοῦ μακαριωτάτου Κυρίλλου β' κατασκευασθεῖσα καὶ παντοίοις συγγράμμασι πλουτισθεῖσα,



περιέχει καὶ χειρόγραφα καὶ ἔντυπα. Καὶ τῶν μὲν χειρογράφων 70 περίπου εἰσὶν ἰβηρικά, τὰ μὲν ἐπὶ μεμβράνης, τὰ δὲ ἐπὶ χάρτου παχέος, ἅτινα ληφθέντα κατ' ἐκλογὴν ἐκ τῶν τῆς ἀρχαίας βιβλιοθήκης τῆς ἱερᾶς μονῆς ἐνεπετέθησαν τῇ βιβλιοθήκῃ. Ἑλληνικὰ δὲ ἐπὶ μεμβράνης καὶ ἐπὶ χάρτου πλείω τῶν 50 εἰσίν, ὧν τὰ μὲν ἐλήφθησαν ἐκ τῶν τῆς βιβλιοθήκης τῆς ἱερᾶς μονῆς, τὰ δὲ πλείω ἡμεῖς αὐτοὶ διὰ πατριαρχικῆς ἐγκρίσεως εἰς τὴν σεβασμίαν τοῦ ἁγίου Σάββα λαύραν μεταβάντες, καὶ κατ' ἐκλογὴν ἐκ τῶν ἐκεῖ βιβλιοθηκῶν λαβόντες, μετηνέγκομεν εἰς Ἱερουσαλήμ. Τούτοις δὲ καὶ ἄλλα ἐκ τῆς ἰδίας αὐτοῦ βιβλιοθήκης χειρόγραφα καὶ ἔντυπα προσθεὶς ὁ μακαριώτατος πατριάρχης ἐναπέθηκε τῇ βιβλιοθήκῃ τῆς σχολῆς, ὧν ἕκαστον τῶν χειρογράφων φέρει καὶ ἰδίαν σημείωσιν, διαλαμβάνουσαν πότε καὶ πόθεν ἐλήφθησαν. Εἰσὶ δὲ καί τινα χειρόγραφα ἀραβικά, τὰ πλεῖστα ἐπὶ χάρτου καὶ ἕτερα χειρόγραφα ἑλληνικά, ἀφιερωθέντα παρὰ τοῦ μὲν καὶ τοῦ δὲ τῶν Ἁγιοταφιτῶν. Τῶν δὲ ἐντύπων διάφορα μὲν βιβλία, ληφθέντα ἐκ τῶν διπλῶν καὶ τριπλῶν τῶν τῆς ἐν Κωνσταντινουπόλει βιβλιοθήκης τοῦ Ἁγίου Τάφου, ἐστάλησαν ἀπὸ Κωνσταντινουπόλεως, κατ' ἔγκρισιν πατριαρχικήν· διάφορα δὲ ἐλήφθησαν ἐκ τῶν διπλῶν καὶ τριπλῶν τῆς βιβλιοθήκης τοῦ Κοινοῦ τοῦ Ἁγίου Τάφου καὶ ἐν τῇ βιβλιοθήκῃ τῆς σχολῆς ἐτέθησαν, κατ' ἔγκρισιν ὡσαύτως πατριαρχικήν. Πολλὰ δὲ καὶ χρησιμώτατα συγγράμματα τῶν ἱερῶν πατέρων καὶ ἄλλων συγγραφέων τῶν ἀρίστων ἐκδόσεων, ὠνησάμενος ὁ πατριάρχης ἀφιερώσατο. Ὁ αὐτὸς δὲ ἐκόσμησεν αὐτὴν καὶ διὰ πλουσιωτάτης συλλογῆς, συγκειμένης ἐκ τῶν συγγραμμάτων τῶν ἐν Εὐρώπῃ σοφῶν, ὅσοι συνέγραψαν περὶ Παλαιστίνης. Τοῦτον δὲ τὸν φιλόμουσον πατριάρχην ἐμιμήθησαν καὶ πολλοὶ τῶν Ἁγιοταφιτῶν, οἵτινες ἐν Εὐρώπῃ διὰ παραγγελίας τὰ χρησιμώτατα συγγράμματα τῆς τε θύραθεν καὶ τῆς ἔξω σοφίας προμηθευθέντες δι' ἰδίας αὐτῶν δαπάνης, ἀφιέρωσαν τῇ βιβλιοθήκῃ τῆς σχολῆς [1].

[1] Ὅσοι μὲν ἀφιέρωσαν πρίν, τούτους δύναται ὁ ἀναγνώστης διελθεῖν ἐν τῇ παρ' ἡμῶν ἐκδοθείσῃ ἑρμηνείᾳ τῶν Ἀναβαθμῶν τῆς Ὀκτωήχου, σελ. ιζ'· ὅσοι δὲ μετὰ ταῦτα, ὅπως καὶ τούτων τὰ ὀνόματα γνωστὰ γίγνωνται τῷ ἑλληνικῷ κόσμῳ, οὗτοί εἰσι· α') ὁ



Κληρονόμος δὲ καὶ τῶν βιβλίων ὅλων τῶν λογίων Ἁγιοταφιτῶν μετὰ θάνατον ἔστιν ἡ τῆς σχολῆς βιβλιοθήκη. Ἐν αὐτῇ ὑπάρχει ἡ βιβλιοθήκη τοῦ μακαριστοῦ Διονυσίου τοῦ Κλεόπα, ἡ τοῦ ἱεροδιακόνου Εὐθυμίου τοῦ Σαμίου, ἡ τοῦ ἀρχιμανδρίτου Καισαρίου καὶ ἄλλων μακαριστῶν Ἁγιοταφιτῶν. Ὑπάρχουσι δὲ νῦν ἐν τῇ βιβλιοθήκῃ ταύτῃ ἔντυπα μόνον ὑπὲρ τοὺς 9000 περίπου τόμους· φέρει δ' ἕκαστος τούτων τὴν σφραγῖδα τῆς σχολῆς καὶ τὸν ἀριθμόν. Τοσαῦτα ἐν ὀλίγοις καὶ περὶ τῆς βιβλιοθήκης τῆς θεολογικῆς τῶν Ἱεροσολύμων σχολῆς, ἀφορμὴν παρέχοντες τοῖς πολλὰ καὶ ἀκριβέστερα δυναμένοις περὶ τοιούτων ἀντικειμένων γράψαι.

Περὶ τῶν βιβλιοθηκῶν τῶν ἐν τῇ ἱερᾷ καὶ σεβασμίᾳ λαύρᾳ τοῦ ἁγίου Σάββα.

Πότε μὲν καὶ ὑπὸ τίνος ἡ σεβασμία τοῦ ἁγίου Σάββα λαύρα ἐθεμελιώθη καὶ ποίας καταστρεπτικὰς ὑπέστη συμφορὰς κατὰ διαφόρους αἰῶνας, ταῦτα ἐν συντόμῳ περιγράφει ὁ μακαριστὸς ἀρχιμανδρίτης καὶ πρώην καθηγητὴς τῆς θεολογικῆς τῶν Ἱεροσολύμων σχολῆς Βενιαμὶν Ἰωαννίδης [1]. Ἡμεῖς δὲ τινὰ μόνον δανειζόμενοι τῆς ἱστορίας, ἐκτιθέμεθα αὐτὰ πρὸς κατάληψιν τῆς συντόμου περὶ τῶν βιβλιοθηκῶν αὐτῆς ἀφηγήσεως ἡμῶν.

ἐν μοναχοῖς κ. Πολύκαρπος, καμαράσης τοῦ ἱεροῦ Κοινοῦ τοῦ Παναγίου Τάφου, ὁ ἐκ Σμύρνης ὁρμώμενος· οὗτος διὰ 10,000 γρ. τῶν ἀρίστων τῆς Εὐρώπης ἐκδόσεων πλεῖστα συγγράμματα τῆς τε ἐκκλησιαστικῆς καὶ κοσμικῆς σοφίας ὠνησάμενος ἀφιέρωσε τῇ βιβλιοθήκῃ τῆς σχολῆς· β') ὁ πρώην πρωτοσύγκελλος καὶ καθηγούμενος τῆς ἐν Ἰόππῃ ἱερᾶς μονῆς τοῦ ἁγίου Γεωργίου, νῦν δὲ ἀρχιεπίσκοπος Βηθλεὲμ κ. Ἀγάπιος, ὁ ἐκ Βόλου, τῆς περὶ τὰ καλὰ φιλοτιμίας τοῦ κ. Πολυκάρπου καμαράση μιμητὴς γενόμενος, πολλὰ χρήσιμα καὶ ὠφέλιμα τῶν σοφῶν τῆς Εὐρώπης συγγράμματα διὰ 6000 γρ. ἐξ Εὐρώπης μεταπεμψάμενος προσήνεγκε τῇ βιβλιοθήκῃ· γ') ὁ γέρων σκευοφύλαξ τοῦ εὐαγεστάτου ναοῦ τῆς Ἀναστάσεως κ. Σεραφίμ, καὶ ἔφορος τῆς Θεολογικῆς Σχολῆς προσήνεγκεν ὑπὲρ τοὺς 100 τόμους διαφόρων συγγραφέων κατ' ἐκλογήν· δ') ὁ ταμίας τοῦ Κοινοῦ τοῦ Ἁγίου Τάφου, ἀρχιμανδρίτης κ. Ἄνθιμος Λέσβιος, διὰ 100 ὀθωμανικῶν λιρῶν ὠνησάμενος ἐν Εὐρώπῃ τὰ ἀναγκαιότατα τῆς πειραματικῆς φυσικῆς ὄργανα, προσήνεγκε τῇ σχολῇ. Πάντες δ' οὗτοι ἐν τῇ ἱστορίᾳ τῆς Θεολογικῆς τῶν Ἱεροσολύμων Σχολῆς κατέβαλον τὰ σπέρματα τῆς εὐεργετικῆς αὐτῶν προαιρέσεως, πρὸς καρποφορίαν τῆς ἀϊδίου εὐγνωμοσύνης τῶν νῦν σπουδαζόντων καὶ τῶν μετὰ ταῦτα. Δῆλον οὖν ἐκ τούτων, ὅτι καὶ ἡ τῶν Ἁγιοταφιτῶν φιλομουσία οὐκ ἀπολείπεται τῆς φιλομουσίας τῶν ἀλλαχοῦ τοῦ ἑλληνικοῦ ἐδάφους ὁμογενῶν ἡμῶν.

[1] Ὅρα τὸ ὑπ' αὐτοῦ συγγραφὲν Προσκυνητ. τῆς Ἁγίας Γῆς, τεῦχος β' σ. 125.



Ἐπὶ Γερμανοῦ Πατριάρχου, καὶ πρὶν ἴσως ἔτι, φαίνεται ἐκ τῶν ἐπισήμων ἀραβικῶν ἐγγράφων, ὅτι ἐν τῇ ταπεινῇ λαύρᾳ τοῦ ἁγίου Σάββα καὶ ἐν τοῖς περὶ αὐτὴν σπηλαίοις μετήρχοντό τινες τὸν μοναστικὸν βίον· ἀλλ' ἐντεῦθεν μέχρι Δοσιθέου πατριάρχου ἡ πολυπαθὴς αὕτη λαύρα νῦν μὲν ἐπέχεεν ἀμυδράς τινας ἀκτῖνας τῆς μοναστικῆς πολιτείας ἐπὶ τὴν ἔρημον καὶ ἐν τοῖς σπηλαίοις αὐτῆς, νῦν δὲ τὰ πεπυκνωμένα νέφη τοῦ Ἰσλαμισμοῦ καὶ τῶν ὁρμητικῶν ἐπιδρομῶν τῶν Ἀράβων ἐσκότιζον αὐτὴν καὶ ἀκατοίκητον κατελίμπανον αὐτήν. Ἐν ὅλῳ μὲν τῷ διαστήματι τούτῳ ἡ σεβασμία λαύρα τοῦ ἁγίου Σάββα ὑπὸ τὴν ὠμότητα καὶ δεισιδαιμονίαν τῶν ἀγρίων τῆς ἐρήμου σκηνιτῶν κατὰ διαφόρους καιροὺς ἐχρημάτισε διδακτήριον τῆς πνευματικῆς ἀγωγῆς οὐ μόνον Ἕλλησιν, ἀλλὰ καὶ Βουλγάροις καὶ Σέρβοις καὶ τοῖς ἄλλοις τῶν ὀρθοδόξων λαῶν. Ἀλλ' ἡ φορὰ τοῦ χρόνου πάσας τὰς σμικρὰς ταύτας τοῦ μοναστικοῦ βίου ἑνότητας διέλυσε, τὴν δὲ σεβασμίαν λαύραν ὑπὸ τὸ κράτος τῆς ἐρημώσεως καθυπήνεγκεν. Ἐν ταῖς τοιαύταις δὲ τρικυμίαις, καθ' ἃς τὸ σκάφος τοῦ μοναστικοῦ βίου ἐναυάγει, οἱ ἐκ τοῦ ναυαγίου περισῳζόμενοι μοναχοὶ τά τε βιβλία καὶ εἴ τι ἄλλο ἄξιον λόγου ἔθαπτον ἐν τοῖς σπηλαίοις, ἢ ὅπου ἦν ἀσφάλεια [1].

Ἐν τῇ βιβλιοθήκῃ τῆς ἱερᾶς μονῆς τοῦ Τιμίου Σταυροῦ εὑρόντες τὴν Δωδεκάβιβλον τοῦ Δοσιθέου πατριάρχου Ἱεροσολύμων χειρόγραφον, διαλελυμένην μέν, ἀλλὰ κατάμεστον σημειώσεων ἱστορικῶν, ἃς ὁ αὐτὸς ἰδιοχείρως σεσημείωκεν ἐπὶ τῶν περιθωρίων

[1] Ἀπέναντι τοῦ σπηλαίου, ἐν ᾧ τοὺς πνευματικοὺς ἀγῶνας ἠσκεῖτο καὶ τοὺς ὕμνους τῆς ἐκκλησίας τῷ τῆς θαυμασίας μελῳδίας νήματι ἐξύφαινεν Ἰωάννης ὁ Δαμασκηνός, κεῖται κατὰ τὴν ἀνατολικὴν τοῦ χειμάρρου πλευρὰν τὸ τοῦ Ἰωάννου τοῦ Κολωνίας σπήλαιον. Ἔστι δ' αὐτὸ εὐρύτατον καὶ διπλοῦν, πολλὰς ἔχον ἐντὸς ὀπὰς καὶ ἀνωμαλίας. Εὗρον δ' ἐν αὐτῷ τυχαίως πρὸ χρόνων τινὲς τῶν Ἁγιοσαββιτῶν ἔν τινι τῶν ὀπῶν, κεχρισμένῃ οὔσῃ καὶ ὑπὸ τοῦ χρόνου ἀδιακρίτῳ, Ψαλτήριόν τι καὶ Εὐαγγέλιον εἰς σχῆμα μικρόν, ἐπὶ μεμβράνης γεγραμμένα ἀμφότερα, καὶ κηρούς τινας, τὸ χρῖσμα ἀφελόντες καὶ τὴν πλάκα ἄραντες. Τὰ δύο δὲ ταῦτα χειρόγραφα ἀπὸ χειρὸς εἰς χεῖρα περιῆλθον καὶ εἰς τὰς τοῦ μακαριστοῦ Ἰωὴλ ἀρχιμανδρίτου, παρ' οὗ λαβὼν ὁ ἀνεψιὸς αὐτοῦ Γεράσιμος ἀρχιεπίσκοπος Λύδδης ἀφιέρωσε τῇ βιβλιοθήκῃ τῆς Θεολογικῆς τῶν Ἱεροσολύμων Σχολῆς, ἐν ᾗ καὶ νῦν διατηροῦνται. Πολλοὶ δὲ τῶν Ἁγιοσαββιτῶν ἀφηγήσαντο ἡμῖν, ὅτι καὶ εἰκόνας εὗρον ἐν τοῖς σπηλαίοις καὶ ἄλλα τινὰ πράγματα, οἷον κηρουλεῖα μικρὰ καὶ σταυρούς.



εἰς ὁλοκλήρους σελίδας τῆς βίβλου, ἀνέγνωμεν μετὰ προσοχῆς, ὅσα ἀνεφέροντο εἰς τὴν πολυπαθῆ λαύραν τοῦ ἁγίου Σάββα, ὅτι τὸ ἔνδοξον τοῦτο τῆς ὀρθοδοξίας μνημεῖον κατηρημώθη ὑπὸ τῶν Ἀράβων πολλάκις, ὅτι τετράκις ἐγκατελείφθη ὑπὸ τῶν μοναστῶν ἕνεκα τῆς ὠμότητος τῶν Ἀράβων, μεῖναν ἄμορφος σωρὸς ἐρειπίων, ἐκτὸς τοῦ θείου ναοῦ καὶ τοῦ πύργου, καὶ ὅτι ἐν τῇ ἐκπληκτικῇ ἐκείνῃ ἐρήμῳ κειμένη ἐχρημάτισε καὶ κατοικία τῶν σκηνιτῶν Ἀράβων. Κατάδηλον οὖν ἐκ τούτων, ὅτι καὶ τὰ βιβλία διαρπαγέντα κατεστράφησαν ἢ ἐτάφησαν ὑπὸ τὴν γῆν ἐν σπηλαίοις, καθ' οὓς καιροὺς ἠρημώθη, καὶ πλεῖστα ἄλλα ἄξια λόγου τῆς ἀρχαιότητος ἅρπαγμα ἐγένοντο τοῖς Βαρβάροις, ὅσα οἱ τότε μονασταὶ οὐκ ἠδυνήθησαν ἐκφυγαδεῦσαι εἰς ἄγνωστα καὶ ἀσφαλῆ σπήλαια.

Ἐν ἑτέρῳ δὲ ὑπομνήματι συνταχθέντι μὲν παρά τινος ἀνωνύμου, σῳζομένῳ δ' ἤδη ἔν τινι ἐπὶ μεμβράνης χειρογράφῳ, ἀνέγνωμεν, ὅτι τὸ μοναστήριον τοῦ ἁγίου Σάββα ἦν ἠρημωμένον καὶ κατῳκεῖτο ὑπὸ τῶν δύο ἀραβικῶν φυλῶν, τῶν καὶ ἤδη ἐπονομαζομένων τῶν μὲν Ἀμπετήδων, τῶν δὲ Ταμαριτῶν. Καὶ τὸ μὲν βόρειον τοῦ μοναστηρίου κατῳκεῖτο ὑπὸ τῶν Ἀμπετήδων τὸ δὲ μεσημβρινὸν κατεῖχον οἱ Ταμαρῖται. Καὶ ἐκείνους μὲν διὰ τρόπου ὁ ἀοίδιμος Νεκτάριος ἐξώσας ἀνήγειρε τὸν τοῖχον τὸν ἀπὸ τοῦ πύργου τοῦ Ἰουστινιανοῦ ἄχρι τῆς ἀνατολικῆς πλευρᾶς, τοὺς δὲ Ταμαρίτας ἐξέβαλεν ὁ ἀοίδιμος Δοσίθεος, παρ' οὗ πλεῖστα μέρη τῆς σεβασμίας λαύρας ἀνεκαινίσθησαν. Ἀλλ' ὅμως καὶ ἐν τοιαύτῃ ἐρημώσει οὐκ ἔλλειπόν τινες τῶν μοναστῶν διὰ τὸ σεβάσμιον τοῦ τόπου οἱ μὲν μονάζοντες ἐν τοῖς σπηλαίοις, τοῖς ἔνθεν καὶ ἔνθεν τοῦ καταπληκτικοῦ χειμάρρου, οἱ δὲ ἐν τοῖς σπηλαίοις καὶ ἐρειπίοις, τοῖς ἐντὸς τῆς σεβασμίας λαύρας, οὓς οἱ Ἄραβες οὐκ ἔβλαπτον, οὐδ' ἠνώχλουν, ἀλλὰ μάλιστα καὶ σεβόμενοι ἐβοήθουν αὐτοῖς.

Ὅτε δὲ ὁ ἱερὸς Δοσίθεος ἔξωσε τοὺς Ἄραβας, περιετείχισε τὰ ὑπὸ τῶν Ἀράβων προσβαλλόμενα ἄκρα, ἐπεσκεύασε τὰ ἐντὸς τῆς λαύρας καὶ ἀνέδειξε πάλιν αὐτὴν ἀσφαλῆ κατοικίαν τῶν μοναστῶν, τότε καὶ ἀσκηταὶ κατῴκησαν καὶ δύο βιβλιοθῆκαι συνεκροτήθησαν, ὧν ἡ μὲν ἐν τῷ μεγάλῳ ναῷ τῆς σεβασμίας λαύρας



κειμένη παρὰ τὴν μεσημβρινὴν πλευρὰν αὐτοῦ, ἡ δὲ ἐντὸς τοῦ μεγάλου καὶ ὑψηλοῦ πύργου τοῦ Ἰουστινιανοῦ. Ἐν αὐταῖς ἐτέθησαν οὐ μόνον ὅσα βιβλία εὑρέθησαν χειρόγραφά τε καὶ ἔντυπα, τὰ μὲν ἐν τοῖς σπηλαίοις κείμενα, τὰ δὲ ἐν τοῖς ναΐσκοις (παρεκκλήσια) τῆς λαύρας καὶ ἄλλα ἀλλαχοῦ, ἀλλ' ἐν αὐταῖς μετηνέχθησαν καὶ ἀπὸ τῆς ἐντὸς τῆς Ἱερουσαλὴμ ἱερᾶς μονῆς τῶν Ἀρχαγγέλων, ἐν ᾗ ἄλλοτε κατῴκουν οἱ Σέρβοι, καὶ ἀπὸ πολλῶν μονῶν καὶ ἐκ τοῦ μεγάλου μοναστηρίου, ὅσα οὐκ ἐχώρουν ἐν τοῖς Συνοδικοῖς. Εὑρέθησαν δ' ἐν αὐταῖς καὶ χειρόγραφα, ἅτινα πάλαι ἦσαν ἐν τῷ θείῳ ναῷ τῆς Ἀναστάσεως. Ὑπάρχουσι δὲ καὶ νῦν χειρόγραφα ἐπὶ μεμβράνης, ἅπερ πάλαι ἦσαν ἐν ταῖς κατὰ τὴν ἔρημον τοῦ Ἰορδάνου ἱεραῖς μοναῖς τοῦ ἀββᾶ Γερασίμου καὶ Ἰωάννου τοῦ Προδρόμου (πάλαι τῆς Ἁγίας Τριάδος). Πότε ὅμως καὶ πῶς εἰσήχθησαν ταῦτα καὶ διετηρήθησαν ἐν τῇ σεβασμίᾳ λαύρᾳ τοῦ ἁγίου Σάββα, ἄδηλον ἡμῖν τοῦτο, ἕνεκα τῶν μὴ σῳζομένων ὑπομνημάτων. Τῶν βιβλιοθηκῶν τούτων ἡ μὲν ἐν τῷ θείῳ ναῷ ἐστι σμικρά, καὶ ὑπάρχουσιν ἐν αὐτῇ χειρόγραφα καὶ ἔντυπα τὰ πλεῖστα, ἡ δὲ ἐν τῷ ἰουστινιανείῳ πύργῳ μείζων, καὶ ἐκτὸς ὀλίγων ἐντύπων, πάντα εἰσὶ χειρόγραφα ἐπὶ μεμβράνης καὶ ἐπὶ χάρτου [1]. Πρὸ πολλῶν δὲ χρόνων ὑπῆρχον ἐν αὐταῖς πολλὰ καὶ σπάνια καὶ ἀρχαῖα χειρόγραφα, ἀλλὰ κατὰ καιρούς, ἕνεκα ἐπιδρομῶν καὶ ἄλ-

[1] Σημειωτέον, ὅτι ὁ μὲν Παΐσιος ὁ ἐκ Ῥιλίας τῆς Βουλγαρίας ὁρμώμενος, καὶ 40 ἔτη ἐν τῷ πνευματικῷ τούτῳ γυμναστηρίῳ μονάσας, τὴν ἐν τῷ πύργῳ βιβλιοθήκην δι' ἰδίας αὐτοῦ δαπάνης μετὰ θέσεων εὐρυχώρων καὶ ὑέλων καθαρῶν κατεσκευάσατο· ὁ δὲ Ἰωαννίκιος ὁ ἀπὸ Λαζίας 50 ἔτη ἐν τῇ σεβασμίᾳ λαύρᾳ τοῦ ἁγίου Σάββα τὰ πνευματικὰ ἠσκηκώς, πάντας τοὺς μονάζοντας ὑπὸ τὰς πνευματικὰς αὐτοῦ ὁδηγίας εἶχεν. Οὗτος μικράς τινας γνώσεις ἔχων τοῦ βιβλιοδετεῖν, ἰδίοις ἀναλώμασι πλείστους κώδικας ἐπὶ μεμβράνης διαλελυμένους καὶ διεσκορπισμένους ἀτέχνως καὶ ἀκόμψως ἔδεσεν· ἀλλ' ὅμως ἐπὶ τῶν σκεπασμάτων αὐτῶν φύλλα ἐκ κώδικος ἀρχαιοτάτου Ἑλλήνων συγγραφέων προσεκόλλησε. Ταῦτα ἀφηγήσατο ἡμῖν ὁ ἐπὶ πολλῇ ἀρετῇ διαπρέπων Ἰωάσαφ ἀρχιμανδρίτης καὶ ἡγούμενος τῆς σεβασμίας λαύρας τοῦ ἁγίου Σάββα, ὁ ἐπὶ 50 ἔτη καθ' ὅλους τοὺς πνευματικοὺς τύπους ἰθύνας τὸ εὐαγὲς τοῦτο ἐκπαιδευτήριον τῆς μοναστικῆς πολιτείας· τῷ σεβαστῷ τούτῳ ἀνδρὶ ὀφείλεται οὐ μόνον ἡ ὑλικὴ καὶ ἐξωτερικὴ εὐπρέπεια, ἀλλὰ καὶ ἡ πνευματικὴ προαγωγὴ τῆς σεβασμίας λαύρας ἐπὶ τὰ κρείττω, ἣν πᾶς ξένος, ὀρθόδοξος καὶ μή, ἐπισκεπτόμενος λίαν κατανύγεται, εἰς σκέψεις θρησκευτικὰς καταδυόμενος.



λων περιστάσεων, τὰ μὲν ἐφθάρησαν, τὰ δὲ ἐκλάπησαν, καὶ ἄλλα μὲν μετηνέχθησαν εἰς τὴν βιβλιοθήκην τοῦ Κοινοῦ τοῦ Ἁγίου Τάφου, ἄλλα δὲ ἐσχάτως εἰς τὴν βιβλιοθήκην τῆς Θεολογικῆς τῶν Ἱεροσολύμων Σχολῆς.

Ἄνωθεν τοῦ θείου ναΐσκου (παρεκκλησίου) τοῦ ἐπ' ὀνόματι τοῦ ἁγίου Νικολάου, τοῦ ὑπάρχοντος ἐντὸς τῆς σεβασμίας λαύρας, ὑπάρχει ἄντρον τι αὐτοφυὲς καὶ λίαν ἐπίμηκες, ἐκτεινόμενον ὑπογείως πρὸς τὸν πύργον τοῦ Ἰουστινιανοῦ. Τὸ ἄντρον τοῦτο ἔχον πολλὰς εὐρείας ῥαγάδας, ὧν τινὰς καὶ χεὶρ ἀνθρώπου ἐξωμάλυνε πρὸς ἐναπόθεσιν πραγμάτων, δι' οὐδενὸς ἄλλου μέρους προσιτὸν γίγνεται, εἰ μὴ διὰ μιᾶς μόνης στενῆς ὀπῆς, οὔσης καὶ αὐτῆς κατὰ μεσημβρίαν ὑπὲρ τὰ τρία μέτρα ἄνω τοῦ ἐδάφους. Εἰσέρχεται δέ τις δι' αὐτῆς ἀναβαίνων κλίμακα κινητήν. Ἐν αὐτῷ τῷ ἄντρῳ πολλὰ ἀρχαῖα καὶ πολύτιμα πρὸ ἀμνημονεύτων χρόνων διετηρήθησαν κατὰ διαφόρους ἐπιδρομὰς τῶν Ἀράβων· ἐν αὐτῷ ἐν καιρῷ ἐπιδρομῆς οἱ ἐν τοῖς σπηλαίοις τοῖς ἔνθεν καὶ ἔνθεν τοῦ χειμάρρου, καὶ οἱ ἐν ταῖς πέριξ ἱεραῖς μοναῖς μονάζοντες μονασταί, ὅ τι ἄξιον λόγου ἦν αὐτοῖς, οἷον βιβλία, εἰκόνες, σκεύη κτλ., διετήρουν ἀσφαλῶς, κρύπτοντες αὐτά· ἐν αὐτῷ δὲ ἐν πολέμοις καὶ ἐπιδρομαῖς τῶν ἀραβικῶν φυλῶν οἱ χριστιανοὶ τῆς Βηθλεὲμ καὶ ἄλλων χριστιανικῶν χωρίων τά τε βιβλία καὶ πολύτιμα αὐτῶν ἄλλα πράγματα μετακομίζοντες ἐναπετίθεσαν, πρὸς φύλαξιν αὐτῶν. Ἀλλ' ἡ κοινὴ καὶ ἀσφαλὴς αὕτη ἀποθήκη ἐν ἔτει ἀγνώστῳ (ἴσως δέ, κατὰ τὰς διηγήσεις τῶν τε Ἁγιοσαββιτῶν καὶ Ἁγιοταφιτῶν, πρὸ 150 ἢ 170 ἐτῶν) ἐπυρπολήθη δυστυχῶς, ὡς ἐφεξῆς· ὁ τότε νεωκόρος τοῦ θείου ναοῦ τῆς σεβασμίας λαύρας, κατὰ τὴν παραμονὴν τῆς μνήμης τοῦ ἁγίου Σάββα, παρὰ τοῦ τότε ἡγουμένου διαταχθεὶς ἵνα ἐκεῖθεν πράγματα ἄρῃ, πρὸς τὸ κοσμῆσαι κατὰ τὸ ἔθος τὸν θεῖον ναόν, εἰσῆλθεν ἐν αὐτῷ μετὰ κηροῦ ἡμμένου, καὶ παραλαβὼν ἅπερ διετάχθη, κατῆλθεν. Ἀλλ' ἢ σπινθὴρ ἔπεσεν ἐκ τοῦ κηροῦ, ἢ πρᾶγμά τι λεπτὸν ἧψε, μὴ κατιδόντος τοῦτο τοῦ νεωκόρου, ἢ αὐτὸς ὁ κηρὸς ἔμενέ που κεκολλημένος καὶ ἔπεσεν εἶτα ἐπί τι πρᾶγμα τῶν εὐπρήστων, ἄγνωστα ἡμῖν τὰ πάντα· γνωστὸν δ' ἡμῖν



ἐκ τῆς ἄχρι τοῦδε παραδόσεως τῶν μοναστῶν τοῦ ἁγίου Σάββα καὶ ἐκ τῶν ἐν διαφόροις χειρογράφοις διασῳζομένων περὶ τούτου ἐπισημειώσεων, ὅτι ἡ πλουσιωτάτη ἐκείνη ἀποθήκη τοῦ ἁγίου Σάββα παρανάλωμα τοῦ πυρὸς ἐγένετο. Ἠκούσαμεν δὲ παρὰ τῶν πρεσβυτέρων ἀδελφῶν τῆς Ἁγιοταφιτικῆς ἀδελφότητος καὶ τῆς τοῦ ἁγίου Σάββα διηγουμένων ἡμῖν, ὅτι τοσαῦτα χειρόγραφα βορὰ ἐγένοντο τοῦ πυρός, ὥστε ἡ ἀποφορὰ τῶν μεμβρανῶν ἔτος ὁλόκληρον διήρκεσε καὶ δυσκόλως ἄνθρωπος διήρχετο ἐκεῖθεν ἔμπροσθεν τοῦ τάφου τοῦ ἁγίου Σάββα. Ὁπόσας δὲ καὶ ὁποίας ἄρα τῶν προγόνων ἡμῶν γνώσεις ἡ κατάφλεξις αὕτη τῇ παντελεῖ ἀπωλείᾳ παραδέδωκε; ὁποία καταδρομὴ τῆς ἑλληνικῆς φιλολογίας! ὅ τι οἱ τότε πατέρες τῆς βαρβάρου καὶ καταστρεπτικῆς χειρὸς ἐν κόπῳ πολλῷ καὶ μόχθῳ ἀπήλλαξαν, ταῦτα ἀπροσδοκήτως εἰς τέφραν μετέβαλε τὸ πῦρ, ἕνεκα ἀπροσεξίας· ὢ τῆς ἀτυχίας τοῦ φιλοπράγμονος τοῦ ἀνθρώπου, δι' οὗ τὰ πάντα προάγονται καὶ βελτιοῦνται! Μάρτυς δὲ τῶν λόγων ἡμῶν ἔστω Διονύσιός τις μοναχός, ὁ τότε περὶ τὰ πνευματικὰ ἀσκούμενος ἐν τῇ σεβασμίᾳ τοῦ ἁγίου Σάββα λαύρᾳ, σημειῶν ἐπί τινος χειρογράφου ἐπὶ χάρτου τάδε [1]· «Ἐκ τῆς ἁγίας λαύρας τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα. Εὑρεθὲν ἔνδοθεν τοῦ παρεκκλησίου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου, ἄνωθεν τῆς μεγάλης σπηλαίας, ὅπου εἰσὶ πολλὰ βιβλία καὶ θαυμάσια λείψανα ἐκ τῶν ἀρχαίων πατέρων καὶ ἄλλα σκεύη κάθε λογῆς, ὁποῦ μεταχειρίζονταν τοὺς καιροὺς ἐκείνους οἱ ἅγιοι πατέρες, οἱ εὑρισκόμενοι εἰς τὰ πέριξ κύκλῳ τοῦ μοναστηρίου, καὶ ὅπου ἐκάησαν ὅλα. Διονύσιος μοναχός».

Ὅτε δὲ ἐν τῷ Κοινῷ τοῦ Ἁγίου Τάφου ὡρίσθη οἴκημα πρὸς ἐναπόθεσιν καὶ ἀσφαλῆ διατήρησιν τῶν βιβλίων, ἅτινα ἔκειντο ἐν

[1] Τὸ χειρόγραφον τοῦτο εὑρεθὲν ἐν τῷ περὶ οὗ ὁ λόγος σπηλαίῳ σῴζεται νῦν ἐν τῇ βιβλιοθήκῃ τοῦ πύργου. Ἐν τῷ σπηλαίῳ καὶ ἡμεῖς εἰσελθόντες εἴδομεν πάντα τὰ ἐν αὐτῷ. Ἔστιν ἀληθῶς λίαν περίεργον διά τε τὴν ἔκτασιν καὶ δι' ἃς ἔχει θέσεις ἐν αὐτῷ· εὕρομεν δὲ ἐν αὐτῷ, ἐν τοῖς ῥήγμασι τοῦ βράχου, καὶ τεμάχια μεμβρανῶν ἡμίκαυστα. Σημειωτέον, ὅτι ὑπὸ τοῦ μοναχοῦ τούτου Διονυσίου πολλαὶ ἐπισημειώσεις περιέργων γεγονότων σῴζονται ἐν πολλοῖς καὶ διαφόροις χειρογράφοις καὶ ἐντύποις πρὸς γνῶσιν τῶν ἐπιγιγνομένων.



Συνοδικοῖς, ὡς εἰπόντες ἔφθημεν καὶ ἀλλαχοῦ καὶ ἐγένετο ἡ ἐκκάθαρσις τῶν βιβλίων, τότε ὅσα ἦσαν διπλᾶ ἢ τριπλᾶ τῶν τε χειρογράφων καὶ ἐντύπων, τούτων τὰ πλεῖστα μετηνέχθησαν εἰς τὴν βιβλιοθήκην τοῦ ἁγίου Σάββα· ἐν οἷς ἦσαν ὑπὲρ τὰ 40 μαθηματάρια [1], ἐμπεριέχοντα πολλὰ στοιχεῖα τοῦ Ὁμήρου μεθηρμηνευμένα κατὰ τὸν ἀρχαῖον τρόπον τῆς σχολειακῆς διδασκαλίας, πολλὰς τραγῳδίας τῶν διαφόρων τραγικῶν καὶ πλείστους λόγους τῶν διαφόρων κλασικῶν συγγραφέων· τινὰ δὲ τούτων εἰσὶ κατάμεστα σχολίων καὶ σημειώσεων φιλολογικῶν τῶν τότε διδασκάλων. Τούτοις δὲ συναπεστάλησαν καὶ ἄλλα χειρόγραφα μεταγενέστερα, ὧν ἄλλα μὲν ἔχουσιν ὕλην θεματογραφικήν, ἄλλα δὲ κανόνας ἐπιγραμματοποιίας μετὰ διαφόρων ἐπιγραμμάτων, ὕμνων καὶ ἄλλων εἰδῶν τῆς ποιήσεως, πρὸς δὲ καὶ γραμματικαὶ χειρόγραφοι διαφόρων διδασκάλων, ἅτινα σῴζονται ἐν ταῖς βιβλιοθήκαις· οὐχ ἧττον δὲ καὶ πλεῖστα χειρόγραφα ἐπὶ μεμβράνης καὶ ἔντυπα ἐναπετέθησαν ἐν ταῖς βιβλιοθήκαις, ἅτε δὴ χώρου μὴ ὑπάρχοντος ἐν τῇ βιβλιοθήκῃ τοῦ Κοινοῦ τοῦ Ἁγίου Τάφου. Ἐν τῇ βιβλιοθήκῃ τοῦ πύργου σῴζονται πλεῖστα χειρόγραφα ἐπὶ μεμβράνης καὶ ἐπὶ χάρτου παχέος, τὰ μὲν εἰς τὴν τῶν Σύρων γλῶσσαν, τὰ δὲ εἰς τὴν τῶν Ἀβησινῶν· τούτων τὰ μὲν ἐστάλησαν ἀπὸ Ἱερουσαλήμ, τὰ δὲ ἦσαν κτήματα τῶν ἐκεῖ κατὰ καιροὺς μονασάντων Σύρων καὶ Ἀβησινῶν, ἅτινα μετὰ τὸν θάνατον αὐτῶν ἔμειναν ἐν ταῖς βιβλιοθήκαις. Ὑπῆρχον δ' ἄλλοτε καὶ πλεῖστα χειρόγραφα ἀραβικὰ ἐπὶ χάρτου λίαν ὀγκώδη, ἅτινα τὰ μὲν ὠνοῦντο οἱ πατριάρχαι, τὰ δὲ ἀφιέρουν κατὰ καιροὺς οἱ χριστιανοὶ Ἄραβες, τὰ δὲ κατὰ τοὺς ἐπιδρομικοὺς χρόνους ἐστέλλοντο εἰς τὴν σεβασμίαν τοῦ ἁγίου Σάββα λαύραν πρὸς ἀσφάλειαν αὐτῶν, καὶ μετὰ θάνατον κτῆμα τῶν βιβλιοθηκῶν ἐγίγνοντο.

Κατὰ δὲ τὰς διηγήσεις τῶν γερόντων τῆς Ἁγιοταφιτικῆς χορείας πλεῖστα χειρόγραφα κατὰ διαφόρους καιροὺς ἐκλάπησαν παρὰ

[1] Ταῦτα πάντα διατηροῦνται ἐν τῷ μεγίστῳ πυκτίῳ τῆς βιβλιοθήκης τοῦ πύργου· ἐν αὐτῷ δὲ ὑπάρχουσι καὶ πλεῖστοι κώδικες ἐπιμήκεις καὶ ὀγκώδεις, ἐν οἷς εἰσι τὰ πλεῖστα ἔργα τοῦ θείου Χρυσοστόμου.



τῶν Εὐρωπαίων καὶ πλεῖστα ἐν τοῖς δεινοῖς καιροῖς τὰ μὲν διαλυθέντα ἐφθάρησαν, τὰ δ' ἄλλως πως ἀπωλέσθησαν. Ἀφῃρέθη δὲ καὶ ὁ κατάλογος τῶν βιβλιοθηκῶν τούτων πρὸ πολλῶν ἐτῶν, ὥστε ἀδυνατεῖ τις ἐννοῆσαι πόσα καὶ ποῖα χειρόγραφα ὑπέστησαν τὴν παντελῆ φθοράν, ἢ ἄλλας κοινὰς καὶ ἰδιωτικὰς βιβλιοθήκας περικοσμοῦσι. Γνωστὸν δ' ἡμῖν μόνον, ὅτι τὸ 1801 ἔτος δύο Ἄγγλοι περιηγηταὶ ἀπὸ Κωνσταντινουπόλεως εἰς Ἱερουσαλὴμ μεταβάντες δι' ἐπιστολῆς τοῦ ἀοιδίμου πατριάρχου Ἀνθίμου ἔλαβον ἐκ τῶν βιβλιοθηκῶν τοῦ ἁγίου Σάββα τάδε· ἓν Εὐαγγέλιον, ἓν Ψαλτήριον καὶ τὰς ἐπιστολὰς τῶν Ἀποστόλων, πάντα ἐπὶ μεμβράνης γεγραμμένα. Τὸ δὲ 1852 ἔτος Διονύσιος ὁ Κλεόπας, διευθυντὴς ὢν τότε τῆς Θεολογικῆς τῶν Ἱεροσολύμων Σχολῆς, οὔσης τότε ἐν αὐτῇ τῇ πόλει Ἱερουσαλήμ, συγγράφων περὶ τῶν ἐν Παλαιστίνῃ μοναστηρίων καὶ συντάτων τὴν εἰς τὸν Ψαλτῆρα τοῦ Δαβὶδ εἰσαγωγήν, μεταβὰς εἰς τὴν σεβασμίαν λαύραν τοῦ ἁγίου Σάββα, ἐπεσκέψατο τὰς βιβλιοθήκας αὐτῆς, ᾧπερ καὶ ἡμεῖς ἠκολουθήσαμεν. Ἐξετάζοντες οὖν ἐκεῖ τὰ διάφορα χειρόγραφα, εὕρομεν καί τινα πολλοῦ ἄξια, ἅπερ ληφθέντα μετηνέγκομεν εἰς Ἱερουσαλήμ. Ταῦτα δὲ μετὰ δύο ἔτη (1854), ὅτε ἡ ἱερὰ μονὴ τοῦ Τιμίου Σταυροῦ κατέστη Θεολογικὴ Σχολή, ἐναπετέθησαν ἐν τῇ βιβλιοθήκῃ αὐτῆς πρὸς μείζονα ἀσφάλειαν, κατὰ πατριαρχικὴν ἔγκρισιν. Κατὰ δὲ τὸ 1858 ἔτος μεταβάντες αὖθις εἰς τὴν σεβασμίαν λαύραν τοῦ ἁγίου Σάββα κατὰ πατριαρχικὴν διαταγὴν ἐξελεξάμεθα ὑπὲρ τὰ 20 χειρόγραφα, ὧν τὰ πλεῖστα ἐπὶ μεμβράνης, καὶ παρελάβομεν αὐτὰ δι' ἀποδείξεως. Ταῦτα δὲ μετ' ἄλλων τριῶν χειρογράφων ὄντων παρὰ τῷ πατριάρχῃ ἐτέθησαν ἐν τῇ βιβλιοθήκῃ τῆς Θεολογικῆς τῶν Ἱεροσολύμων Σχολῆς.

Ταῦτα ἐξετάσαντες καὶ ἀνευρόντες περὶ τῶν βιβλιοθηκῶν τοῦ Ἁγίου Τάφου, τὰ μὲν διὰ μελέτης, τὰ δὲ διὰ τῆς ἀπὸ στόματος παραδόσεως καὶ ἀφηγήσεως τῶν προβεβηκότων τῇ ἡλικίᾳ ἀδελφῶν, ὑποβάλλομεν τῇ κοινῇ κρίσει, ὅπως πρῶτον μὲν ὑποδείξωμεν ἐν ὀλίγοις τὰς περιπετείας ἃς ὑπέστησαν τὰ ἑλληνικὰ χειρόγραφα ἔν τε τῇ Παλαιστίνῃ καὶ τῇ Συρίᾳ κατὰ τοὺς τυραννικοὺς καὶ ἐπιδρο-



μικοὺς αἰῶνας, δεύτερον δὲ παραστήσωμεν τὸν ἔνθερμον περὶ τὰ ἑλληνικὰ χειρόγραφα ζῆλον τῶν ἀοιδίμων πατριαρχῶν τῶν Ἱεροσολύμων, οἳ οὐ μόνον πόνῳ ἀτρύτῳ καὶ διὰ δαπάνης οὐ τῆς τυχαίας τὴν συλλογὴν τῆς προγονικῆς ἡμῶν δόξης ἐποιήσαντο, ἀλλὰ καὶ ὅπλῳ μόνῳ χρησάμενοι τῷ ἐθνικῷ φρονήματι, καὶ κατὰ πάντων τῶν ἀντιπάλων τῆς ἑλληνικῆς φιλολογίας καὶ τῶν βιβλιοφθόρων στοιχείων ἀντιπαραταξάμενοι, διετήρησαν τὰ μέχρις ἡμῶν ὑπάρχοντα χειρόγραφα ὅση αὐτοῖς δύναμις, πρὸς καύχημα τοῦ ἑλληνικοῦ ὀνόματος. Ὁμολογοῦντες οὖν, ὅτι τὸ ἔργον ἡμῶν λίαν ἀσθενὲς καὶ ἀτελές ἐστι, καὶ παρακαλοῦντες τοὺς ἀναγνώστας ἡμῶν, ὅπως μὴ εἰς τὴν ἀτέλειαν ἡμῶν ἀποβλέψωσιν, ἀλλὰ μᾶλλον εἰς τὴν ὑπὲρ τῆς ἐθνικῆς ἡμῶν φιλολογίας πρόθεσιν, εὐχόμεθα αὐτοῖς τὰ κριτικώτερα καὶ τελεώτερα, τὴν μικρὰν ταύτην ὕλην ἔχουσιν ὑπὸ τὸν ἐπιστημονικὸν αὐτῶν κάλαμον.

Ἔγραφον ἐν Ἱεροσολύμοις 1881 ὀκτωβρίου 12.

ΚΥΡΙΛΛΟΣ ΑΘΑΝΑΣΙΑΔΗΣ

ἀρχιμανδρίτης καὶ πρώην ἔξαρχος τοῦ Ἁγίου Τάφου ἐν Ἑλλάδι.



ΣΥΜΠΛΗΡΩΜΑ

ΤΟΥ ΠΡΩΤΟΥ ΤΜΗΜΑΤΟΣ ΤΟΥ ΚΑΤΑΛΟΓΟΥ

τουτέστι τοῦ πρώτου τόμου τῆς

«ΙΕΡΟΣΟΛΥΜΙΤΙΚΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ».

Κῶδ. 6, σελ. 19. Περὶ τούτου τοῦ κώδικος ὁ Hans Achelis ἐσημειώσατό μοι ταῦτα· «Der Anfang der Handschrift fehlt; die grösste Hälfte der ersten Seite ist angefüllt von dem Schluss eines Martyriums, dessen Anfang fehlt. Dann erst folgt das Martyrium der Vierzig». Theologische Literaturzeitung 1894, σ. 489.

Κῶδ. 8, σελ. 34, ἀριθ. 2. Πρὸ τοῦ μαρτυρίου τῶν ἁγίων Ἀκεψιμᾶ, Ἰωσὴφ καὶ Ἀειθαλᾶ, ὑπάρχει ἐν τῷ κώδικι τούτῳ «Ἄθλησις τῶν ἁγίων καὶ ἐνδόξων μαρτύρων Ἀκινδύνου, Πηγασίου, Ἀνεμποδίστου, Ἀφθονίου καὶ Ἐλπιδηφόρου». Τὸ κείμενον τοῦτο κατέχει φύλλα δώδεκα καὶ ἀρχὴν ἔχει τοιαύτην· «Εἰ καὶ πρῶτοι Πέρσαι», φ. 3. Migne τ. 116, σ. 9 κἑ.

Κῶδ. 11, σελ. 40. «Der πίναξ ἀκριβὴς am Anfang der Hs. giebt deren Inhalt nur bis zum 26 Sept.; ein folgendes Blatt mit dem Reste des Inhalts ist also wohl ausgefahlen.—Vorneingeheftet ist ein Papierblatt saec. XV, enthaltend ein Stück aus einem Menäum». Hans Achelis ἔνθ. ἀνωτ. σ. 490. — Αὐτόθι ἀριθ. 25. Ὁ αὐτὸς αὐτόθι· «Dies Blatt saec. X-XI ist nicht aus dem Leben der Helena, sondern enthält zwei Wunder-



der Römischen Melane; vgl. Surius I 1570 p. 751».—Αὐτόθι ἀριθ. 3. Πρὸ τῆς ἀθλήσεως τοῦ ἁγίου Βαβύλα ὑπάρχει ἐν τῷ κώδικι «Ἄθλησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἱερομάρτυρος Ἀνθίμου, ἐπισκόπου Νικομηδείας», ἧς ἡ ἀρχή· «Τίς οὐκ οἶδε τὴν Νικομήδους», φ. 44 [Migne τ. 115, σ. 172 κἑ]. Τὸ κείμενον τοῦτο κατέχει φύλλα ἑπτά.

Κῶδ. 17, σελ. 70, ἀριθ. 2. Μετὰ τὸν βίον τοῦ ἁγίου Νικηφόρου κεῖται μαρτύριον τοῦ ἁγίου Λουκιανοῦ, Παύλης καὶ τῶν σὺν αὐτοῖς νηπίων Διονυσίου καὶ Παύλου». Ἀρχ. «Τοῦ δυσσεβοῦς Αὐρηλιανοῦ τὰ Ῥωμαϊκὰ», φύλλ. 4.—Σελ. 77, ἀριθ. 93. Ἐν τῇ ᾤᾳ σεσημείωται, ὅτι ὁ συγγραφεὺς Ἰωάννης, ὁ τὸν βίον συντάξας Ἰωάννου τοῦ Δαμασκηνοῦ, ἐπονομάζεται Μερκουρόπουλος.

Κῶδ. 32, σελ. 105, ἀριθ. 5. Μετὰ τὸ πέρας τῆς τετάρτης ἑκατοντάδος τῶν περὶ ἀγάπης κεφαλαίων Μαξίμου τοῦ ὁμολογητοῦ ἀναγινώσκεται τὸ σημείωμα τοῦτο· «Δόξα τῷ Θεῷ πάντων ἕνεκα. Οἱ ἀναγινώσκοντες εὔχεσθε ὑπὲρ τοῦ γράψαντος Ἀθανασίου ταπεινοῦ μοναχοῦ».

Κῶδ. 50, σελ. 128. Ὁ κῶδιξ οὗτος, ὥς φησι Κύριλλος ὁ Ἀθανασιάδης, εἶχέ που σημείωμα τοιοῦτον· «Ἠγοράσθη δὲ παρὰ Δοσιθέου πατριάρχου Ἱεροσολύμων διὰ τὸν Ἅγιον Τάφον».

Κῶδ. 58, σελ. 142, ἀριθ. 1. Μετὰ τὸν λόγον Νικηφόρου μονάζοντος ὑπάρχει Συμεὼν τοῦ νέου θεολόγου κείμενον ἀνεπίγραφον, οὗ ἡ ἀρχή· «Ὥσπερ ὁ διηνεκῶς ἀτενίζων»· μεθ' ὃ λόγοι τινὲς εὑρίσκονται τοῦ ἀββᾶ Ἰσαὰκ τοῦ Σύρου. Πρὸ δὲ τῶν ἑκατοντάδων τοῦ ἀββᾶ Θαλασσίου κεῖται κείμενον τοῦ ἁγίου Ἡσυχίου περὶ τοῦ Ἅδου.

Κῶδ. 68, σελ. 154-156. Ἐν τῷ αὐτῷ κώδικι ὑπάρχει καὶ πραγματεία «Περὶ τῆς τῶν Λατίνων αἰτίας, ὅπου ἀπέστησαν τοῦ ὀρθοδόξου δόγματος καὶ πότε». Ἀρχ. «Κατὰ ποῖον καιρὸν καὶ πότε καὶ παρὰ τίνων» κτλ. Καὶ διαθήκη Γαληνοῦ περὶ τοῦ ἀνθρωπίνου σώματος, ἧς ἡ ἀρχή· «Ἐγὼ Γαληνὸς πεπειραμένος πάνυ τοῦ τῶν ἀνθρώπων ἤθους».

Κῶδ. 77, σελ. 159. Ἐπιγράφεται· «Ἰατρικὸν συνταγμάτιον



περὶ χυμοῦ καὶ πάσης ἀρωγῆς καὶ συνδρομῆς παντὸς νοσήματος». Ἀρχ. «Τοῦ αἵματος σημάδιον, ὅταν περισσεύσῃ» κτλ.

Κῶδ. 80, σελ. 163, ἀριθ. 6. Αἱ ὁμιλίαι αὗται εἰσὶ πέντε καὶ ἐξεφωνήθησαν ταῖς Κυριακαῖς τῶν νηστειῶν· μετ' αὐτὰς ὑπάρχει ἐγκώμιον εἰς τὸν μεγαλομάρτυρα Δημήτριον, ἕτερον εἰς τὸν ἅγιον Νικόλαον, ἕτερον εἰς τὸν ἱερὸν Νιπτῆρα, ἕτερον εἰς τὴν ἀποτομὴν τῆς κεφαλῆς Ἰωάννου τοῦ Προδρόμου, ἕτερον εἰς τὸν τετραήμερον Λάζαρον, ἕτερον εἰς τὴν Σαμαρείτιδα, εἰς τὴν κοίμησιν τῆς Θεοτόκου κτλ.

Κῶδ. 121, σελ. 202. Ἐν αὐτῷ ὑπάρχουσι καὶ χρησμοὶ περὶ τοῦ Μωάμεθ καὶ «Ὅρασις περὶ τῆς εἰκόνος, ἣν εἶδεν ὁ Ναβουχοδονόσορ», καὶ «Ἐξήγησις τοῦ μυθικοῦ λόγου κυροῦ Λέοντος τοῦ Σοφοῦ», καὶ «Κοντζισιὸν ὁποῦ ἔκαμεν ὁ Σουλεϊμάνης τῶν Ῥοδίων, ὅταν ἐπῆρε τὴν χώραν των», τουτέστι φιρμάνιον περὶ τῶν δοθέντων τοῖς Ῥοδίοις προνομίων εἰς διάλεκτον δημοτικήν, καὶ πάλιν ἕτερον φιρμάνιον τοῦ σουλτάνου Σελὶμ περὶ τῆς Ἑνετικῆς Δημοκρατίας.

Κῶδ. 133, σελ. 225, ἀριθ. 4. Μετὰ τὸν περὶ εὑρέσεως τοῦ Σταυροῦ λόγον ὑπάρχει λόγος Ἀνδρέου Κρήτης εἰς τὴν ὕψωσιν τοῦ σταυροῦ, οὗ ἡ ἀρχή· «Σταυροῦ πανήγυριν ἄγομεν».

Κῶδ. 134, σελ. 229. Ἐν τούτῳ τῷ κώδικι ὑπάρχει σημείωμα τοιοῦτον· «Τῷ 1707, 6 φεβρουαρίου, ἀνεπαύθη ἐν Κυρίῳ ὁ μακαριώτατος Δοσίθεος καὶ ἔγινεν ὁ σοφώτατος Χρύσανθος τὸν αὐτὸν μῆνα 8, ἡμέρα Σάββάτου. Ἀββακοὺμ ἱεροδιάκονος».—Σελ. 232, ἀριθ. 21. Πρὸ τοῦ λόγου τούτου κεῖται ἐγκώμιον τοῦ αὐτοῦ Χρυσοστόμου εἰς τοὺς ἁγίους ἀποστόλους Πέτρον καὶ Παῦλον, οὗ ἡ ἀρχή· «Τίς ὁ τερπνὸς οὗτος ἦχος», φύλλ. 156. [Ἐπ' ὀνόματι Νικήτα Παφλαγόνος παρὰ τῷ Combefis, Auctarium noviss., τ. I, σ. 327. Migne τ. 105, σ. 37].—Σελ. 235, ἀριθ. 58. Πρόσθες μετὰ τοῦτον τὸν ἀριθμόν: Βίος καὶ πολιτεία καὶ ἄσκησις τοῦ ὁσίου πατρὸς ἡμῶν Αὐξεντίου τοῦ ἐν τῷ Βουνῷ. Ἀρχ. «Καλοί μοι καὶ οἱ ἐξ ἀλλοδαπῆς χώρας καρποί», φ. 480. Κείμενον ἀσημείωτον παρὰ τῷ Φαβρικίῳ καὶ τύποις ἀνέκδοτον.



Κῶδ. 149, σ. 249. Ἀφιέρωται ὁ κῶδιξ οὗτος τῷ ναῷ τῆς Ἀναστάσεως, ἐκεῖθεν δὲ μετηνέχθη εἰς τὴν βιβλιοθήκην τοῦ Κοινοῦ.


Κῶδ. 160, σελ. 256. Τὸ Χρησμολόγιον τοῦ Παϊσίου Λιγαρίδου μετὰ τὴν πρὸς τὸν αὐτοκράτορα Ἀλέξιον Μιχαηλοβίτζην ἀφιερωτικὴν ἐπιστολὴν ἔχει ταῦτα· α') Πρὸς τὸν φιλαναγνώστην πρόλογος, οὗ ἡ ἀρχή· «Δὲν εἶναι νοστιμώτερον πρᾶγμα εἰς τοὺς περιέργους ἀνθρώπους». β') Προοίμιον α', οὗ ἡ ἀρχή· «Ἐάν ποτε καὶ τώρα ἁρμόζει νὰ ἐκφωνήσωμεν». γ') Προοίμιον β', οὗ ἡ ἀρχή· «Ὁ Μιλήσιος ἐκεῖνος Θαλῆς». δ') Προοίμιον γ', οὗ ἡ ἀρχή· «Ἐπῆγεν εἰς τὸν Σάραπιν ὁ Θοῦλις ὁ Αἰγύπτιος». ε') Ἐκ τῶν προλεγομένων τὸ α' περὶ τῆς Θείας Γραφῆς. Ἀρχ. «Ἔγραψαν ἐπιμελῶς Ἕλληνές τε καὶ Βάρβαροι τὴν γνῶσιν καὶ εἴδησιν τοῦ παναγάθου Θεοῦ». ς') Ἐκ τῶν προλεγομένων τὸ β', ὅτι ἀρχὴν ἔχει ὁ κόσμος. Ἀρχ. «Εἰς τοὺς χρόνους τοῦ Βεσπασιανοῦ αὐτοκράτορος». ζ') Ἐκ τῶν προλεγομένων τὸ γ' περὶ τοῦ ποίαν ἡμέραν καὶ ποῖον μῆνα ἐκτίσθη ὁ κόσμος. Ἀρχ. «Ἐπροσκάλεσεν ὁ Αἰγύπτιος βασιλεὺς ὀνόματι Νεκτανεβός». η') Πρῶτος χρησμὸς παρῳχημένος περὶ τοῦ πρώτου ἀνθρώπου τοῦ Ἀδάμ. Ἀρχ. «Ἐπλάστη ὁ Ἀδάμ». θ') Ἕτεροι πολλοὶ χρησμοὶ παρῳχημένοι περὶ τοῦ Νῶε, περὶ τοῦ Ἰάφεθ, περὶ τῆς πυργοποιίας, περὶ τοῦ Ἀβραάμ, Ἰακώβ, Μωϋσέως, Ἰησοῦ τοῦ Ναυή, Σαμψών, Δαυίδ, Σολομῶντος, περὶ τῶν τεσσάρων βασιλειῶν, περὶ τῶν Σιβυλλῶν, περὶ τοῦ τρίποδος τῶν Δελφῶν, περὶ τοῦ Βυζαντίου καὶ Βύζαντος, περὶ τῆς ἀνακτήσεως τοῦ Βυζαντίου, περὶ τοῦ Σεβήρου, περὶ τοῦ Γαλατᾶ, περὶ τῆς Πόλεως πρὸ τοῦ Κωνσταντίνου, περὶ τοῦ μεγάλου Κωνσταντίνου, περὶ τοῦ πῶς ἐχριστιάνισεν οὗτος, περὶ τοῦ ὡροσκόπου τῆς Κωνσταντινουπόλεως, περὶ τῶν τειχῶν αὐτῆς κλπ. ι') Λόγος στηλιτευτικὸς περὶ Ἀρειανῶν καὶ ἄλλων αἱρέσεων. ια') Λόγος Γρηγορίου τῆς μεγάλης Ἀρμενίας περὶ τῶν Ἀρμενίων. ιβ') Ἕτερα περὶ τῶν Ἀρμενίων στηλιτευτικά. ιγ') Περὶ τοῦ χρησμοῦ «Οὐαί σοι, Ἑπτάλοφε, ὅτι οὐ χιλιάσεις». ιδ') Περὶ Κωνσταντίνου τοῦ Πωγωνάτου καὶ περὶ τῶν Ἀράβων. ιε') Περὶ τῶν βασιλέων Κωνσταντίνου καὶ Εἰρήνης. ις') Περὶ τῶν βασιλέων



Θεοφίλου, Μιχαήλ, καὶ περὶ τῆς νήσου Κρήτης. ιζ') Περὶ τοῦ σχίσματος τῶν ἐκκλησιῶν, Ἀνατολικῆς καὶ Δυτικῆς. ιη') Περὶ τῶν βασιλέων Βασιλείου καὶ Λέοντος τοῦ υἱοῦ αὐτοῦ. ιθ') Περὶ τοῦ μοναχοῦ Λεοντίου. κ') Περὶ τοῦ πατριάρχου Γενναδίου Σχολαρίου. κα') Περὶ ἁλώσεως τῆς Κωνσταντινουπόλεως ὑπὸ τῶν Τούρκων. κβ') Θρῆνος τῆς Κωνσταντινουπόλεως ἀνωνύμου ποιητοῦ. κγ') Μονῳδία Γενναδίου Σχολαρίου περὶ ἁλώσεως τῆς νέας Ῥώμης. κδ') Ἐλεγεῖα τοῦ σοφοῦ Ματθαίου τοῦ Καμαριώτου εἰς τὴν Κωνσταντινούπολιν. κε') Ἱστορία δραματικὴ τοῦ Κελτοῦ Μπατέλα. Καὶ ταῦτα μὲν περίπου τὸ πρῶτον ἐμπεριέχει βιβλίον τοῦ Χρησμολογίου· τὸ δὲ δεύτερον αὐτοῦ βιβλίον ἔχει α') Τρία προοίμια. β') Ἐκ τῶν προλεγομένων τὸ α' περὶ θεοσημείας. γ') Ὀνειροχρίτην ἔμμετρον εἰς στίχους 87. δ') Περὶ μαγείας. ε') Ἐκ τῶν προλεγομένον τὸ β'. ς') Βροντολόγιον τῶν δώδεκα μηνῶν. ζ') Ἐκ τῶν προλεγομένων τὸ γ'. Εἶτα η') Πρῶτος χρησμὸς μέλλων περὶ τῆς χρονολογίας τοῦ κόσμου. θ') Δεύτερος χρησμὸς μέλλων περὶ τῆς γενεαλογίας καὶ βασιλείας τοῦ Μωάμεθ. ι') Ἕτεροι ἐννέα μέλλοντες χρησμοὶ περὶ τοῦ Μωάμεθ καὶ τῆς Παλαιᾶς Γραφῆς, περὶ τῶν ῥητῶν τῆς Νέας Διαθήκης τῶν ἀφορώντων εἰς τὸν Μωάμεθ, περὶ τῶν σποράδην λεγομένων περὶ τοῦ Μωάμεθ, περὶ τοῦ αὐτοῦ ἐκ τῶν συγγραμμάτων τῶν πατέρων τῆς ἐκκλησίας, ἐκ τῶν τοῦ Ἱππολύτου περὶ τῶν Ἀγαρηνῶν, ἐκ τῶν τοῦ ὁσίου Ἀνδρέου τοῦ διὰ Χριστὸν σαλοῦ, περὶ τοῦ Ξανθοῦ Γένους, περὶ τῆς ἐσχάτης βασιλείας τῶν ἐθνῶν καὶ περὶ τοῦ μέλλοντος βασιλέως Ἰωάννου.

Κῶδ. 181, σελ. 270. Τὸν κώδικα τοῦτον ἔπεμψεν ἐκ Κρήτης ἔτει 1576 πρὸς τὸν Ἱεροσολύμων πατριάρχην ὁ ταβουλάριος τῆς ἐκεῖ Καντζελλαρίας.—Σελ. 273, ἀριθ. 22. Μετὰ τοῦτο τὸ κείμενον ὁ κῶδιξ ἔχει τοῦ ἀββᾶ Ζωσιμᾶ «κεφάλαια πάνυ ὠφέλιμα», καταλαμβάνοντα φύλλα δέκα.

Κῶδ. 191, σελ. 278. Μετὰ τὸν ἀριθμὸν 4 ὑπάρχουσι «Τοῦ αὐτοῦ σοφωτάτου Κορυδαλλέως εἰς τὴν κατὰ Ἀριστοτέλην λογικὴν σχολαστικαὶ ἐπισημειώσεις» ἀτελεῖς. Κείμενον ἐκ φύλλων 17. Μετὰ δὲ τὸ 5-ον κείμενον ὑπάρχει Ἔκθεσις περὶ τοῦ πότε ἑκάστη



τῶν Συνόδων συνεκροτήθη καὶ «Διάγνωσις ἑτέρα περὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν ς' Συνόδων»· εἶτα Μιχαὴλ συγκέλλου Ἱεροσολύμων λίβελλος περὶ τῆς ὀρθοδόξου πίστεως, ἐπιστολὴ Νικηφόρου πατριάρχου Κωνσταντινουπόλεως πρὸς Λέοντα πάπαν Ῥώμης, Ὅροι οἰκουμενικῶν συνόδων καὶ οἱ κανόνες τῆς ἐν Χαλκηδόνι συνόδου. Ὑπάρχουσι προσέτι ἐν τῷ αὐτῷ κώδικι στίχοι πρὸς Σέλευκον Ἀμφιλοχίου, ἐπισκόπου Ἰκονίου, ἀντίρρησις φιλοσόφου περὶ τοῦ ἁγίου πνεύματος καὶ ἀπόκρισις τῶν πατέρων διὰ Πρωτογένους ἐπισκόπου Σαρδικῆς, στίχοι κατ' ἀλφάβητον Θεοδώρου τοῦ Στουδίτου καὶ ἑτέρων, «Ἑρμηνεία τοῦ πῶς ἐκβάλλουν τὴν πειγουνίαν», ὁ Δεκάλογος καὶ περὶ τοῦ τίνος χάριν μετὰ ι' ἡμέρας τῆς ἀναλήψεως τοῦ Χριστοῦ κατῆλθε τὸ ἅγιον πνεῦμα.

Κῶδ. 200, σελ. 282. Ὁ κῶδιξ οὗτος ἐγράφη ἔτει 1795-ῳ.

Κῶδ. 207, σελ. 286. Τὴν ἀρχὴν τοῦ κώδικος τούτου κοσμεῖ, καθὰ βεβαιοῖ Κύριλλος ὁ Ἀθανασιάδης, ἡ ἐπιγραφὴ αὕτη· «Φυσικὴ ἀκρόασις κατὰ Ἀριστοτέλην ἐμοῦ τοῦ ἐν ἱερομονάχοις ἐλαχίστου Γρηγορίου τοῦ Κονταρῆ»· περιέχεται δὲ μετ' αὐτὴν ἑρμηνεία «εἰς τὰ τοῦ φιλοσόφου περὶ οὐρανοῦ καὶ κόσμου», ἧς ἡ ἀρχή· «Εἴπομεν τὰ τῷ φυσικῷ σώματι κοινῶς ἀνήκοντα· νῦν καὶ περὶ τοῦ φυσικοῦ κόσμου ἐν μέρει ῥητέον».

Κῶδ. 208, σελ. 287. Μετὰ τὸ 1-ον κείμενον ὁ κῶδιξ οὗτος ἔχει τόδε· «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἐπιφανίου ἀρχιεπισκόπου Κύπρου ἱστορίαι ἐκ φυσιολογικῶν περὶ ζῴων»· εἰσὶ μὲν τὰ κείμενα τοῦ Ἐπιφανίου, αἱ δὲ ἑρμηνεῖαι τοῦ μεγάλου Βασιλείου. Ἀρχ. «Ἔστι γὰρ ὁ λέων τρεῖς φύσεις ἔχων κτλ. Ὁ ἅγιος Βασίλειος εἶπεν οὕτως. Καὶ τὰ ἄπιστα ἔθνη διὰ τῆς τριημέρου ταφῆς» κτλ. — Μετὰ δὲ τὸ 3-ον κείμενον πρόσθες· «Πρόλογος τοῦ λεγομένου Συντίπα τοῦ φιλοσόφου μεταβληθεὶς ἐκ τῆς συριακῆς βίβλου, ὡς εἶχεν αὐταῖς λέξεσι πρὸς τὴν ἑλλάδα γλῶτταν κτλ. Ταύτην τὴν διήγησιν προϊστόρησε Μοῦσας ὁ Πέρσης πρὸς τὴν τῶν ἀναγινωσκόντων ὠφέλειαν». Ἀρχ. «Βασιλεύς τις ἦν Κῦρος ὀνόματι, ᾧ καὶ ἦσαν γυναῖκες ἑπτά· ἦν δὲ ἄπαις· ὅθεν καὶ παίδων ὀρεγόμενος» κτλ. [A. Eberhard, Fabulae romanenses, τ. I, σ. 2 κἑ]. — Οἱ δὲ



ἔμμετροι Αἰσώπειοι μῦθοι, τὸν ἀριθμὸν τέσσαρες, εἰσί, καθὼς ἀπέδειξε τὸ ἐμὸν ἀντίγραφον, ἐκ τῆς συλλογῆς Γεωργίου τοῦ Αἰτωλοῦ, ἣν ἐξέδωκε τύποις Σπυρίδων ὁ Λάμπρος. Ὅρα τὸ βιβλίον αὐτοῦ: Γεωργίου τοῦ Αἰτωλοῦ μῦθοι καὶ ἀποσπάσματα τοῦ Σπανέα ἐξ Ἁγιορειτικῶν κωδίκων. Ἀθήνησιν 1896, σ, 27, 39, 40, 46 (ἀριθ. 30, 47, 48, 58).

Κῶδ. 219, σελ. 298. Μετὰ τὸ περὶ φυσικῆς ἀκροάσεως Γεωργίου τοῦ Παχυμέρη ἔχει ὁ κῶδιξ τὰ περὶ ψυχῆς βιβλία τοῦ Ἀριστοτέλους καὶ τὴν Θεμεστίου παράφρασιν τῶν περὶ ψυχῆς Ἀριστοτέλους βιβλίων, ἧς ἡ ἀρχή· «Περὶ δὲ τοῦ μορίου τῆς ψυχῆς, ᾧ χρώμεθα πρὸς θεωρίαν» κτλ.

Κῶδ. 241, σελ. 315. Πολλοὺς τῶν ἐν τῷ κωδίκι τούτῳ λόγων συνέταξεν Ἰωσὴφ ἱερομόναχος, οὗ καὶ τὸ ὄνομα φέρεται ἐν αὐτῷ τῷ κώδικι.

Κῶδ. 248. σελ. 320. Πρόσθες μετὰ τὸ γ′ κείμενον λόγον τοῦ ἁγίου Βασιλείου Καισαρείας κατὰ τῶν ὀργιζομένων καὶ ἕτερον περὶ κρίματος Θεοῦ.

Κῶδ. 261, σελ. 326, ἀριθ. 2. Μετὰ τοῦτο τὸ κείμενον ὁ κῶδιξ ἔχει ζῳδολόγιον ἐκ φύλλων ἕνδεκα.

Κῶδ. 286, σελ. 358. Τὸ πρὸς Παρθένιον τὸν Πάτμιον ἐπίγραμμα ἔχει οὕτω:

Δαφνηφοροῦσαι ἐξ ὄρους Παρνασσίου
αἱ Μοῦσαι δεῦτε ἐν πόλει τῇ Πάτμῳ
καὶ στέμμα συμπλέξασαι καινὸν καὶ ξένον
Παρθένιον στέψατε, ἱερῶν θύτην·
οὐκ ἀναβὰς γὰρ αὐτὸς εἰς Ἑλικῶνα
πλήρης ὑπάρχει ναμάτων κασταλίων,
θεσμῶν τε θείων πρακτικός τε καὶ νόμων
καὶ ἐν χάρισιν ἤθεσί τε καλλίστοις
πάντων ὑπερβάλλει τε τῶν ὁμηλίκων
καὶ παντοδαπὴν ἀρετὴν μετέρχεται·
ἔστι δ' ἐραστὴς παντελῶς μαθήματος,
ἐξαιρέτως δὲ νοῦ τε ὀξυδερκίας,
γλωσσῶν γένη ποικίλα ἐκδιδαγμένος.



Κῶδ. 290, σελ. 359. Ἐν τῷ κώδικι τούτῳ Κύριλλος ὁ Ἀθανασιάδης ἀνέγνω καί τινα ἐπιγράμματα Ματθαίου τοῦ Γανοχωρίτου.

Κῶδ. 291, σελ. 360. Μετὰ τὴν πρὸς Ἠλίαν ἀββᾶν ἀνώνυμον ἐπιστολὴν ὁ κῶδιξ ἔχει τὸ «Τίτλοι γραμμάτων», οὓς ἔγραφεν Ἄνθιμος ὁ ἐξ Ἀγχιάλου τῇ 3 ἰανουαρίου 1824 (φύλλ. 411-414), καὶ μετάφρασιν τοῦ πρὸς Σωφρόνιον, πατριάρχην Ἱεροσολύμων, δοθέντος ἀχτιναμὲ ὑπὸ τοῦ καλίφου Ὤμερ-Χαττάπ (φύλλ. 414β-416)· ἔχει δὲ (φύλλ. 434-441) καὶ τάδε· α΄) «Ὕμνος μετὰ δεήσεως εἰς τὴν ὑπερύμνητον Θεοτόκον, φέρων ἀκροστιχίδα ἐν τῇ ἐνάτῃ ᾠδῇ τήνδε: Μακαρίου». Ἀρχ. «Τὴν τῶν ἁγίων ἁγίαν σε» κτλ. β΄) «Ὕμνος εἰς τὴν παρθένον Θεοτόκον διὰ στίχων, ὧν ἡ ἀκροστιχὶς αὕτη: Μακάριος, ὦ θεομῆτορ, ὁ ἀχρεῖος δοῦλος» κτλ, Ἀρχ. «Μῆτερ ἄνανδρε Μαρίη, κλεινὴ κόρη».

Κῶδ. 329, σελ. 373. Πρὸ τοῦ ἐγκωμίου κεῖται παράφρασις Αἰσωπείου μύθου «Περὶ χελιδόνος καὶ ἀηδόνος», ἧς ἡ ἀρχή· «Ἕνα καιρὸν ἡ φιλομήλα».

Κῶδ. 331, σελ. 375. Μετὰ τὰ τετράστιχα Γρηγορίου τοῦ Θεολόγου ὁ κῶδιξ ἔχει τοῦ αὐτοῦ ἰάμβους μονοστίχους κατ' ἀλφάβητον, ἐπιγράμματα εἰς τὸν μέγαν Βασίλειον μεθ' ἑρμηνείας Νικήτα φιλοσόφου τοῦ Παφλαγόνος, καὶ τὰ περὶ ἀρετῆς ἐπιγράμματα Ἰωάννου τοῦ Γεωμέτρου.

Κῶδ. 345, ζ΄, σελ. 381. Ἐξεδόθη τύποις Σ. Ῥαφτάνη ἐν Ζακύνθῳ 1863] γράφε· Συνετυπώθη τῷ Συναξαριστῇ Νικοδήμου ὑπὸ Σ. Ῥαφτάνη ἐν Ζακύνθῳ 1868, τόμ. Ι, σ. 433-435.

Κῶδ. 349, σελ. 382. Μετὰ τὸ περὶ πνευματικῆς καταστάσεως Βασιλείου τοῦ μεγάλου πονημάτιον, ὅπερ ἀριθμεῖ φύλλα ἕνδεκα, ὑπάρχει κείμενον ἀνώνυμον, «Ἐγχειρίδιον ὀρθόδοξον» ἐπιγραφόμενον, οὗ ἡ ἀρχή· «Λογιάζοντας μέσα μου πῶς οἱ ἀδελφοί μου ἐν τῷ Χριστῷ εἶναι στερημένοι ἀπὸ κάποιαις βοήθειαις διὰ νὰ σώσουν ταῖς ψυχαῖς των» κτλ.

Κῶδ. 354, σελ. 383, ἀριθ. 3. Μετὰ τοῦτο τὸ κείμενον ὁ ἀρχιμανδρίτης Κύριλλος ἀνέγνω ἐν τῷ κώδικι Γεωργίου τοῦ Κωδινοῦ χρονολογικὸν σύντομον ἀπὸ Ἀδὰμ μέχρι τῆς ἁλώσεως Κων-



σταντινουπόλεως, ἐκ φύλλων ἑπτά, καὶ χρησμὸν ἔμμετρον Λέοντος τοῦ σοφοῦ, καὶ κείμενον περὶ ἀχαριστίας ἐκ φύλλων τριῶν, οὗ ἡ ἀρχή· «Φαρμακερὸν πρᾶγμα εἶναι ἡ ἀχαριστία», καὶ σεληνοδρόμιον.

Κῶδ. 357, σελ. 384. Τὰ ἀδήλου στοιχεῖα ἀριθμητικῆς διῃρημένα ἐστὶν εἰς πέντε βιβλία. Ὁ δὲ πρόλογος τῆς λογικῆς περιλήψεως Ματθαίου (τοῦ Γανοχωρίτου) ἀρχὴν ἔχει τοιαύτην· «Διττήν σοι τὴν χρείαν, φιλόμουσε, καὶ ὠφέλειαν ἡ μικρὰ αὕτη παρέξεται βίβλος, τῆς ὅλης λογικῆς πραγματείας οὖσα περίληψις». Μετὰ τὸν πρόλογον ὑπάρχει τόδε τὸ ἐπίγραμμα.

Εὐρυτάτης λογικῆς τόδ' ἀλωῆς ἄκρον,
θησαυρός τε φέρον ἄξια μνημοσύνης
Ματθέοιο· - - ἐν σῆς κραδίης νοεροῖσι ταμείοις
ὄλβον ἀριπρεπέα αἱμυλίου σοφίης.

Ἡ τοῦ Ματθαίου λογικὴ λήγει εἰς § σβ'. Ὕστερον ὑπάρχει· «Τὰ δι' ὁρισμῶν ἀποδιδόμενα ἐν τῷ α' μέρει τῆς λογικῆς εἰς τρία διαιρουμένης μετὰ τὴν τριττὴν ἐνέργειαν τοῦ νοός, κατ' ἐρωταπόκρισιν». Ἀρχ. «Ἐρώτησις. Τί ἐστι λογική; Ἀπόκρισις. Λογική ἐστιν ἕξις ἐπίκτητος» κτλ.

Κῶδ. 361, σελ. 385 Κύριλλος ἀρχιμανδρίτης ὁ Ἀθανασιάδης ἐσημειώσατό μοι, ὅτι τοῦτο τὸ χειρόγραφον ἐγράφη ἔτει 1837-ῳ.

Κῶδ. 364, σελ. 387. Μετὰ τὸ Πολέμωνος φυσιογνωμονικὸν ὑπάρχει φυσιογνωμικὸν Ἀδαμαντίου σοφιστοῦ, οὗ ἡ ἀρχή· «Τὴν φυσιογνωμικὴν μέθοδον ἀπό τε Ἀριστοτέλους ἀναλεξάμενος» [R. Foerster, Scriptores physiognomonici, τ. I, σ. 297]. Τὸ κείμενον τοῦτο κατέχει φύλλα 16· τὸ δὲ πρὸ αὐτοῦ φύλλα 21. Ὑπάρχει δὲ μετὰ τὸν Ἀδαμάντιον καὶ ἡ Μελάμποδος ἱερογραμματέως περὶ παλμῶν μαντικὴ πρὸς Πτολεμαῖον βασιλέα, ἧς ἡ ἀρχή· «Ὅσα μὲν ταῖς ἔμπροσθεν βίβλοις» κτλ. Φύλλα 10.

Κῶδ. 376, σελ. 396, ἀριθ. 1. Τὰς ὁμιλίας ταύτας ὁ ἀρχιμανδρίτης Κύριλλος ἀποδίδωσι Μαξίμῳ τῷ Συμαίῳ.

Κῶδ. 383, σελ. 399. Ἀντεγράψατο τοῦτον ἔτει 1817-ῳ Ἰάκωβός τις ἱερομόναχος.

Κῶδ. 391, σελ. 404. Μετὰ τὴν Ὀρθόδοξον ὁμολογίαν ὁ κῶ-



διξ ἔχει ταῦτα: 1) «Ἡσυχίου πρεσβυτέρου αἰτιολογία εἰς τοὺς λογισμοὺς καὶ περὶ ἀρχῆς φωτισμοῦ ψυχῆς». Ἀρχ. «Ἡ νῆψις, ἤγουν ἡ προσοχή, εἶναι μία τέχνη πνευματική» κτλ. Κεφάλαια ρλ'. — 2) «Ἑρμηνεία ἀναγκαιοτάτη εἰς τὰ ἑπτὰ θεῖα μυστήρια τῆς ἐκκλησίας μας, ἀναγκαιοτάτη νὰ τὴν ἠξεύρουν ἐντελῶς πάντες οἱ ἱερεῖς τῶν ὀρθοδόξων χριστιανῶν».—3) «Λύσις ἀπορίας περὶ τῆς ἐλευθερίας τῶν χριστιανῶν πότε γίνεται· ἀπὸ τὴν προφητείαν τοῦ Ἀγαθαγγέλου». Ἀρχ. «Ἐπειδὴ καὶ πολλοὶ τῶν μεταγενεστέρων διδασκάλων» κτλ.— 4) «Ὅτι οἱ μὴ εὐλογοῦντες τρὶς τὰ ἅγια, μεγάλως ἁμαρτάνουσι, ἀπόδειξις ἐκ τοῦ Γρηγορίου Νύσσης».—5) Κανὼν ἰαμβικὸς εἰς τὴν Ὕψωσιν τοῦ Σταυροῦ, οὗ ἡ ἀκροστιχίς· «Σταυροτύποις πελάγεσι ἐπ' οὔρει- σῶμα θεοῖο». — 6) Κανὼν ἰαμβικὸς εἰς τὴν Ὑπαπαντὴν τοῦ Χριστοῦ, οὗ ἡ ἀκροστιχίς· «Τήμερον ἀθανάτοιο» κτλ.

Κῶδ. 410, σελ. 413. Τὸ τέλος τῶν ψαλμῶν ἔχει τοὺς στίχους τούτους:

Δαυὶδ μελῳδὲ μουσικῆς ἀποκρύφου,
σὺ μὲν δι' αὐτῶν καὶ θανὼν ζῇς τῶν λόγων,
ἡμῖν δὲ τὴν σὴν εὐμελῆ δίδως λύραν,
ἧς ἐστιν εὑρεῖν εὐμελῆ τὰ πρακτέα·
καὶ γὰρ δι' αὐτῆς μυστικῶς κινουμένης
διώκεται μὲν εὐπαθὴς πᾶσα φθίσις,
ἐλαύνεται δὲ δυσχερὴς ἅπας πόνος,
συστέλλεται δὲ συμφορῶν ἀπληστία,
κομίζεται δὲ γνωστικῆς ἅλμης κλύδων,
στηρίζεται δὲ τῶν παθῶν ἡ στερρότης
καὶ τέρπεται μὲν τῆς ψυχῆς ἡ σεμνότης,
ἐλέγχεται δὲ τοῦ Σατὰν ἡ φαυλότης
ἐκ τῆς νοητῆς τῶν μελῶν εὐρυθμίας.
Ὦ τίς τοσαύτην εὗρεν ἀνθρώπινον χάριν,
εἰ μὴ σὺ τὴν πρέπουσαν ἀνθρώποις χάριν;

Κῶδ. 449, σελ. 428. Ὁ κῶδιξ οὗτος ἐγράφη ἔτει 1687-ῳ.

Κῶδ. 461, σελ. 432. Δύο τῶν ἐν τῷ κώδικι τούτῳ ἐπιγραμμάτων ἔχουσιν ὧδε·



Εἰς τὸν ἅγιον Ἰγνάτιον.

Ἀστέρες ἀντέλλουσιν, ὅτι ἥλιος εἰς δύσιν ἥκει·
ὡς ὅταν ἀντέλλῃ ἥλιος, ἄστρα δύει,
Ἰγνατίου φθιμένου ἐπὶ σήματος ἄστρα φαάνθη·
τίς κεν ἄρ' οὐκ εἴποι ἥλιον Ἰγνάτιον;

Εἰς Τύχην ἴαμβοι.

Τύχη καλοῦμαι, εἰς τροχὸν δ' ἔχω βάσιν,
ὡς τοὺς πένητας πλουσίους ἐργάζομαι
καὶ τοὺς ἔχοντας χρημάτων ἀποστερῶ,
ἄνω φέρω πως καὶ πάλιν ἄλλους·
ζυγὸς διδάσκει, ὃν φέρω τῇ χειρί μου.

Κῶδ. 522, σελ. 465. Τὸ εἰλητὸν τοῦτο περιέχει πρῶτον εὐχήν, ἧς ἡ ἀρχή· «Κύριε Ἰησοῦ Χριστέ, ὁ μονογενὴς υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς» κτλ. [Goar, Εὐχολόγιον, α' ἐκδ. σελ. 456]. Εἶτα δευτέρα εὐχὴ καὶ τρίτη πάλιν, ἧς ἡ ἀρχή· «Τριὰς ἄκτιστε, ὁμοούσιε, ἄναρχε, ἀόρατε, ἀκατάληπτε» κτλ. Καὶ πάλιν εὐχὴ τετάρτη, ἧς ἡ ἀρχή· «Κλῖνον, Κύριε, τὸ οὖς σου». Ἡ δευτέρα εὐχή, ἥτις, ὡς φαίνεται, τύποις ἐστὶν ἀνέκδοτος, ἀρχὴν ἔχει τοιαύτην· «Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα. Δοξάζομέν σε, δέσποτα Θεὲ πάτερ παντοκράτορ, ἄναρχε, προαιώνιε, μόνε βασιλεῦ. Δοξάζομέν σε τὸν κτίστην καὶ δημιουργὸν τῶν ἁπάντων» κτλ.



ΣΥΜΠΛΗΡΩΜΑ

ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΟΜΟΥ ΤΟΥ ΚΑΤΑΛΟΓΟΥ.

Κῶδ. 86, σελ. 161, ἀριθ. 23. Ἡ ἀνώνυμος ἐπιστολὴ ἔχει ὧδε· «Ὀψὲ καὶ μόλις κακῶς τετελεύτηκεν [ὁ] ἄνθρωπος· οἱ γὰρ καλοί τε καὶ ἀγαθοὶ πρὸ τῆς ὥρας ἀπαίρουσιν, οἱ δὲ κακοὶ πολὺν ἐμβιωτεύουσι χρόνον, καὶ ἡγοῦμαι τὸν τῶν ὅλων πρύτανιν τῶν [μὲν] ἀγαθῶν προμηθούμενον θᾶττον αὐτοὺς τῆς ὥρας τῶν τῇδε ἀνιαρῶν ἀπαλλάττειν καὶ παλαισμάτων, καὶ εἰς τὸν ἀμείνονα [1] βίον μετάγειν, ὃς ἆθλον κεῖται τοῖς ἐναρέτοις [2], ἀγήρατός τε ὢν καὶ ἄλυπος καὶ φροντίδων ἐλεύθερος, τοὺς δὲ τῆς κακίας ἐραστὰς καὶ ἐργάτας ἐπὶ πλεῖστον ἐᾶν τῆς παρούσης ἀπολαύειν ζωῆς, ἵν' ἢ κόρον λάβωσι τῆς πονηρίας καὶ τὴν ἀρετὴν μεταμάθωσιν, ἢ δίκας δῶσι κἀνταῦθα τῶν τῆς μοχθηρίας αὐτῶν τρόπων, ἐπὶ χρόνον [3] μακρὸν τοῖς πικροῖς καὶ χαλεποῖς τοῦ παρόντος βίου περικλυζόμενοι κύματι. Κύριλλον δὲ τὸν ἄθλιον οὐδὲ τοῖς ἄλλοις παραπλησίως εἴασεν ἐπὶ πολὺ τοῖς δοκοῦσιν ἐντρυφῆσαι τερπνοῖς ὁ τῶν ἡμετέρων κηδεμὼν ψυχῶν, ἀλλ' αὐξανομένην ὁσημέραι τὴν τοῦ ἀνδρὸς πονηρίαν εἰδὼς καὶ τῷ σώματι τῆς ἐκκλησίας λυμαινομένην, οἷόν τινα λώβην, ἐξέκοψε καὶ ἀφεῖλεν ὄνειδος ἐξ υἱῶν Ἰσραήλ [4]. Ηὔφρανε μὲν οὖν τοὺς περιόντας ἡ τοῦδε ἀπαλλαγή, ἠνίασε δέ, ὡς εἰκός, τοὺς τετελευτη[κότας], καὶ δέον μὴ δυσχεράναντας αὐτοῦ τὴν συνουσίαν αὖθις εἰς ἡμᾶς ἀποπέμψωσιν, ἢ καὶ

[1] κῶδ. *ἀμείνωνα*. — [2] κῶδ. *ἀρεταῖς*. — [3] κῶδ. *ἐπιχρόνον*. — [4] Βασιλ. α΄ 17, 36.



αὐ[τοὺς] διαφύγῃ τοὺς ἀπάγοντας, καθάπερ ἐκεῖνος ὁ τοῦ κυνικοῦ [1] Λουκιανοῦ τύραννος. Φροντιστέον τοιγαροῦν, καὶ γὰρ χρὴ τὴν σὴν ἁγιωσύνην οὐχ ἥκιστα [2] ταύτην ἀναδέξασθαι τὴν σπουδὴν καὶ κελεῦσαι τῇ τῶν νεκροφόρων συμμορίᾳ, λίθον τινὰ χειροπληθῆ καὶ βαρύτατον ἐπιθεῖναι τῷ τάφῳ, ὡς ἂν μὴ πάλιν πρὸς τὰ τῇδε ἀφίκηται καὶ τὴν παλίμβουλον αὐτοῦ ἐπιδείξηται γνώμην [3]· τοῖς κάτω τὰ καινὰ δόγματα προσφερέτω· ἐκεῖ νύκτωρ καὶ μεθ' ἡμέραν, ὡς ἂν ἐθέλοι, ῥητορευέτω· οὐ γὰρ δειμαίνομεν, μὴ κἀκείνους διέλῃ κατὰ τῆς εὐσεβείας δημηγορῶν καὶ θανάτῳ περιβαλεῖ τὴν ἀθάνατον φύσιν· καταλεύσουσι γὰρ αὐτὸν οὐ μόνον οἱ τὰ θεῖα πεπαιδευμένοι, ἀλλὰ καὶ Νεβρὼδ [4] καὶ Φαραὼ καὶ Σενναχηρεὶμ [5] καὶ εἴ τις ἐκείνοις παραπλησίως ἀντίθετος. Ἀλλὰ γὰρ μάτην ὕθλω· σιγᾷ γὰρ ταλαίπωρος ἄκων· "ἐξελεύσεται" γάρ, φησί, "τὸ πνεῦμα αὐτοῦ καὶ ἐπιστρέψει εἰς τὸν χοῦν αὐτοῦ [6]· ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ". Οὗτος δὲ καὶ ἑτέραν ἄγει σιγήν· γυμνούμενα γὰρ τὰ εἰργασμένα δεσμοῖ τὴν γλῶσσαν, ἐμφράττει τὸ στόμμα, ἄγχει τὸν νοῦν σιωπᾶν ποιεῖ, εἰς γῆν κεκυφέναι καταναγκάζει. Διὸ θρήνοις [κόπτομαι] καὶ ὀλοφύρομαι· οὔτε γάρ μοι καθαρὰν ἐνεποίησε θυμηδίαν ἡ τῆς τελευτῆς [ἀγγελία], ἀλλ' ἀθυμίᾳ κεχραμένη [7] γάννυμαι μὲν καὶ εὐφραίνομαι, λώβη σ - - - - κοινὸν ἀπηλλαγμένον [8] ὁρῶν· ἀνιῶμαι δὲ καὶ ὀδύρομαι σκοπῶν, ὡς ο[ὐ πεῖραν] τῶν κακῶν ὁ δείλαιος ἔλαβεν, ἀλλὰ μείζοσι καὶ βδελυροτέροις ἐγχει[ρήσας] τετελεύτηκεν· ὠνειροπόλησε [9] γάρ, ὥς φασι, καὶ τὴν βασιλίδα οἰκῆσαι πόλιν, καὶ [τοῖς] εὐσεβέσιν αὖθις δόγμασιν πολεμῆσαι, καὶ τῆς σῆς ἁγιωσύνης ὡς τὰ πολλὰ πρεσβευούσης κατηγορήσειν· ἀλλ' εἶδε Κύριος καὶ οὐχ ὑπερεῖδεν [10]· ἔβαλ[ε φρα]γμὸν εἰς τὸ στόμα αὐτοῦ καὶ χαλινὸν εἰς τὰ χείλη αὐτοῦ, καὶ ἐπέστρεψ[εν αὐτὸν] εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθη. Γένοιτο δὲ ταῖς τῆς σῆς ὁσιότητος [θείαις εὐχαῖς] τυχεῖν γοῦν αὐτὸν ἐλέους καὶ συγγνώμης, καὶ νικῆσαι τὴν τοῦ θεοῦ φιλανθρωπίαν

[1] κῶδ. *κινϊκοῦ*. — [2] κῶδ. *οὐχίκιστα*. — [3] κῶδ. *γνῶμϊν*. — [4] κῶδ. *νιβρῶβ*. — [5] κῶδ. *σιναχρεὶμ*. — [6] Ψαλμ. ρμε', 4. — [7] κῶδ. *κεχραμμένη*. — [8] κῶδ. *ἀπηλαγμένον*. — [9] κῶδ. *ὀνηροπόλησε*.



ἐκείνου τὴν πονηρίαν· τὴν δὲ σὴν ἁγιωσύνην παρακαλῶ λῦσαι ἡμῶν τῆς ψυχῆς τοὺς θορύβους· πολλαὶ γὰρ καὶ παντοδαπαὶ φῆμαι περιβομβοῦσαι διαταράττουσιν ἡμᾶς, κοινὰς συμφορὰς ἀπαγγέλλουσαι· τινὲς δὲ καὶ τὴν θεοσέβειαν ἀπαίρειν φασὶν εἰς τὸ στρατόπεδον παρὰ γνώμην. Καὶ μέχρι μὲν τοῦ παρόντος ἀπεπεμπόμην ὡς ψευδῆ τὰ θρυλλούμενα· ἐπεὶ δὲ μόνα οἶδα καὶ αὐτὰ παρὰ πάντων λεγόμενα, ἀναγκαῖον ᾠήθην τἀληθὲς μαθεῖν παρὰ τῆς σῆς ἁγιότητος, ἵνα ἢ γελάσωμεν, ὡς ψευδῆ, ἤ, ὡς ἀληθῆ, ἀξίως θρηνήσωμεν».

Κῶδ. 231, σελ. 362. Ἐν τούτῳ τῷ κώδικι καὶ σχόλιον ὑπάρχει (φύλλ. 100β), ἔχον οὕτως· «Ἡρακλέως [sic]. Ἔργα τοῦ κόσμου [ψαλμ. πθ', 17]. Ἔργον τὸ ἐν τῇ Νέᾳ τελούμενον· ἐν γὰρ τῇ Παλαιᾷ διάφοροι θυσίαι, ἐν δὲ τῇ Νέᾳ μόνος ὁ υἱὸς θύεται». Σημειωτέον καὶ τὸ σχόλιον Αὐξεντίου, οὗ τὸ ὄνομα παρέδραμον, εἰς τὸ «Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ» [ψαλμ. ρα', 6]. Τὸ σχόλιον τοῦτο, κείμενον ἐν τῷ 109-ῳ φύλλῳ, κατὰ λέξιν ἔχει ὧδε· «Αὐξεντίου. Ὁ πελεκὰν οὗτος ὄρνεόν ἐστιν, ὁ δὲ ὄφις πολὺ ἐχθραίνει κατὰ τῶν νεοττῶν αὐτοῦ· αὐτὸς δὲ τί μηχανᾶται; Εἰς ὕψος πήγνυσι τὴν καλιὰν αὐτοῦ, πανταχόθεν περιφράττων αὐτὴν διὰ τὸν ὄφιν. Τί οὖν ποιεῖ ὁ κακομήχανος ὄφις; περισκοπεῖ ὅθεν πνέει ὁ ἄνεμος, κἀκεῖθεν ἐμφυσᾷ τοῖς νεοττοῖς τὸν ἰὸν αὐτοῦ καὶ τελευτῶσιν. Ἔρχεται οὖν ὁ πελεκὰν καὶ θεωρεῖ, ὅτι ἀπέθανον αὐτοῦ οἱ νεοττοί· εἶτα σκοπεῖ πόθεν ὁ ἄνεμος πνεῖ καὶ πέταται εἰς ὕψος, καὶ μετὰ τῶν πτερύγων τύπτει αὐτοῦ τὰς πλευράς, καὶ τυπτομένου αὐτοῦ ἐξέρχεται αἷμα ἀπὸ τῶν πλευρῶν αὐτοῦ καὶ διὰ τῆς νεφέλης ἐπιστάζει αὐτὰ καὶ ἐγείρονται. Λαμβάνεται δὲ ὁ πελεκὰν εἰς τὸν Κύριον, τὰ δὲ παιδία αὐτοῦ εἰς τὸν Ἀδὰμ καὶ εἰς τὴν Εὔαν, ἤγουν ἡ ἡμετέρα φύσις· ἡ καλιὰ αὐτοῦ ὁ Παράδεισος, ὁ δὲ ὄφις ὁ ἀποστάτης Διάβολος. Ἐνεφύσησεν οὖν ὁ ἀρχέκακος ὄφις διὰ τῆς παρακοῆς τοῖς πρωτοπλάστοις καὶ γεγόνασι νεκροὶ τῇ ἁμαρτίᾳ. Ὁ γοῦν Κύριος καὶ Θεὸς ἡμῶν διὰ τὴν πρὸς ἡμᾶς ἀγάπην ὑψοῦται ἐπὶ τοῦ τιμίου σταυροῦ καὶ νυγεὶς τὴν πλευρὰν διὰ τῆς νεφέλης τοῦ ἁγίου πνεύματος ζωὴν ἡμῖν ἐδωρήσατο».



Κῶδ. 377, σελ. 508, ἀριθ. 68. Ἡ «εὐχὴ ἑτέρα ἐπὶ παιδὸς διδομένου εἰς τὸ μαθεῖν τὰ ἱερὰ γράμματα» ἔχει οὕτω· «Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάσης κτίσεως δημιουργός, ὁ τῷ σῷ δούλῳ Δαυὶδ χαρισάμενος τὸ πνεῦμα τῆς χάριτος, τοῦ διαψάλμοις καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς ὑμνεῖν σε τὸν ἀληθινὸν Θεόν, καὶ νῦν πάρεσο πρὸς τὴν τοῦ παιδὸς διόρθωσιν καὶ μάθησιν, ὅπως αὐτὸς ὁ ἀνάξιος δοῦλός σου τὰς τοῦ Δαυὶδ ποθήσας θεολογίας διὰ τῶν πρεσβειῶν τῆς ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ διὰ πρεσβειῶν τῶν ἁγίων ἀποστόλων Παύλου καὶ Ματθαίου, καὶ διὰ πρεσβειῶν τῶν ἁγίων πατέρων ἡμῶν, Ἰωάννου τοῦ Χρυσοστόμου, Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, τῶν ἁγίων μαρτύρων καὶ νοταρίων Μαρκιανοῦ καὶ Μαρτυρίου, καθοδηγήσασθαι [sic] τὸν δοῦλον τοῦ θεοῦ τόνδε εἰς μάθησιν τῆς βίβλου τῶν ψαλμῶν καὶ πάσης Γραφῆς ἐπιστήμην». — Σελ. 507, ἀριθ. 51. Ἡ δὲ «Νικηφόρου πατριάρχου Κωνσταντινουπόλεως εὐχὴ εἰς ἀνοίξια ἐκκλησίας ὑπὸ αἱρετικῶν βεβηλωθείσης» ἔχει οὕτως· «Ὁ Θεὸς τῶν δυνάμεων, ὁ θρόνον ἔχων τὸν οὐρανόν, τὴν δὲ γῆν ὑποπόδιον, ὁ ἀντίτυπα τοῦ οὐρανίου σκηνώματός σου τοὺς ἁγίους τούτους οἴκους ἀναδείξας, εἰς κατασκήνωσιν τῆς ἁγίας δόξης σου, ἡμῶν δὲ τῶν ἁμαρτωλῶν καταφύγιον μέγα καὶ λιμένα θέμενος σωτήριον, πρὸς ἱλασμὸν τῶν πλημμελημάτων ἡμῶν καὶ παντὸς ῥύπου ψυχικοῦ καὶ σωματικοῦ καθάρσιον διὰ τῆς ἐπιτελουμένης ἐν αὐτοῖς θείας καὶ ἀναιμάκτου θυσίας, δυσωποῦμέν σε τὸν ἀγαθὸν Θεὸν ἡμῶν· γενοῦ ἡμῖν ἵλεως τοῖς ἀναξίοις, προσδεχόμενος ἡμᾶς καὶ ἐπὶ ταύτῃ τῇ ἐντεύξει ἡμῶν· πίστει γὰρ ἀδιστάκτῳ προσερχόμεθα, οὐκ εἰς τὴν ἀξιότητα ἡμῶν ἀποβλέποντες, ἀλλ' εἰς τὴν σὴν θαρροῦντες ἐπιείκειαν καὶ τῆς φιλανθρωπίας σου τὸ ἀμέτρητον· ὁμολογεῖν δὲ ἄξιον, ὅτι τὰ σὰ χαρίσματα ὡς ἀληθῶς ἀμεταμέλητα καὶ ἡ χύσις τῆς δωρεᾶς τοῦ παναγίου πνεύματος ἀμείωτος· διὰ τὸ πλῆθος δὲ τῶν ἁμαρτιῶν ἡμῶν συνεχώρησας παρὰ τῶν ἀθετησάντων τὴν σωτήριον οἰκονομίαν τοῦ μονογενοῦς σου υἱοῦ καὶ θεοῦ ἡμῶν, δι' ἧς εὐδόκησας ἐν τῷ παρελθόντι χρόνῳ τοὺς θείους καὶ ἱεροὺς σου χραν-



θῆναι ναούς. Ἀλλὰ δεόμεθα τῆς σῆς ἀμνησικάκου εὐσπλαγχνίας· κλῖνον τὸ οὖς σου καὶ ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν, καὶ ἐν ταύτῃ τῇ ὥρᾳ, ἐν ᾗ ἐπικαλούμεθα τὴν ἀνέκφραστόν σου φιλανθρωπίαν, καὶ ἀνάδειξον τὸν οἶκον τοῦτον, τῇ ἐπιφοιτήσει τοῦ ζωαρχικοῦ καὶ καινοποιοῦ σου πνεύματος, καὶ νῦν οἰκητήριον τοῦ παναγίου σου ὀνόματος, ναὸν ἅγιόν σου καὶ σκήνωμα δόξης σου, τόπον καταπαύσεως, κιβωτὸν ἁγιάσματός σου, λελαμπρυσμένον τῷ φωτὶ τοῦ προσώπου σου, τὴν ἀρχαίαν εὐκοσμίαν καὶ εὐπρέπειαν ἀμφιεννύμενον καὶ τὴν ἄφθονόν σου χάριν καταπλουτιζόμενον, τοῦ ἀμέμπτως ἐπιτελεῖσθαι τῆς ἁγιστείας [1] ἐν αὐτῷ τὰ θεῖα μυστήρια. Καὶ εἴ τι μολυσμοῦ καὶ κηλῖδος παρὰ τῶν αἱρετιζόντων δυσσεβῶν, τῶν τολμησάντων βεβήλους καὶ ἀνοσίους χεῖρας θρασέως αὐτῷ ἐπαφεῖναι, προστέτριπται, αὐτός, δέσποτα, καθάρισον καὶ ὕψωσον πάλιν τὴν δόξαν αὐτοῦ καὶ ἀνάστησον τὰ κατεσκαμμένα σου θυσιαστήρια, καὶ περιποίησαι τὰ καθαιρεθέντα ἅγιά σου. Ὁ ἀναστήσας τὴν σκηνὴν Δαυὶδ τὴν πεπτωκυῖαν καὶ ἀνοικοδομήσας τὰ πεπτωκότα αὐτῆς καὶ τὰ κατεσκαμμένα ἀνορθώσας, τήρησον αὐτὸν ἀπὸ πάσης προσβολῆς ἐναντίας ἀνεπηρέαστον καὶ ἀνέπαφον· κραταίωσον μέχρι τῆς συντελείας τοῦ αἰῶνος ἀκλόνητον, καὶ πᾶσαν τὴν ἐκκλησίαν σου διαμένειν εὐδόκησον ἀκατάσειστον· ἅγνισον δὲ καὶ ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀπόσμηξον πάντα ῥύπον καὶ σπῖλον, ψυχικόν τε καὶ σωματικόν, ἐξ ἁμαρτίας ἡμῖν ἐπερχόμενον καὶ ἐν τῇ πίστει τῇ εἰς σὲ στήριξον καὶ ἐν τῇ ἐλπίδι βεβαίωσον καὶ τὸν φόβον σου ἐνίδρυσον ἐν ταῖς καρδίαις ἡμῶν, καὶ ἄνοιξον ἡμῖν σπλάγχνα οἰκτιρμῶν φιλανθρωπίας σου, καὶ χάρισαι τὴν εἰς τὰ ἅγια τῶν ἁγίων σου εἴσοδον, καταξιῶν ἐπιστασίαν ἁγίων καὶ μακαρίων δυνάμεων παραγενέσθαι καὶ συνεισελθεῖν τοῖς δούλοις σου, χειραγωγοῦσαν ἡμᾶς καὶ φωτίζουσαν ἡμῶν τὸ ἡγεμονικόν, ἵνα ἐν καθαρῷ συνειδότι καὶ νῷ ἀνεπιθολώτῳ ἐπιβαίνοντες ἐν ναῷ ἁγίῳ σου προσκυνήσωμεν ἐν ταῖς αὐλαῖς σου, Κύριε, καὶ ἀποδώσωμεν τὰς εὐχὰς ἡμῶν δεκτὰς ἐπὶ τὸ ἅγιον καὶ ὑπερουράνιόν σου θυσιαστήριον, τὰς μυστικὰς λατρείας καὶ πνευματικὰς μυσταγωγίας

[1] κῶδ. ἁγιαστίας.



σοι προσφέροντες:—Ἐκφώνησις: — χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ καὶ τοῦ παναγίου καὶ ζωοποιοῦ πνεύματος, νῦν καὶ ἀεὶ εἰς τοὺς αἰῶνας».

Κῶδ. 617, σελ. 616. Τὸ ἐν τούτῳ τῷ κώδικι λείψανον Εὐχολογίου τῆς ιδ' ἑκατ. ἄρχεται ἀπὸ τῶν ἐφεξῆς λέξεων ἀκολουθίας εἰς ἐγκαίνια ναοῦ· « - - αὐτοῖς ἀγαθῶν, ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ. Μετὰ δὲ τὸ Ἀμὴν ἐκφωνεῖ Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν: — Κύριε ὁ Θεὸς ἡμῶν, Πρεσβείαις τῆς ἁγίας δεσποίνης ἡμῶν Θεοτόκου» καὶ ἑξῆς [Goar ἐκδ. α' σ. 840]. Μετὰ δὲ τὸ τροπάριον "Ὁ ἐν τῇ πέτρᾳ τῆς πίστεως" ὁ κῶδιξ ἔχει τοῦτο· «Ὅταν δὲ πλησιάσωσι τῷ ναῷ, ψάλλουσι Δόξα σοι, Χριστὲ ὁ Θεός. Ἀποστόλων: — Καὶ ἡνίκα φθάσωσιν εἰς τὴν μεσαίαν (κῶδ. μεσέαν) τοῦ ναοῦ πύλην, κεκλεισμένην οὖσαν, ἐκφωνεῖ ὁ ἀρχιερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ: Καὶ τιθέντος αὐτοῦ τὸν δίσκον εἰς τὴν τράπεζαν, ἐπὶ τούτῳ ἡτοιμασμένην, ἢ μᾶλλον κρατοῦντος αὐτὴν τινὸς τῶν διακόνων, οἱ μὲν ψάλται ψάλλουσι τὸ Ἄρατε πύλας, ὁ δὲ ἀρχιερεὺς λέγει πρὸ τῆς συνήθους εὐχῆς τῆς εἰσόδου ταύτην: Ὁ Θεὸς καὶ πατὴρ τοῦ κ. ἡ. Ι. Χ., ὁ διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς αὐτοῦ - - [Goar σ. 841]. Μετὰ δὲ τὸ Ἀμὴν τοῦ ἀρχιδιακόνου λέγοντος Τοῦ Κυρίου δεηθῶμεν, ὁ ἀρχιερεὺς εὔχεται:—Ὁ Θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ διὰ τῆς ἁγίας αὐτοῦ καὶ θεοφόρου σαρκός, ἣν ἐπὶ σωτηρίᾳ καὶ ἀνακλήσει τοῦ τῶν ἀνθρώπων γένους ἐξ ἡγιασμένης παρθενίᾳ γαστρὸς αὐτὸς ἑαυτῷ περιέθετο, ἐγκαινίσας ἡμῖν τῆς τῶν πρωτοτόκων ἐκκλησίας τῶν ἐν οὐρανοῖς ἀπογεγραμμένων τὴν εἴσοδον, ἔνθα ἦχος ἑορταζόντων καὶ φωνὴ ἀφράστου ἀγαλλιάσεως, αὐτός, φιλάνθρωπε δέσποτα, ἔπιδε ἐφ' ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου, τοὺς τὴν ἀνάμνησιν ἑορτάζοντας τοῦ ἐγκαινιασμοῦ ταύτης τῆς ἁγιωτάτης σου ἐκκλησίας καὶ δι' αὐτῆς τοῦ χοϊκοῦ σκήνους ἡμῶν μετὰ τῶν ψυχῶν, οὓς καὶ ναοὺς καὶ μέλη τοῦ Χριστοῦ σου διὰ τοῦ ἁγίου σου ἀπετέλεσας πνεύματος. Καὶ ταύτην μὲν μέχρι συντελείας αἰῶνος ἀσάλευτον μένειν τῷ παναχράντῳ σου πνεύματι

στηριζομένην καὶ παντοδαπαῖς κοσμουμένην ἀνάδειξον χάρισιν, ἡμᾶς δὲ καταξίωσον ἐν αὐτῇ αἰνέσεις καὶ δοξολογίας (κῶδ. δοξολογίαις) ἀκατακρίτως προσάγειν τῇ δόξῃ σοῦ τοῦ ἀληθινοῦ Θεοῦ καὶ πατρὸς καὶ τοῦ ἀγαπητοῦ σου παιδὸς καὶ τοῦ ζωοποιοῦ σου πνεύματος, ἐν ἐπιγνώσει τῆς ἀληθείας σου. πάντας ἡμᾶς ἀξιῶν πολιτεύεσθαι, ἵνα ἀπρόσκοποι καὶ βίῳ καὶ πολιτείᾳ τῇ ἁγίᾳ σου τελούμενοι χάριτι, πρεσβείαις τῆς ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τὰς ὑπὲρ ἡμῶν αὐτῶν καὶ παντὸς τοῦ λαοῦ προσφέρωμέν σοι ἀκαταγνώστους δεήσεις, μερίδα τινὰ λαβεῖν μετὰ τῶν ἁγίων σου τῆς ἐν οὐρανοῖς βασιλείας σου ἱκετεύοντας· σὺ γὰρ εἶ Θεὸς πλούσιος ἐν ἐλέει καὶ οἰκτιρμοῖς, καὶ μόνῃ χρηστότητι τοῦ κλήρου καταξιῶν τῶν εὐαρεστησάντων σοι τοὺς ἐλπίζοντας ἐπὶ σέ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ: — Μετὰ τὸ Ἀμὴν ἐπιφέρει τὴν εὐχὴν ταύτην τῆς εἰσόδου. Εὐχή· Δέσποτα κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα - - [Goar σ. 842]. Καὶ παραυτίκα πάλιν ἐπιτήθησι τὰ ἅγια λείψανα τῇ ἑαυτοῦ κεφαλῇ μετὰ τοῦ δίσκου, κεκλεισμένων οὐσῶν τῶν πυλῶν» κτλ.



ΠΑΡΟΡΑΜΑΤΑ ΔΙΟΡΘΩΤΕΑ

ΕΝ ΤΩΙ ΠΡΩΤΩΙ ΤΟΜΩΙ

Πρβλ. I, σ. 505 κέ., 620. II, 734–737.

Σελ.	Στίχ.		Γράφε.
ε'	7	177 ἀραβικὰ	167 ἀραβικὰ
6	16	Ἀρχίβιος	Αὐξίβιος
7	2	λάμποντος	ὑπερλάμποντος
24	22	βασιλεύοντος	ἐβασίλευσεν
28	1	Τῇ	Τῆς
»	5	ἀσεβεστάτου	ἀσεβοῦς
»	31	χρόνον	χρόνον καὶ τὸν τρόπον,
32	7	Τραϊανοῦ	Τραϊανοῦ τῆς Ῥωμαίων βασιλείας
42	18	Ἑλένης	Μελάνης
71	29	ἄλλοις	ἄλλοις ὅτι πολλοῖς
73	4	ἁγίας	ἁγίας μεγαλομάρτυρος
»	18	Ὀλύβριος	Ὀλύμπιος
75	3	κυρίου	κυρίου καὶ θεοῦ
80	27	φύλλων 342	φύλλων 348
87	1	«Ὑπόμνημα	Ὑπόμνημα
»	6	θ'	ιθ'
»	7	Πολλὴ ἡ	Πολλὴ
131	24	πάλιν	πάλαι
151	16	ἐκ τοῦ ὁσίου	ἐκ τοῦ βίου τοῦ ὁσίου
231	30	σ. 13	σ. 23
233	9	τῶν	τοῖς
429	13	Θεοφίλλου	Θεοφίλου
490	20	ἐνέα	ἐννέα
498	1	Φρασάριον (ἀρ. 435? 439?)	Φρασάριον (286)
518	3	XI Κῶδ. 4, 7, 8, 10 κτλ.	XI Κῶδ. 4, 7, 8, 9, 10 κτλ.
»	10	XIII Κῶδ. 5, 26, 36, 40, 105 κτλ.	XIII Κῶδ. 5, 26, 36, 40, 106 κτλ.
»	17	XV Κῶδ. 66, 71, 72 κτλ.	XV Κῶδ. 66, 71, 72, 78 κτλ.
»	22	XVI Κῶδ. - - 261, 275 κτλ.	XVI Κῶδ. - - 261, 271, 275 κτλ.
545	α' 25	Ἀνανίας ὁ ἐν τῇ χαμίνῳ.— 32, 85.	Ἀνανίας ὁ ἐν τῇ χαμίνῳ.- 32.



Σελ.	Στίχ.		Γράφε.
549	α' 34	Ἀρχίβιος: βίος.—6.	(εἰς στήλ. β' μετὰ τὴν γρ. 33 γράφε) Αὐξίβιος· βίος.—6.
559	α' 29	287, 328.	287, 328, 511.
577	β' 17	416	415
»	» 36	243	244
590	» 31	378	379

ΕΝ ΤΩΙ ΔΕΥΤΕΡΩΙ ΤΟΜΩΙ.

761	6	IX Κῶδ. - - 356 τεμ., 605 γ'	IX Κῶδ. - - 356 τεμ., 360, 605 γ'
762	7	XII Κῶδ. - - - 320	XII Κῶδ. - - - 208
»	16	XIII Κῶδ. - - 309 τεμ., 357 τεμ.	XIII Κῶδ. - - 309 τεμ., 356, 357 τεμ.
»	27	XIV Κῶδ. - - - 305	XIV Κῶδ. - - - 309
»	29	» » - - - 540	» » - - - 420
»	33	XV Κῶδ. - - - 162	XV Κῶδ. - - - 226
763	5	» » - - - 503	» » - - - 491, 503,
»	12	XVI Κῶδ. - - - 233	XVI Κῶδ. - - - 226, 233,
»	18	» » - - - 493	» » - - - 493, 495,
»	19	» » - - - 564	» » - - - 563, 564,
805	β' 6	Ἀνικητιάτον· κώμη τῆς Θρᾴκης	Ἀνικητιάτον· κώμη ἐν Βιθυνίᾳ, παρὰ τὴν Ἀριτζοῦ· τουρκιστὶ Ἀάριτζα.
809	» 12	Ἀρσελάου (τὰ), τόπος ἐν Κ/πόλει.	Ἀρσελάου (τὰ), τόπος ἐν Παλαιστίνῃ.
815	α' 7	Βροντοχίου μοναστ. ἐν Κρήτῃ	Βροντοχίου μοναστ. ἐν Πελοποννήσῳ
815	β' 22/23	Γαλατᾶς ὁ πέραν τοῦ Βυζαντίου.—162, 514, 543.	Γαλατᾶς ὁ πέραν τοῦ Βυζαντίου.—514, 543. Γαλατᾶς ὁ ἐν Βλαχίᾳ.—162.
848	α' 28	Ἰωσὴφ Θεσσαλονίκης ὁ μελῳδός	Ἰωσὴφ Θεσσαλονίκης
»	» 31	Σταυρόν.—151. 391. Κανό-	Σταυρόν.—151. 391. Ἰωσὴφ ὁ ὑμνογράφος, οὗ ἡ μνήμη τῇ ς' μηνὸς ἀπριλίου. Κανό-

ΕΝ ΤΩΙ ΤΡΙΤΩΙ ΤΟΜΩΙ.

4	7	ἐπεριέχει	ἐμπεριέχει
5	10	Σταυρου	Σταυροῦ
6	10	Ὠνωρίου	Ὀνωρίου
11	29/30	Χριστος	Χριστὸς
12	20	με	μοι
13	1	Ἀμοῦν	Ἀ(μ)μοῦν
»	»	γονορυγοῦς [sic]	(διορθωτέον ὧδε· γονορροίας;)
»	27	Ἀγάθῳ [sic]	(διορθωτέον ὧδε· Ἀγάθωνι)
15	30	Τοῦ	« Τοῦ



Σελ.	Στίχ.		Γράφε.
16	25	μονον	μόνον
23	9	ταινιώδει	ταινιοειδεῖ τινι
»	25	Göresgesells.	Görres-Gesells.
20	1	κα	καὶ
»	11	αύτοῦ	αὐτοῦ
24	27	έπεδιώρθωσε	ἐπιδιώρθωσε
38	22	ἐζήτα	ἐζήτει
41	32	Αὐρηλιανοῦ	« Αὐρηλιανοῦ
50	12	βιβλιοθήκης τοῦ ἐν	βιβλιοθήκης τοῦ ἁγίου Σάββα καὶ κατετέθη ἐν
52	18	ἐξ ὕδατος	ὑφ' ὕδατος
67	3	ὄνομα	(ὀβέλισον)
»	12/13	Карукъ	Карнкъ
»	23	Ἰωάννικίου	Ἰωαννικίου
		πȣ	πȣ
68	9	συȣ	συς
73	1	φύλλω	φύλλῳ
31	24	Migno	Migne
85	19	καφαλαίων	κεφαλαίων
86	4	κεφάλαι	κεφάλαια
87	4	ἀνακνήσθηκεν	ἀνακαινήσθηκεν [sic]
107	33	γράμμασιν	κοσμήμασιν
115	16	Κίμωνος	Τίμωνος
»	26	ὀγκίνοις	(ὀβέλισον)
119	1	ἐγενετο	ἐγένετο
121	31	sancti - - - sanctae	sancti sensere sacrae
129	31	κρα-	κρασ-
146	17	0,16×0,15	0,16×0,105
149	23	τοῦ - -	τοῦ ἰψιλλωτάτου [sic]
156	15/16	ὀγκίνων	(ὀβέλισον)
161	6	ματαίως	Ματθαῖος
190	15	αἰτουμενη	αἰτουμένη
199	16	ἠριθμημενα	ἠριθμημένα
202	3	γόνυ	γόνατα
207	29/30	διδίστηλον	δίστηλον
208	26	ἁγίω	ἁγίῳ
228	9	1561—1562	1061—1062
237	16	μετ	μετ'
310	16	ἀχρηστείᾳ	ἀχρηστίᾳ
311	32	μεμβάνης	μεμβράνης



ΠΡΟΣΘΗΚΑΙ

ΤΩΙ ΚΑΤΑΛΟΓΩΙ ΤΟΥ ΤΡΙΤΟΥ ΤΜΗΜΑΤΟΣ.

Κῶδ. 3, σελ. 22. Κύριλλος ὁ Ἀθανασιάδης ἐν τῷ τύποις ἀνεκδότῳ καταλόγῳ αὐτοῦ σημειοῦται, ὅτι ὁ κῶδιξ οὗτος ἐγράφη ἔτει ͵ςτλ΄[=822]· ἀγνοῶ δὲ πόθεν ἔχει τοῦτο μαθών.

Κῶδ. 5, σελ. 24. Κύριλλος ὁ Ἀθανασιάδης ἐσημειώσατό μοι ταῦτα περὶ τούτου τοῦ κώδικος. «Ἔκ τινος σφραγῖδος, ὑπαρχούσης ἐν τῷ κώδικι, δῆλον γίγνεται, ὅτι ὁ κῶδιξ οὗτος ἀφιέρωται τῇ βιβλιοθήκῃ τῆς ἐν Ἱεροσολύμοις ἱερᾶς μονῆς τῶν Ἀρχαγγέλων, καὶ ἐκεῖθεν, ἴσως ἐπὶ Νεκταρίου πατριάρχου, μετηνέχθη εἰς τὰς βιβλιοθήκας τοῦ Ἁγίου Σάβα».

Κῶδ. 6, σελ. 26. Τὰ ἐν τούτῳ τῷ κώδικι ἀραβικὰ σημειώματα ἀναγνωστέα κατὰ μετάφρασιν ἑτέραν ὧδε· «Ἐκ τῶν βιβλίων τοῦ ταπεινοῦ Ἀρσενίου, ὑπηρέτου τοῦ ἁγίου εὐαγγελιστοῦ Μάρκου τοῦ ἐν Ἀλεξανδρείᾳ· ἀφιέρωσε δὲ τοῦτο τῷ μοναστηρίῳ τοῦ Ἀρσενίου, τῷ κοινῶς ὀνομαζομένῳ "μοναστήριον τοῦ Κοντοῦ" (Δερὶλκασάρ), ὅπερ ἐστὶ τὸ δεύτερον ἐν Θηβαΐδι (Σαΐδ). — Τοῦτο τὸ βιβλίον ἀφιέρωσεν ὁ διδάσκαλος ἀββᾶς Ἀρσένιος, εἰς παντοτεινὴν αὐτοῦ διατήρησιν, τοῖς ἀδελφοῖς αὐτοῦ Ῥωμαίοις μοναχοῖς, τοῖς οἰκοῦσιν ἐν τῷ μετοχίῳ τοῦ ἁγίου Ἰωάννου, τῷ κοινῶς ὀνομαζομένῳ Τίρε, ἐν Πτολεμαΐδι· καὶ μενέτω τὸ βιβλίον τοῦτο ὡς παρακαταθήκη ἐν τῷ μοναστηρίῳ τῆς δεσποίνης ἡμῶν Θεοτόκου Καντίς, παρὰ τοῖς ἐν αὐτῷ ἀδελφοῖς, ἄχρις οὗ οἰκισθῇ τὸ μετόχιον Τίρε ὑπὸ μοναχῶν, ὁπότε καὶ πεμφθήσεται πρὸς τοῦτο. Ἔτει ͵ζϟγ΄» [=1584-85).



Κῶδ. 13, σελ. 35, ἀριθ. 2. Μετὰ τοῦτον τὸν ἀριθμὸν ὁ κῶδιξ ἔχει «Τοῦ αὐτοῦ (='Εφραὶμ Σύρου) περὶ φόβου Κυρίου», οὗ ἡ ἀρχή· «Φοβοῦ τὸν Κύριον καὶ εὑρήσεις χάριν».—Σελ. 36, 36, ἀριθ. 19. Πρόσθες μετ' αὐτόν· «Τοῦ αὐτοῦ ᾠδὴ εὔρυθμος εἰς τοὺς συνεχῶς ἁμαρτάνοντας καὶ ὀλιγάκις μετανοοῦντας». 'Αρχ. «Μέχρι τίνος, φίλε, ἀντεχόμενος ἐχθροῦ» κτλ.—Σελ. 37, ἀριθ. 29. Μετὰ τοῦτον τὸν ἀριθμὸν πρόσθες· «Τοῦ αὐτοῦ λόγος περὶ τοῦ Σωτῆρος», οὗ ἡ ἀρχή· «Φοβοῦμαι καὶ λαλῆσαι καὶ τῇ γλώττῃ ἅψασθαι» κτλ.—Αὐτόθι μετὰ τὸν 34-ον ἀριθμὸν πρόσθες· «Τοῦ αὐτοῦ περὶ τῶν δελεαζόντων ψυχὰς πρὸς ἀσέλγειαν διὰ τοῦ λέγειν οὐδέν ἐστι τὸ πρᾶγμα». 'Αρχ. «Τῷ προφήτῃ 'Ιεζεκιὴλ εἶπεν ὁ Θεός».

Κῶδ. 26, σελ. 58. 'Ελήφθη ὁ κῶδιξ οὗτος ἐκ τῆς λαύρας τοῦ ἁγίου Σάβα.

Κῶδ. 35, σελ. 74, ἀριθ. 2. Μετὰ τοῦτο τὸ κείμενον ὑπάρχει ἐν τῷ κώδικι λόγος 'Ιωάννου τοῦ Χρυσοστόμου εἰς τὴν ὑπαπαντὴν τοῦ Χριστοῦ, οὗ ἡ ἀρχή· «Πάλιν χαρᾶς εὐαγγέλια».—Σελ. 78, ἀριθ. 54. Μετὰ τὴν περὶ τοῦ ματαίου τούτου βίου διήγησιν ὁ κῶδιξ ἔχει λόγον ἀνώνυμον περὶ τοῦ ὄφεως, οὗ ἡ ἀρχή· «'Ωμοιώθη ἡ ζωὴ ἡμῶν ἐν τῷδε τῷ βίῳ» κτλ.

Κῶδ. 39, σελ. 86—89. Τὸν κώδικα τοῦτον, ὡς ὁμολογεῖ Κύριλλος ὁ 'Αθανασιάδης, ἐδωρήσατο τῇ βιβλιοθήκῃ τῆς μονῆς τοῦ Σταυροῦ Προκόπιος, ἀρχιεπίσκοπος Γάζης, ὁ ἐκ Μιτυλήνης, ὁ κατόπι πατριάρχης γενόμενος 'Ιεροσολύμων Προκόπιος ὁ β'.

Κῶδ. 56, σελ. 111. Μαξίμου τοῦ Συμαίου εὗρον τὸ ἑξῆς αὐτόγραφον ὑπόμνημα ἐν ἀντιτύπῳ τινὶ τῆς 'Αλδινῆς ἐκδόσεως τῶν 'Αριστοφάνους ποιημάτων (Venetiis MIIID=1497), εὑρισκομένῳ ἐν τῇ Κεντρικῇ Βιβλιοθήκῃ τοῦ Πατριαρχείου τῶν 'Ιεροσολύμων, ἐν τῇ Θ' στήλῃ, β' θέσει, ἀριθ. 213. «Τὸ παρὸν δεδώρηταί μοι σὺν τοῖς ἄλλοις παρὰ τοῦ ἀοιδίμου καὶ ἀξιομακαρίστου μητροπολίτου Βηρυτοῦ κυ κυ 'Ιωαννικίου, οὗ ἡ μνήμη αἰώνιος, κατὰ τὸ ͵αψοε-ον, ἐν μηνὶ ἰουνίῳ ιη' τυχόντες ἐκεῖθεν διὰ τὰς κακίας τὰς θηριώδεις τοῦ ἀγρίου καὶ ἀνημέρου βιωθανοῦς καὶ ἀσεβεστά-



του Ἀχμὲτ-πέη, τοῦ ἐπονομαζομένου Ἀποῦ-Τέχεπ· ὃν ὁ πατὴρ αὐτοῦ καὶ διδάσκαλος Σατανᾶς συνέλαβεν αὐτὸν ἐν τῇ αἰωνίῳ γεέννῃ· ὅστις ἀπέχρεψεν ἐν Πτολεμαΐδι, ἀφοῦ ἐκυρίευσεν καὶ ἀπώλεσεν ἅπαντας τοὺς ἐν Παλαιστίνῃ χριστιανοὺς καὶ ἐκκλησίας· οὕστινας κατατάξοι Κύριος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ἀμήν. Ὁ εὐτελὴς Μάξιμος». Τὸν Μάξιμον τοῦτον ὁ πατριάρχης Ἱεροσολύμων Ἄνθιμος ἀρχιμανδρίτην ποιήσας ἐπέστησε σχολάρχην ἐν τῇ Ἁγίᾳ Πόλει. Ὅρα Διονυσίου Κλεόπα βίον τοῦ πατριάρχου Ἀνθίμου, σελ. θ', ἐν τῇ Ἑρμηνείᾳ εἰς τοὺς ρν' ψαλμούς, τόμ. I.

Κῶδ. 57, σελ. 114. Κύριλλος ὁ Ἀθανασιάδης ἐν τῷ αὐτοῦ καταλόγῳ σημειοῦται, ὅτι τὸν κώδικα τοῦτον ἡ ἐν τῇ μονῇ τοῦ Σταυροῦ βιβλιοθήκη δῶρον ἔλαβεν ἐκ τοῦ ναοῦ τῆς ἁγίας Βηθλεέμ.


Κῶδ. 81, σελ. 132. Οἱ ἐν τῷ 14-ῳ φύλλῳ στίχοι ἔχουσιν οὕτως·

Τὴν ᾀσματοδοψαλμοσύνθετον βίβλον,
τὴν θεοκοσμόκοσμον ψυχόσωστον πυξίδα,
προφητοτερπνόφθεγκτον ἔφρασε στόμα
καὶ πνευματοφόρητος ᾖσε καρδία
τὴν χειροχορδοβροντόκρουστον ὄντως κιννύραν
καὶ τὴν μελουργόναβλον κυμβαλολύραν,
θέλγουσαν καὶ πλήττουσαν καὶ ψάλλουσάν γε
τὸν ἀκτινοχρυσοφαιδροκροτολαμπροφεγγοφωτοστόλιστον ὄντως
καὶ θεοχερουβικοχάρακτον Ψαλτῆρα.

Ὅρα καὶ B. Montfaucon, Bibliotheca Coisliniana, σ. 59.

Κῶδ. 85, σελ. 140, ἀριθ. 22. Περὶ Θεοδώρου τοῦ Ῥεντίου καὶ τῶν ἐπιστολῶν αὐτοῦ κατ' ἔκτασιν ὅρα Studi per un' edizione critica di Sallustio filosofo, ἐν τῷ περιοδικῶς ἐκδιδομένῳ βιβλίῳ: Studi italiani di filologia classica. Vol. III, Firenze-Roma 1895, σελ. 11, 13, 15, 17—20].

Κῶδ. 86, σελ. 145, ἀριθ. λη'. Ἕτερον ἀντίγραφον τοῦ εἰς Δημήτριον τὸν μεγαλομάρτυρα ᾀσματικοῦ κανόνος Γεωργίου τοῦ Σκυλίτζη ἔχει ἡ μονὴ τοῦ Δοχειαρίου ἐν τῷ 16-ῳ αὐτῆς κώδικι· περὶ οὗ ὅρα Σ. Λάμπρου, Catal. of the greek manscripts on mount Athos, τόμ. I, σ. 236, ἀριθ. 2690.



Κῶδ. 88, σελ. 146. Κύριλλος ὁ Ἀθανασιάδης ἐσημειώσατο, «ὅτι ὁ κῶδιξ οὗτος εὑρέθη ἔν τινι ὀπῇ τοῦ κατὰ τὸν χείμαρρον τῆς λαύρας τοῦ ἁγίου Σάβα σπηλαίου τοῦ ἁγίου Ἰωάννου τοῦ Κολωνείας, μετά τινος Εὐαγγελίου ἐπὶ μεμβράνης γεγραμμένου· ἀφιέρωται δὲ τῇ βιβλιοθήκῃ τῆς ἐν τῷ Σταυρῷ σχολῆς ὑπὸ τοῦ ἀρχιμανδρίτου Ἰωὴλ τοῦ ἐξ Ἄστρους τῆς Πελοποννήσου».

Κῶδ. 105, σελ. 167. Ἀριθμεῖ φύλλα 239. Ὁ κῶδιξ οὗτος ἐλήφθη ἐκ τῆς μονῆς τοῦ προφήτου Ἠλιού, τῆς μέσον Ἱερουσαλὴμ καὶ Βηθλεέμ.

Σελ. 255—256. Ἐπειδὴ νῦν ἀνὰ χεῖρας ἔχω τὸν τύποις ἀνέκδοτον κατάλογον Κυρίλλου τοῦ Ἀθανασιάδου, παρατίθεμαι πάλιν ὧδε πίνακά τινα τῶν ἀριθμῶν, οὓς πρὸ πολλῶν αὐτὸς ἐνιαυτῶν ὥρισε τοῖς ἐν τῷ Σταυρῷ κώδιξι:

Κυρίλλου.	Ἡμέτερος.	Κυρίλλου.	Ἡμέτερος.	Κυρίλλου.	Ἡμέτερος.	Κυρίλλου.	Ἡμέτερος.
α') Μεμ-		13	40	28	106	8	27
βράνινα.		14	23	29	96	9	35
1	2	15	42	30	107	10	58
2	3	16	48	31	105	11	39
3	6	17	36	32	88	12	68
4	5	18	15	33	57	13	69
5	7	19	55			14	81
6	13	20	71	β') χάρτινα.		15	92
7	8	21	93	1	9	16	38
8	24	22	83	2	28	17	82
8 δίς	25	23	100	3	4	18*	16
9	30	24	94	4	37	20	49
10	26	25	95	5	81	21	10
11	41	26	101	6	22	22	14
12	50	27	104	7	17	23	11

Σελ. 263, ἀριθ. 7. Ὁ κῶδιξ οὗτος εὑρίσκεται νῦν ἐν τῇ μεγάλῃ αἰθούσῃ τοῦ Πατριαρχείου τῶν Ἱεροσολύμων, φέρων ἔτι τὸν παλαιὸν 137-ον ἀριθμόν· περιέχει δὲ πολλὰ δικαστικὰ καὶ ἱστορικὰ τῆς μονῆς τῶν Ἁγιοταφιτῶν ὑπομνήματα, σχέσιν ἔχοντα πρὸς

* Ὁ κατόπι 19-ος ἀριθμὸς αὐτὸς ὁ 16-ος ἐστίν, δὶς ἐν τῷ καταλόγῳ τοῦ Κυρίλλου περιγραφείς.



τὰ ἤθη τῶν Ἀράβων, χριστιανῶν ἢ μουσουλμάνων, γεγραμμένα μεταξὺ τῶν ἐτῶν 1698 καὶ 1740. Τινὰ τῶν ὑπομνημάτων τούτων ὅρα ἐν τοῖς ἐμοῖς Ἀναλέκτοις Ἱεροσολ. Σταχυολογίας, τ. IV, σ. 15—38.

Σελ. 268. Τοῖς κώδιξι τούτοις, τοῖς ἐκ τῆς λαύρας τοῦ ὁσίου Σάβα καὶ τῆς βιβλιοθήκης τοῦ Κοινοῦ τοῦ Παναγίου Τάφου ληφθεῖσιν ἁρπαγεῖσιν ἢ πωληθεῖσιν ἐκ παλαιοῦ παρὰ διαφόρων, πρόσθες τὰ ἑπόμενα τεύχη:

70. Τετραευαγγέλιον τῆς ιβ' ἑκατονταετηρίδος, ἐκ φύλλων μεμβρανίνων 262 καὶ 24 χαρτίνων, προστεθειμένων αὐτῷ τῇ ις' ἑκατ. Ἐν τοῖς χαρτίνοις ὑπάρχει «Πίναξ σὺν θεῷ ἁγίω τοῦ κατὰ Ἰωάννην ἁγίου εὐαγγελίου, ἀρχόμενος ἐν τῇ ἁγία Κυριακῇ τοῦ Πάσχα, ἔχων τὴν περιεκτικὴν πᾶσαν ἄχρι τῶν Ἁγίων Πάντων· ἔχων δὲ καὶ τὴν περιεκτικὴν τὴν ἑτέραν τῶν Εὐαγγελίων τοῦ ὅλου ἐνιαυτοῦ». Ἐν τῷ κώδικι τούτῳ, τῷ εὑρισκομένῳ νῦν ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Βενετίᾳ ναοῦ τοῦ ἁγίου Μάρκου, ὑπάρχει τὸ σημείωμα τοῦτο· «Ἡ βίβλος ἥδε τῆς μονῆς Χρυσοστόμου, τῆς κειμένης ἔγγιστα τοῦ Ἰορδάνου». Ὅρα C. Castellani, Catalogus codicum graecorum qui in bibliothecam D. Marci Venetiarum inde ab anno MDCCXL ad haec usque tempora inlati sunt. Venetiis 1895, σ. 12, ἀριθ. 6.

71. Νομοκάνων (φ. 1—30), τεμάχη ψαλμῶν μετ' ἀνωνύμου παλαιᾶς ἑρμηνείας (φ. 31—156), συγγραφαὶ τῶν ὁσίων Δωροθέου, Δοσιθέου καὶ Ἰσαὰκ τοῦ Σύρου (φ. 157—208)· ἔτι ἱστορία τῆς ἐν Φλωρεντίᾳ συνόδου, ἐπιστολὴ Πλουτάρχου παραμυθητικὴ πρὸς Ἀπολλώνιον κτλ.—Κῶδιξ ἐκ φύλλων μεμβρανίνων 156 τῆς δεκάτης ἑκατονταετηρίδος καὶ ἐκ φύλλων χαρτίνων (157—405) τῆς ιε' καὶ τῆς ις' ἑκατονταετηρίδος, ὅστις ἔτει 1797-φ μετηνέχθη διὰ τοῦ Ναπολέοντος Α' ἐκ Βενετίας εἰς Παρισίους· ἐκεῖθεν αὖθις εἰς Βενετίαν ἔτει 1816-φ. Ἐν τῷ κώδικι τούτῳ ἀναγινώσκεται τὸ σημείωμα τοῦτο· «Τὸ παρὸν βιβλίον ἐδώθει [sic] εἰς χάριν εὐλαβείας ἐμοῦ Ἰωάννου Συμμαχίου ὑποδιακόνου παρὰ τοῦ εὐλαβεστάτου ἱερομονάχου κὺρ Νεοφύτου ἐκ τῆς μονῆς τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου εἰς τὴν Πάτμο». Ὡσαύτως ἕτερον σημείωμα, ἔχον ὧδε· «Τὸ παρὸν βιβλίον διεσκορπισμένον ὑπῆρχεν καὶ πεπαλαιωμένον εἰς τόπους ἀτίμους, καὶ ὑπὸ τῶν καθ' ἡμᾶς καταφρονουμένων (γρ. καταφρονούμενον)· ἐγὼ δὲ ὁ ἐλάχιστος καὶ πτωχὸς ἐξοδήασα [sic] καὶ τὸ ἐσύναξα, καὶ ἔδωσα χρήματα ἑνὸς ἀνθρώπου ἱερομονάχου Ῥούσου, καὶ τὸ

ἐστάχοσεν καὶ εὑρίσκεται συγκεχυμένον καὶ διασκορπισμένον ἄλλο ἀλλοῦ καὶ ἀλλοῦ· εἴ τις δὲ εὑρεθῇ φιλόπονος καὶ δυνηθῇ διορθῶσαι καὶ πρὸς καλείτερον οἰκοδομῆσαι, οὐδεὶς φθόνος· ἐγὼ δὲ ὅσον τὸ κατὰ δύναμιν ἐκοπίασα καὶ σύγγνωτε οἱ ἀναγινώσκοντες. ,αχπζ' (1687) νοεμβρίου θ':—Ἰωακεὶμ ἱερομόναχος, προσκυνητὴς τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου». Ὅρα C. Castellani ἔνθ. ἀνωτ. σ. 122—129, ἀριθ. 64.



ΣΥΝΟΠΤΙΚΟΣ ΠΙΝΑΞ.

Ψαλμοὶ ἢ Ψαλτήρια. Σταυροῦ κῶδ. 1, 58, 68, 69, 81, 88, 96, 99, 103 α', 105, 107. Ἀναστ. κῶδ. 16.

Προφητολόγια. Σταυροῦ κῶδ. 42 1, 48.

Τετραευαγγέλια. Σταυροῦ κῶδ. 45, 46, 74, 94 1, 101 1-10, 104. Ἀναστ. κῶδ. 7, 14, 15, 16.

Πράξεις καὶ ἐπιστολαὶ τῶν Ἀποστόλων. Σταυροῦ κῶδ. 25, 37, 57, 64, 94 2-3, 101 11-17, 16.

Εὐαγγέλια λειτουργικά. Σταυροῦ κῶδ. 9, 26, 44, 51, 95. Ἀναστ. κῶδ. 1, 2, 3, 4, 5, 6, 8, 9, 10, 11, 18, 19. Μεγ. Παναγ. κῶδ. 1.

Πραξαπόστολος. Σταυροῦ κῶδ. 67.

Λειτουργίαι. Σταυροῦ κῶδ. 109. Νικοδ. κῶδ. 14.

Εὐχολόγια. Σταυροῦ κῶδ. 86, 100.

Μηναῖα. Σταυροῦ κῶδ. 80.

Τριῴδιον καὶ Πεντηκοστάριον. Σταυροῦ κῶδ. 15.

Ὡρολόγια. Σταυροῦ κῶδ. 53, 91, 103 β'.

Ἀκολουθίαι ᾀσματικαὶ διάφοροι. Σταυροῦ κῶδ. 43, 56, 58, 65, 72, 99, 101 18-21. Νικοδ. κῶδ. 4, 11, 13 1.

Τυπικά. Σταυροῦ κῶδ. 40, 43, 52, 56, 57, 73, 106.

Θεοτοκάρια. Σταυροῦ κῶδ. 66, 87.

Πανηγυρικά. Σταυροῦ κῶδ. 17, 35, 41. Ἀναστ. κῶδ. 12.

Συναξάρια, Μαρτυρολόγια, Βίοι ὁσίων. Σταυροῦ κῶδ. 5, 6, 7, 16, 17, 31, 35, 40, 41, 42, 56, 58, 78, 84 2. 90. Ἑτερ. κῶδ. 5.



Ἐκκλησιαστικὴ μουσική. Σταυροῦ κῶδ. 30, 70. Νικοδ. κῶδ. 9—10.

Κανονικά, Νομοκάνονες, Νόμοι. Σταυρ. κῶδ. 2, 27, 28, 76.

Θεολογικὰ διάφορα. Σταυροῦ κῶδ. 14, 49, 54, 58, 60, 63. Ἀναστάσ. κῶδ. 17.

Ἀσκητικά. 58, 77, 79.

Πατέρες τῆς Ἐκκλησίας. — α') Ἰωάννης ὁ Χρυσόστομος. Στ. κῶδ. 29, 58. — β') Βασίλειος ὁ Καισαρείας. Στ. κῶδ. 24, 36. — γ') Αὐγουστῖνος. Στ. κῶδ. 18, 63. — δ') Διονύσιος Ἀρεοπαγίτης. Στ. κῶδ. 23. — ε') Γρηγόριος ὁ Θεολόγος. Στ. κῶδ. 8. — ς') Γρηγόριος ὁ Παλαμᾶς. Στ. κῶδ. 22. — ζ') Θεόδωρος ὁ Στουδίτης. Στ. κῶδ. 92. — η') Ἰωάννης ὁ Καρπαθίου. Στ. κῶδ. 55. — θ') Ἰωάννης ὁ τῆς Κλίμακος. Στ. κῶδ. 71, 93. — ι') Ἰωάννης ὁ Δαμασκηνός. Στ. κῶδ. 61, 64 2, 83 1-4. — ια') Ἰσαὰκ ὁ Σύρος. Στ. κῶδ. 79. — ιβ') Νεῖλος ὁ μέγας. Στ. κῶδ. 55. — ιγ') Μάξιμος ὁ ὁμολογητής. Στ. κῶδ. 50. — ιδ') Ἐφραὶμ ὁ Σύρος. Στ. κῶδ. 13. — ιε') Παλλάδιος. Στ. κῶδ. 77. — ις') Θεοφύλακτος Βουλγαρίας. Στ. κῶδ. 49. — ιζ') Συμεὼν ὁ Θαυμαστοορείτης. Στ. κῶδ. 47. — ιη') Συμεὼν ὁ Θεσσαλονίκης. Στ. κῶδ. 39. — ιθ') Νικηφ. Κάλλιστος Ξανθόπουλος. Στ. κῶδ. 64. — κ') Κλήμης α' ὁ Ῥώμης. Στ. κῶδ. 3.

Φιλοσοφικά. Στ. κῶδ. 10, 33, 84. Ἀναστ. κῶδ. 13.

Κλασικοὶ συγγραφεῖς. α') Λιβάνιος. Στ. κῶδ. 57 α'. — β') Θεόφραστος. Στ. κῶδ. 64 3. — Ὁμηρόκεντρα. Στ. κῶδ. 84 4.

Λεξικά. Στ. κῶδ. 85 25. Νικοδ. κῶδ. 3.

Γραμματικά. Σταυροῦ κῶδ. 20, 64 5-6 8, 85 4 25-26 28.

Ἱστορικά. Σταυροῦ κῶδ. 4, 11, 19, 21, 28, 29, 32, 34, 38, 59, 62, 83, 85, 97, 98, 102, 108. Νικοδ. κῶδ. 12, 13. Ἀναστ. κῶδ. 20, 21. Ἑτερ. κώδ. 1, 2, 3, 4, 6, 7.



Γεωγραφικά. Σταυροῦ κῶδ. 12, 19, 27, 34, 56, 59, 85_{27}, $102_{4\ 5\ 7}$. Νικοδ. κῶδ. 13. Ἀναστ. κῶδ. 20, 22. Ἕτ. κώδ. 3, 4.

Παροιμίαι. Σταυροῦ κῶδ. 85_{7}, 89.

Ἐπιστολογραφικά. Σταυροῦ κῶδ. 36_{3}, 75, $85_{6\ 21-24\ 29-30}$. Νικοδ. κῶδ. 1_{4-9}, 12. Ἕτ. κώδ. 1, 3.

Μαθηματάρια. Σταυροῦ κῶδ. 75. Νικοδ. κῶδ. 1.

Φυσιολογικά. Νικοδ. κῶδ. 2.

Μαθηματικά. Νικοδ. κῶδ. 5, 2_{2}, 8, 13_{7}.

Ἰατρικά. Νικοδ. κῶδ. 6, 7, 13_{6}.



ΚΩΔΙΚΕΣ ΑΧΡΟΝΟΛΟΓΗΤΟΙ

τοῦ τρίτου τμήματος.

Αἰῶνος	
VIII.	Κῶδ. παλίμψ. 36 (ὅρα καὶ σελ. 240), 54, 19.
IX.	Κῶδ. Σταυροῦ 23, 25, 96.
X.	Κῶδ. Σταυροῦ 2, 5 τεμ., 29, 41, 57 β', 74. Ἀναστάσ. κῶδ. 14.
X—XI.	Κῶδ. Σταυροῦ 3, 5, 24, 31 4, 40. Ἀναστάσ. κῶδ. 7.
XI.	Κῶδ. Σταυροῦ 5 τεμ., 6, 8, 13, 26, 31, 42, 44, 51, 55 τεμ., 57 τεμ., 67, 71, 107, 109.
XI—XII.	Κῶδ. Ἀναστάσ. 15.
XII - XIII.	Κῶδ. Σταυροῦ 30, 36, 57, 95, 100.
XII.	Κῶδ. Σταυροῦ 7, 15, 45, 46, 47, 73, 80, 88, 104, 109. Ἀναστάσ. κῶδ. 16.
XIII.	Κῶδ. Σταυροῦ 5 τεμ., 7 τεμ., 26 τεμ., 42 τεμ., 43 12, 83 Β', 93, 105, 106. Ἀναστάσ. κῶδ. 11.
XIII—XIV.	Κῶδ. Σταυροῦ 52, 53, 94.
XIV.	Κῶδ. Σταυροῦ 8 τεμ., 13 τεμ., 23 τεμ., 46 τεμ., 67 τεμ., 83 Α', 101. Ἀναστάσ. κῶδ. 12,
XIV - XV.	Κῶδ. Σταυροῦ 1, 79.
XV.	Κῶδ. Σταυροῦ 4, 35, 37, 46 τεμ., 67 τεμ., 69, 86, 103. Ἀναστάσ. κῶδ. 8.



Αἰῶνος	
XVI	Κῶδ. Σταυροῦ 16, 17, 27, 28, 38, 42 τεμ., 45 τεμ., 58, 68, 77, 80 τεμ., 81, 85, 87, 91, 99, 108. Ἀναστάσ. κῶδ. 10.
XVII.	Κῶδ. Σταυροῦ 18, 21, 61, 62, 66, 76, 78. Ἕτερ. κῶδ. 3.
XVIII.	Κῶδ. Σταυροῦ 10, 11, 12, 14, 49, 60, 64, 70, 89, 97. Νικοδ. κῶδ. 2, 8, 14. Ἀναστάσ. κῶδ. 20. Ἕτερ. κῶδ. 1, 2.
XIX.	Κῶδ. 20, 54, 59, 98. Νικοδ. κῶδ. 3, 6. Ἀναστάσ. κῶδ. 22. Ἕτερ. κῶδ. 6.

ΚΩΔΙΚΕΣ

μετ' εἰκόνων (miniatures), κοσμημάτων ἢ κεφαλαιωδῶν γραμμάτων ἐγκαλλωπίστων.

Σταυροῦ κῶδ. 1, 3, 8, 9, 15, 16, 19, 22, 23, 25, 26, 29, 31, 34, 35, 36, 37, 38, 40, 41, 42, 43, 44, 46, 48, 50, 51, 55, 66, 67, 72, 74, 81, 88, 91, 92, 94, 95, 96, 99, 100, 101, 102, 105, 107, 108, 109.—Ἀναστάσ. κῶδ. 1, 2, 3, 4, 5, 6, 7, 8, 9, 10, 11, 13, 14, 15, 16, 18, 19.—Μεγ. Παναγ. κῶδ. 1.

ΠΑΛΙΜΨΗΣΤΑ.

Σταυροῦ κῶδ. 5, 15, 36, 43 ιι, 57, 100.



ΚΩΔΙΚΕΣ ΤΟΥ ΤΡΙΤΟΥ ΤΜΗΜΑΤΟΣ

μετὰ χρονολογίας.

Ἔτος.	Κῶδιξ.		
927	55	Σταυροῦ.	Νείλου μοναχοῦ, Ἰωάννου Καρπαθίου καὶ Κασσιανοῦ ἀσκητικά τινα συγγράμματα.
1061—1062	1	Μεγ. Παναγίας.	Εὐαγγέλιον λειτουργικόν, σελ. 226-229.
1122	43	Σταυροῦ.	Τυπικὸν τοῦ ναοῦ τῆς Ἁγίας Ἀναστάσεως.
1152	9	Ἀναστάσεως.	Εὐαγγέλιον λειτουργικόν.
1166—1167	50	Σταυροῦ.	Μαξίμου τοῦ ὁμολογητοῦ περὶ διαφόρων ἀπόρων τῆς Ἁγίας Γραφῆς.
1202	48	»	Προφητολόγιον.
1322	94	»	Πασχάλιον ἀπὸ 1322-1360 ἔτους.
1481	57	»	(Ὅρα σελ. 114).
1535	9	»	Εὐαγγέλιον λειτουργικόν.
1550	27 65	»	Ἡσαΐου, ἡγουμένου τῆς λαύρας τοῦ ἁγίου Σάβα, ἐπιτροπικὸν γράμμα.
1559	27 4	»	Πέτρου Ἀντιοχείας πρὸς τὸν Βενετίας ἐπιστολή.
1563	22	»	Τοῦ ἁγίου Γρηγορίου τοῦ Παλαμᾶ ὁμιλίαι.
1574—1575	102	»	Βιβλίον χρονογραφικόν.
1579	65	»	Ἀσματικαί τινες ἀκολουθίαι.



Ἔτος.	Κῶδιξ.	
1581	92	Σταυροῦ. Θεοδώρου τοῦ Στουδίτου κατηχήσεις.
1588	63	» Maximi Margunii Elycidatio librorum S. Augustini de Trinitate.
1594	4	Ἀναστάσεως. Λειτουργικὸν εὐαγγέλιον. Σελ. 199-200.
1596	5	» Λειτουργικὸν εὐαγγέλιον. Σελ. 200-203.
1596	18	» Λειτουργικὸν εὐαγγέλιον. Σελ. 219-223.
1599	6	» Λειτουργικὸν εὐαγγέλιον. Σελ. 204.
1610	2	» Λειτουργικὸν εὐαγγέλιον. Σελ. 196-197.
1619	90	Σταυροῦ. Βίος τοῦ ὁσίου Σάβα· παράφρασις.
1619	5	Ἕτερ. κῶδ. Βίος τοῦ ὁσίου Σάβα· παράφρασις. Σελ. 235-236.
1633	3	Ἀναστάσεως. Λειτουργικὸν εὐαγγέλιον. Σελ. 197-199.
1642—1643	19	» Λειτουργικὸν εὐαγγέλιον. Σελ. 223.
1646—1647	1	» Λειτουργικὸν εὐαγγέλιον. Σελ. 193-196.
1671	39	Σταυροῦ. Συγγραφαὶ Συμεὼν Θεσσαλονίκης.
1675	33	» Λογικὴ Θεοφίλου Κορυδαλλέως.
1730	82	» Ῥητορικαὶ Θεοφίλου Κορυδαλλέως καὶ Ἀλεξάνδρου Μαυροκορδάτου.
1732	34	» Βρεβίον τῆς μονῆς τοῦ Σταυροῦ.
1744	28 5	» Μαλαξοῦ νομοκάνων.
1744	84	» Ἰωάννου ἰατροῦ τοῦ Κομνηνοῦ πόνημα μεταφραστικόν.



Ἔτος.	Κῶδιξ.	
1751	13 Ἀναστάσεως.	Θεοφίλου Κορυδαλλέως ὑπομνήματα εἰς τὰ περὶ ψυχῆς βιβλία Ἀριστοτέλους.
1756—1759	84 5 Σταυροῦ.	Νεοφύτου Ῥοδίου λόγοι τινές.
1781—1789	75 »	Μαθηματάριον Ἐμμανουήλου Κεραμέως.
1783	4 Νικοδήμου.	Προκοπίου Πελοποννησίου κανὼν ἐγκωμιαστικὸς εἰς τὴν κοίμησιν τῆς Θεοτόκου.
1784	28 3-4 Σταυροῦ.	Προσθῆκαι Ἰωαννικίου Σαβαΐτου ἐν τούτῳ τῷ κώδικι.
1785—1844	1 Νικοδήμου.	Μαθηματάριον, ἐπιστολαὶ κτλ.
1787—1793	13 »	Κατάστιχον, ἡμερολόγιον κτλ.
1790	25 »	Προσθῆκαι ἐν τούτῳ τῷ κώδικι.
1793—1820	12 »	Συλλογὴ γραμμάτων.
1801	5 »	Ἀπόσπασμα τῆς ἀριθμητικῆς Νικομάχου τοῦ Γερασηνοῦ.
1801—1805	56 Σταυροῦ.	Μαξίμου τοῦ Συμαίου ἱστορία τῆς Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης.
1801—1816	7 Ἑτερ. κώδ.	Κατάστιχον τῆς οἰκογενείας Σαλτέλη καὶ φυσικῆς συντάγματα Βενιαμὶν τοῦ Λεσβίου. Σελ. 237-8.
1802	11 Νικοδήμου.	Ἀκολουθίαι τῆς Παρακλητικῆς ἕξ. Σελ. 183.
1814	72 Σταυροῦ.	Ἀκολουθία τῆς ἁγίας μεταλήψεως.
1821—1836	4 Ἑτερ. κώδ.	Ἰωάσαφ Κρητός, ἡγουμένου τῆς λαύρας τοῦ ἁγίου Σάβα, σημειώματα ἰδιόχειρα. Σελ. 232-235.
1827	7 Νικοδήμου.	Δημητρίου Παππαδοπούλου Βυζαντίου πόνημα μεταφραστικόν. Σελ. 182.



Ἔτος.	Κῶδιξ.
1829	17 Ἀναστάσεως. Ἐμπρησμὸς τῆς Παλαιονομίας ὑπὸ Νεοφύτου Κυπρίου. Σελ. 218.
1836	11 6-7 Σταυροῦ. Προσθῆκαί τινες ἐν τούτῳ τῷ κώδικι.
1841	21 Ἀναστάσεως. Νεοφύτου Κυπρίου εἰκοσαετηρίς. Σελ. 225.
1841	19 Σταυροῦ. Παρρησία τῆς μονῆς τοῦ Σταυροῦ.
1843	9-10 Νικοδήμου. Ταμεῖον μουσικῆς ἀνθολογίας. Σελ. 182-183.
1845	11 5 Σταυροῦ. Προσθήκη ἐν τούτῳ τῷ κώδικι.
1856	22 » Πρόλογος εἰς τὰς ὁμιλίας Γρηγορίου τοῦ Παλαμᾶ.
1860	32 » Ἀναίρεσις πατριαρχικῆς ἐπιστολῆς.
1870	15 Νικοδήμου. Ἱερὰ λειτουργία ἀραβιστί.



ΚΑΛΛΙΓΡΑΦΟΙ ἢ ΑΝΤΙΓΡΑΦΕΙΣ

καὶ αὐτόγραφα συγγραφέων τινῶν.

Ἀθανάσιος μοναχός X, Πατριαρχ. κῶδ. 32. Ὅρα σελ. 325.

Ἀμβρόσιος ἱερομόναχος καὶ ποιμὴν τῆς ἐν Λευκωσίᾳ τῆς νήσου Κύπρου μονῆς τῆς Θεοτόκου τῶν Ἀνδρείων 1535, Σταυροῦ κῶδ. 9.

Ἄνθιμος, πατριάρχης Ἱεροσολύμων XVIII, Στ. κῶδ. 14, 60.

Ἄνθιμος ἱερομόναχος ὁ Ἴβηρ 1642-1643, Ἀναστάσ. κῶδ. 19.

Ἄνθιμος μοναχὸς ὁ ἐξ Ἀγχιάλου 1815-1833, Σταυροῦ κῶδ. 59.—1824, Πατριαρχ. κῶδ. 291. Ὅρα σελ. 331.

Ἀρσένιος, μητροπολίτης Ἐλασσῶνος 1596. Ἀναστάσ. κῶδ. 5.

Βασίλειος Ἁγιοπολίτης 1122, Σταυροῦ κῶδ. 43.

Γεώργιος ἱερεὺς ἐν Τιβεριάδι 1152, Ἀναστάσ. κῶδ. 9.

Γεώργιος Κωνσταντινίδης 1845, Σταυροῦ κῶδ. 11 s.

Γρηγόριος Κονταρῆς, ἱερομόναχος XVII, Πατριαρχ. κῶδ. 207, σελ. 329.

Γρηγόριος ἱεροδιάκονος XVIII, Σταυροῦ κῶδ. 10.

Δανιὴλ ἱεροδιάκονος XIV, Σταυροῦ κῶδ. 8.

(Δανιὴλ ἰατρός 1666. Ὅρα σελ. 266, ἀριθ. 59).

(Διονύσιος Ἁγιοσαβίτης XVIII. Ὅρα σελ. 268, ἀριθ. 68).

Δοσίθεος, πατριάρχης Ἱεροσολύμων XVII, Σταυροῦ κῶδ. 11.

Ἐμμανουὴλ Κεραμεύς 1789, Σταυροῦ κῶδ. 75.

(Εὐφήμιος κληρικός 1046. Ὅρα σελ. 263, ἀριθ. 4).

(Ζαφείρης, γράψας Ἀμφιλόχια τοῦ Φωτίου ἐν Κωνσταντινουπόλει. Ὅρα σελ. 271).



Ἡσαΐας, ἡγούμενος τῆς λαύρας τοῦ ἁγίου Σάβα 1550, Σταυροῦ κῶδ. 27 65.

Ἡσαΐας 1646-1647, Ἀναστάσ. κῶδ. 1.

Ἰάκωβος ἱερομόναχος 1817, Πατριαρχ. κῶδ. 383. Ὅρα σελ. 332.

Ἱερόθεος, ἱερομόναχος χωρεπίσκοπος ἐκ Νάουσας τῆς νήσου Πάρου 1744, Σταυροῦ κῶδ. 28 5.

Ἰωάννης, 1061-1062, Μεγ. Παναγ. κῶδ. 1.

Ἰωάννης Σαλτέλης ἐν Κυδωνίαις 1801-1816, Ἑτερ. κῶδ. 7.

Ἰωαννίκιος Σαβαΐτης 1784, Σταυροῦ κῶδ. 28 3-4. — 1790, Στ. κῶδ. 25 (δύο φύλλα).

Ἰωάσαφ Κρής, ἀρχιμανδρίτης τῆς λαύρας τοῦ ἁγίου Σάβα 1819 κέ., Ἑτερ. κῶδ. 4.

Ἰωήλ, μοναχὸς Ἁγιοσαβίτης 1559, Σταυροῦ κῶδ. 26 1-4.

Καλλίνικος, ἐπίσκοπος Μοσχονησίων XIX. Ἑτερ. κῶδ. 6, σελ. 236.

Καλλιώπιος, ἱερεὺς Ἁγιοσαβίτης 1579, Σταυροῦ κῶδ. 65.

(Καπίτων Ἁγιοταφίτης XVII, σ. 271).

Κοσμᾶς μοναχός IX, Σταυροῦ κῶδ. 25.

Κύριλλος ἱερομόναχος 1581, Σταυροῦ κῶδ. 92.

Κύριλλος Ἀθανασιάδης XIX, Σταυροῦ κῶδ. 64.

Κωνσταντῖνος 1751, Ἀναστάσ. κῶδ. 13, σελ. 213.

Λαζάριος ἱερεύς 1481, Σταυροῦ κῶδ. 57.

Μακάριος Ἁγιοταφίτης, ἱερομόναχος ἐκ Κρήτης XVI, Σταυροῦ κῶδ. 58.

(Μακάριος ἕτερος, Ἁγιοταφίτης ἱερομόναχος ἐκ Κρήτης 1654, σελ. 267, ἀριθ. 62).

(Μανόλης XVII, γράψας Ἀμφιλόχια τοῦ Φωτίου, σελ. 271).

Μάξιμος Μαργούνιος 1588, Σταυροῦ κῶδ. 63.—(Κῶδ. Mosquen. 444, σελ. 267.

Μάξιμος Ἁγιοταφίτης ὁ Συμαῖος, ἀρχιμανδρίτης 1801-1805, Σταυροῦ κῶδ. 56.—1801, Νικοδήμου κῶδ. 5.—Πατριαρχ. κῶδ. 376. Ὅρα σελ. 332.

Ματθαῖος, ἱερομόναχος καὶ πρωτοσύγκελλος τῆς Μεγάλης Ἐκκλη-



σίας εἶτα μητροπολίτης Μυρέων 1599, Ἀναστάσ. κῶδ. 6.—1610, Ἀναστάσ. κῶδ. 2, σελ. 196-197.—Τελευτ. XVI, Ἀναστάσ. κῶδ. 10, σελ. 208.

Νεόφυτος Ῥόδιος 1744, 1756-1759, Σταυροῦ κῶδ. 84.

Νικόδημος, ἱερομόναχος Ἀναστασιώτης 1563, Σταυροῦ κῶδ. 22.

(Νικόλαος Ἁγιοσαβίτης 1162, σελ. 266, ἀριθ. 60).

Νικόλαος ἱερεύς 1202, Σταυροῦ κῶδ. 48.

Νικόλαος ἱερεύς XIV, Σταυροῦ κῶδ. 109. σελ. 174.

Παΐσιος Βούλγαρος, ἱερομόναχος Ἁγιορείτης 1783, Νικοδήμου κῶδ. 4, σελ. 180.

Παρασκευᾶς Σάλτας 1801-1816, σελ. 238.

(Παρθένιος Τυρναβίτης, ἱερομόναχος XVII, σελ. 253, ἀριθ. 5).

Παρθένιος Κατζιούλης XVIII, Σταυροῦ κῶδ. 89.

Παῦλος μοναχός 927, Σταυροῦ κῶδ. 55.

Πέτρος, πρωτοψάλτης τοῦ ἐν Κωνσταντινουπόλει Ἁγιοταφιτικοῦ Μετοχίου 1843, Νικοδήμου κῶδ. 9-10. Ὅρα σελ. 183.

Πορφύριος ἱερομόναχος 1633, Ἀναστάσ. κῶδ. 3, σελ. 199.

Σεβαστὸς Κυμινήτης, Τραπεζούντιος XVII, Σταυροῦ κῶδ. 61.

Σμαράγδα XV, Σταυροῦ κῶδ. 35.

Σωφρόνιος, πατριάρχης Ἱεροσολύμων XVI, Σταυροῦ κῶδ. 108.

Φιλόθεος Θωμᾶ Κύπριος, διάκονος 1730-1733, Σταυροῦ κῶδ. 82.

Χρύσανθος, πατριάρχης Ἱεροσολύμων XVIII, Σταυροῦ κῶδ. 12.

ΒΙΒΛΙΟΔΕΤΑΙ.

Γρηγόριος, μητροπολίτης Βηθλεέμ 1454, Σταυροῦ κῶδ. 44.

Ἰωαννίκιος Ἁγιοσαβίτης 1786, σελ. 268.

ΒΙΒΛΙΟΘΗΚΑΙ ΚΑΙ ΚΤΗΤΟΡΕΣ.



Κύριλλος β' Σάμιος, πατριάρχης Ἱεροσολύμων 1858, Σταυροῦ κῶδ. 33, 109.

Κύριλλος, πρώην Βηρυτοῦ μητροπολίτης 1870, Στ. κῶδ. 99.

Κύριλλος Νιότης ἱερεὺς ἐξ Ὀχρίδος, Στ. κῶδ. 103.

Μαγδαληνὴ Κυπρία, ἡγουμένη τῆς ἐν Ἱεροσολύμοις Μεγάλης Παναγίας 1615. Ὅρα σελ. 226.

Μακάριος ἱερομόναχος XVII, Ἀναστάσ. κῶδ. 12.

Μανουὴλ ὁ Κυνηγὸς ἐν Καφᾷ τῆς Κριμαίας 1383, Στ. κῶδ. 95.

Μάρκου ἀποστόλου ναὸς ἐν Ἀλεξανδρείᾳ, Στ. κῶδ. 6.

Mohilevensis bibliotheca XVII ?, Στ. κῶδ. 85.

Μπαρούσιος αὐτοκράτωρ (Борисъ Годуновъ) 1595-1596, Ἀναστάσεως κῶδ. 18.

Νεκτάριος, πατριάρχης Ἱεροσολύμων 1666, Ἀναστάσ. κῶδ. 11.

Νεόφυτος Ῥόδιος 1744-1759, Στ. κῶδ. 84.

Νίκανδρος ἀρχιμανδρίτης XIX, Στ. κῶδ. 76.

Νικόδημος Βυζάντιος, ἱεροδιάκονος XIX, Νικοδ. κῶδ. 9-10.

Νικόλαος Χρηστίδης Ὀρφανός=Νικόδημος Βυζάντιος.

Ξένη μοναχὴ Κυπριώτισσα 1535, Στ. κῶδ. 9.

Παναγίας ναὸς ἐν Γιασίῳ, ὃς ἦν μετόχιον τοῦ Ἁγίου Σάβα 1599, Ἀναστάσεως κῶδ. 6.

Πανάγιος Τάφος XIX, Στ. κῶδ. 15, 56.—1839, Στ. κῶδ. 14. Ὅρα καὶ τὸ Ἅγιος Τάφος.

Παναγιώτης ἱερεὺς XIV, Στ. κῶδ. 71.

Παρθένιος Θεσσαλονικεὺς ὁ Γαλατζιάνος, μοναχὸς Ἁγιοταφίτης 1787, Νικοδήμου κῶδ. 13, σελ. 191.

Παρθένιος ἱερομόναχος ἐκ Σαντορήνης XVII, Στ. κῶδ. 99.

Παύλου τοῦ ἐν τῷ Λάτρῳ μοναστήριον XIII, Στ. κῶδ. 100.


Παχώμιος Λίμας Κρητικός, μοναχός. Ὅρα σελ. 279. Στ. κῶδ. 67?

Προκόπιος Πελοποννήσιος ἱεροδιδάσκαλος 1783, Νικοδ. κῶδ. 4.

Προκόπιος ὁ ἐκ Μιτυλήνης, ἀρχιεπίσκοπος Γάζης XIX, Σταυροῦ κῶδ. 39, σελ. 348.

Ταξιάρχου Μιχαὴλ μοναστήριον ἐν Ἱεροσολύμοις XVI, Στ. κῶδ. 104.

Σάβα τοῦ ὁσίου λαύρα, Στ. κῶδ. 1, 2, 4, 5, 6, 7, 8, 12, 13,



16, 17, 22, 23, 24, 26, 27, 36, 38, 40, 41, 42, 43, 45, 46, 47, 48, 49, 50, 51, 52, 53, 55, 57, 58, 65, 68, 69, 71, 73, 74, 79, 80, 82, 83, 84, 86, 88, 89, 90, 92, 93, 94, 95, 96, 100, 101, 102, 104, 106, 107.—'Αναστάσεως κῶδ. 2, 5, 8, 15.—Ἕτερ. κώδ. 4, 5, σελ. 232 καὶ 235.

Σωφρόνιος, πατριάρχης Ἱεροσολύμων 1578-1579, Ἀναστ. κῶδ. 7.

Φράγγου τινὸς υἱός XIV, Στ. κῶδ. 50.

Χριστόδουλος μοναχός XVII?, Στ. κῶδ. 85.



ΓΕΝΙΚΟΣ ΠΙΝΑΞ ΤΩΝ ΕΝ ΤΩΙ ΤΡΙΤΩΙ ΤΟΜΩΙ


ΣΥΓΓΡΑΦΕΩΝ ΜΑΡΤΥΣΩΝ ΟΣΙΩΝ ΚΑΛΛΙΓΡΑΦΩΝ


πατριαρχῶν κληρικῶν λαϊκῶν χωρῶν πόλεων καὶ ἄλλων τινῶν [1].

---

[1] Τὸ πολὺ τῆς ὕλης τούτου τοῦ πίνακος ἤθροισε Κωνσταντῖνος ὁ Λῶτζος, ὁ ἐκ τῶν ἀγαθῶν ἀποφοίτων τῆς ἐν Κιέβῳ Θεολογικῆς Ἀκαδημείας. Ὁ αὐτὸς ἤθροισε καὶ τὴν ὕλην τῶν ἐν τῷ 3-ῳ καὶ τῷ 4-ῳ τόμῳ τῶν Ἀναλέκτων κυρίων ὀνομάτων· ἐγὼ δ' ἁπάσας τὰς ὕλας ταύτας ἀναθεωρήσας καὶ συμπληρώσας εἰς πίνακας ἰδίους ἐν τοῖς ὀνομασθεῖσι διῄρησα βιβλίοις.









































*






























*



















ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ


















*



































ΕΤΕΡΑ ΠΑΡΟΡΑΜΑΤΑ ΔΙΟΡΘΩΤΕΑ.

Σελ.	Στίχ.		Γράφε.
16	1	Μελιτινῆς	Μελιτηνῆς
62	14	Μελιτινῆς	Μελιτηνῆς
132	1	Οκτωβρίου	Ὀκτωβρίου
243	5	1116	1166
254	2	ἐν Σταυρῷ	ἐν τῷ Σταυρῷ
353	13	κῶδ. 14	κῶδ. 15.



ΤΡΕΙΣ ΣΗΜΕΙΩΣΕΙΣ.

Σελ. 89-90. Τὸ ὑπὸ τὸν 40-ὸν ἀριθμὸν Συναξάριον καὶ τυπικὸν τῆς Κωνσταντινουπολιτῶν Ἐκκλησίας, τὸ γενόμενον ἐπιταγῇ τοῦ αὐτοκράτορος Κωνσταντίνου ζ' τοῦ πορφυρογεννήτου, εὗρον ἔτει 1889-ῳ ἐν τῇ συλλογῇ τῶν ἐκ τῆς μονῆς τοῦ Σταυροῦ μετακομισθέντων εἰς τὴν κεντρικὴν τοῦ Πατριαρχείου τῶν Ἱεροσολύμων βιβλιοθήκην· ὅτε καὶ ἐπιτομὴν αὐτοῦ, λίαν ἐκτενῆ, περιέχουσαν δὲ τὰ κυριωδέστατα, φιλοτίμως ἐποιησάμην, ἣ καὶ πρὸς τύποις ἔκδοσιν ἑτοίμη ἐστί· πρόθεσιν μέντοι ἔχω μετὰ χρόνον τινὰ τύποις ἔκδοσιν παρασκευάσαι ὅλου τοῦ τυπικοῦ ἐκείνου· ὅπερ εἶδον ὡσαύτως καὶ μελέτης ἔργον ἐποίησαν μετ' ἐμὲ καὶ οἱ φίλτατοι καθηγηταὶ Κρασνοσέλτζεβ καὶ Βελιάεφ, τούτου δὴ τοῦ τελευταίου καὶ πραγματείαν συντάξαντος, τὴν σπουδαιότητα τοῦ τυπικοῦ ἐκείνου δήλην ποιοῦσαν, ὡς δὲ χρόνον τῆς συντάξεως αὐτοῦ καθορίζουσαν τὸ μεταξὺ τῶν ἐτῶν 950 καὶ 956 χρονικὸν διάστημα. Ὅρα Βυζαντινὰ Χρονικά, τ. III, 1896, σ. 427-460, ἔνθα ἡ πραγματεία Д. Бѣляевъ, Новый списокъ древняго устава Константинопольскихъ церквей.

Σελ. 115. Περὶ τῶν ἐν τῷ 57-ῳ παλιμψήστῳ κώδικι μελετῶν Λιβανίου τοῦ σοφιστοῦ ὅρα κατ' ἔκτασιν παρὰ τῷ R. Foerster, Über einen Palimpsesten des Libanius in Jerusalem [Sitzungsberichte der k. pr. Akademie der Wissenschaften zu Berlin, τ. XLIX, 1896, σ. 1321-1340].



Σελ. 363. Μετὰ τὸ Λαζάριος ὄνομα πρόσθες ἐν τοῖς καλλιγράφοις τόδε: Λουκᾶς ἐπίσκοπος Μπουζέου 1594, κῶδ. Ἀναστ. 4, σελ. 199.

ΤΕΛΟΣ ΤΟΥ ΤΡΙΤΟΥ ΤΟΜΟΥ.



ΔΕΙΓΜΑΤΑ ΓΡΑΦΗΣ ΠΑΛΑΙΩΝ ΤΙΝΩΝ ΚΩΔΙΚΩΝ

ΔΙΑ ΦΩΤΟΤΥΠΙΑΣ ΑΠΕΙΚΑΣΘΕΝΤΑ.



ΠΕΡΙΕΧΟΜΕΝΑ.





